3 τῷ codd., corr. Wilamowitz 4 suppl. Ahrens κεκαθεικότες K 5 κομῶντες, εὔτριχες verbis praecedentibus omissis PT[1] ἔθειραι γὰρ αἱ ἐξ ἔθ. γινόμεναι τρίχες PT[1], ἔθειρα δὲ ἡ θρὶξ ἡ ἐξ ἔθ. τημελουμένη GEAT[2] 8 Ἀρίσταρχος Lehrs *De Aristarchi stud. Hom. 121*: Ἀριστοτέλης codd. Stagiritae nomen frustra defendit Max. Hecht *Quaest. Hom., Diss. phil. Reg. 1882, 19 sqq.* si quis vero Aristophanem Byzantium restituere malet, non oppugnabo, cum huius nomen cum Aristotelis facillime commutari constet; cf. e. g. sch. I 147 a et XIII 7/9 b 9 γενειάδες Hom.: γένει EAT: γένους G: om. K 10 schol. c ita dedi ut K exhibet. GEA, qui Ἀμερίας scholio 32 adiecerunt, hoc loco scribunt: ἄλλως. ὑπ. θερ. φησί Ἀμαρίας K ὑπηρετεῖν conieci: ὑποχωρεῖν GEA: ἀποχωρίζειν K 13 ὁμολογοῦμεν ὡς K: ὁμολογουμένως ὡς cett. 14 ζητητικήν GEA lac. ind. Ahrens

b. ταῦτα καθ' ὑπερβολήν· Ὅμηρος (Σ 418) ⟨δὲ⟩ ἔλεγεν ἀληθέστερον· 'χρύσειαι ζωῇσι νεήνισιν ἐοικυῖαι.'

38a. κυλοιδιόωντες: οἱ οἰδοῦντες τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμούς. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσιν ὡς ἐπίπαν οἰδαίνειν τὰ κύλα· ὅπερ οἱ πολλοὶ ἀναγκαίως δι' ἔρωτα πάσχουσι.

K b. γίνεται δὲ παρὰ τὸ τὰ κύλα οἰδαίνειν, ἤγουν ⟨τὰ ὑπὸ⟩ τοὺς ὀφθαλμοὺς μεταθέσει τοῦ ἀντιστοίχου· κοῖλα γὰρ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν.

BEAT c. οἱ τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς οἰδοῦντες καὶ ἐξογκούμενοι· κύλα δὲ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, τὰ ὑπώπια.

P d. κυλοιδιόωντες: παρὰ τὸ τὰ κύλα οἰδαίνειν, ἤτοι τὰ ὑποκάτω τῶν ὀφθαλμῶν ⟨κοῖλα⟩ μεταθέσει τοῦ ἀντιστοίχου.

BEAT e. τὸ δὲ ἐτώσια μοχθίζοντι· μάτην κάμνουσι. τίς γὰρ ἂν ἄγαλμα πεῖσαι δυνήσεται;

K 39a. μέτα: ἀντὶ τοῦ σύν. ἔστι δὲ ἀναστροφὴ Ἰωνική.

KBEAT b. γριπεύς: ὁ ἁλιεύς, καὶ γρῖπος τὸ δίκτυον παρὰ τὸ τοὺς ἰχθύας ἀγρεύειν.

---

a sch. ω 1 Eust. 1951, 19 sch. Ar. Lys. 472 Poll. II 66 Cram. An. Ox. II 437, 8 Lex. Bachm. 285, 1 Tim. Lex. Plat. κοιλ. Hesych. Phot. Suid. κυλ. Et. M. 361, 12 (cf. Gen.) Et. Gud. 201, 22; 202, 12 Sturz b Et. Gen. (Et. Gud. 323, 15 De Stefani): γριπεύς· ὁ ἁλιεύς. παρὰ τὸ γρῖπος (τὸν γρίπον AB) τὸ δίκτυον παρωνύμως γριπεύς. γρῖπος (δὲ add. Gud.) παρὰ τὸ ἀγρεύειν (ἀγρεῖν Gud.) ἐνδεία τοῦ ᾱ. τὸ δ' αὐτὸ καὶ γρῖφος καλεῖται παρὰ τὸ γράφειν, ὅ ἐστι ξύειν, ὁ τὴν γῆν ξύων, γράφος καὶ γρῖφος (καὶ γρῖπος add. B). Et. Gud. 323, 18 De Stefani: γρῖπος· παρὰ τὸ ἀγρεῖν, ὅ ἐστι παρακολουθεῖν τῇ ἄγρᾳ. οὕτως Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ (II 181, 17; 413, 15; 429, 3; 488, 32 Lentz). Θεόκριτος· 'τοῖς δὲ μέτα γριπεύς (τοὶ δὲ μετὰ γριπεῦσιν cod.)'. γριπεὺς γὰρ ὁ ἁλιεὺς καὶ γρῖπος τὸ ἁλιευτικὸν δίκτυον οἷον ἄγριπος· ἀγρεῖν δὲ τὸ λαμβάνειν. οὕτω Θέων ἐν ὑπομνήματι τῷ εἰς Θεόκριτον. Et. Or. 40, 20

---

1 suppl. Wilamowitz 2 εἰοικυῖαι Hom. 3 κύλα ubique (etiam in ultima scholii b parte!) Ahrens: κοῖλα codd. 6 τὰ addidi, ὑπὸ addiderat Hefermehl *Studia in Apollodori περὶ θεῶν fgm. Genev., Diss. ph. Berol. 1905, 28* γὰρ Hefermehl: δὲ cod. 12 addidi 13 κάμνουσι T[illegible] cett. 15 ἀντιστροφὴ cod., corr. Wilamowitz

40 a. λεπράς: ἡ τραχεῖα πέτρα, ἡ ὑπὸ τῶν κυμάτων λεπιζομένη. ἢ ἡ ὑψηλή, ἐπεὶ καὶ λέπας τὸ ἄκρον τοῦ ὄρους φασίν. ἢ λευκὴ καὶ λέπρᾳ ἐοικυῖα.

b. λεπράς: ἡ λευκή. τινὲς δὲ τὴν τραχεῖαν ἔφασαν, τὴν ἐκλεπρωθεῖσαν καὶ ἐκσπιλωθεῖσαν καὶ οἷον ἐκβρωθεῖσαν. PT

[c.] ἐς βόλον: ἀντὶ τοῦ εἰς ἄγραν. K

[d.] ⟨ἐς βόλον:⟩ εἰς βολὴν τῶν ἰχθύων. E[5]

41 a. κάμνοντι: τὸ ἰσχυρὸν τῆς δυνάμεως ἀνδρὶ ἀκμάζοντι ὅμοιον ἔχων. KQEAT

[b.] ⟨τῷ καρτερῷ:⟩ γράφεται τὸ καρτερόν, ἤτοι τὸ κατὰ δύναμιν, ἰσχυρῶς. K

42 a. φαίης κεν: εἴποις ἂν αὐτὸν ἐκ τῶν μελῶν τοῦ σώματος ἁλιεύειν ἢ ἐκ πάσης δυνάμεως ἧς ἔχει. KQEAT

b. τὸ δ' ἐλλοπιεύειν τὸ τοὺς ἰχθῦς λαμβάνειν· ἔλλοπες γὰρ οἱ ἰχθύες ἢ παρὰ τὴν λεπίδα ἢ ὅτι ἐλλειπομένην ἔχουσι τὴν ὄπα. KQEA

c. ἐλλοπιεύειν ἐστὶ τὸ ἔλλοπας, ἤγουν ἰχθῦς, ἀγρεύειν· ἔλλοπες γὰρ οἱ ἰχθύες παρὰ τὸ ἐν λεπίσιν εἶναι ἢ παρὰ τὸ λεπιδωτὸν τῶν ἰχθύων ἢ παρὰ τὸ ἐλλείπεσθαι ὀπὸς καὶ φωνῆς. PT

43 a. ᾠδήκαντι: *Αἰολικῶς* ἢ *Δωρικῶς*. οἰδῶ οἰδήσω ⟨. . .⟩ ἀντὶ τοῦ τεταυρισμένος καὶ πεφυσιωμένος ὢν καὶ ἐξωγκωμένος· οἰδῶ γὰρ τὸ ὀγκοῦμαι. KQEAT

Et. M. 241, 23. 28 (e Gen.) Hesych. Suid. γριπεύς. γρῖφος Lex. Bachm. 187, 7 Choer. Orth. (Cram. An. Ox. II 188, 13)
1 sch. Eur. Phoen. 24; Rhes. 287 sch. Apoll. Rhod. I 1266 sch. Nic. Ther. 156. 147 Hesych. Suid. λέπας Et. M. 328, 24 (cf. Gen.) Eust. 1246, 28 14 sch. III 25/26 e sch. Hes. Scut. 212 sch. Nic. Al. 481 sch. Opp. Hal. II 658 Athen. VII 308 c Hesych. Suid. ἔλλοπες Et. M. 331, 49 (cf. Gen.) Et. Gud. 400, 25. 36; 183, 18 Sturz Eust. 1720, 34

---

1 ἢ ὑπὸ Heinsius λεπιζομένη scripsi collatis Etymologico et Eustathio: λεαινομένη K: λειαινομένη GEA: λευκαινομένη T 3 φασίν om. K 5 οἷον καὶ codd., transposui 14 ἰχθῦς λαμβ. K: ἰχθύας ζωγρεῖν G: ἰχθύας ζωγρεῖν ἢ λαμβ. cett. 17 τὸ λεπιδωτὸν Brub. in marg.: τὸ λεπιδωτοὺς T: τοὺς λεπιδωτοὺς P 20 *Αἰολικῶς* Adert, cf. schol. c: *Ἀττικῶς* codd. 21 lac. ind. Ziegler. quomodo explenda sit, docent scholia b c

$P^{m1.2}$ b. ὠδήκαντι: οἰδῶ οἰδήσω ὤδηκα. οἱ Δωριεῖς τὸ γ′ πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεστῶτος ὁμόφωνον ποιοῦσι P^{m} τῇ δοτικῇ τῶν ἑνικῶν τῆς μετοχῆς. c. ἔστι γὰρ ὠδήκω ῥῆμα ἀπὸ τοῦ παρακειμένου γινόμενον Σικελικῶς ὡς τὸ τετύκω κεκλάγω· καὶ Αἰολικῶς ὠδήκημι καὶ ὁ ὑποτακτικὸς ὠδήκω, ἡ μετοχὴ ὁ ὠδήκας τοῦ ὠδήκαντος, ἡ δοτικὴ ὠδήκαντι.

E^{K} d. ⟨ὠδήκαντι:⟩ ἐξωγκωμένοι ἦσαν· τοιοῦτοι γὰρ οἱ κοπιῶντες.

KΘEAT e. Ἶνες: τὰ παρακολουθοῦντα νεῦρα ταῖς φλεψίν. ἐλέγετο δὲ παρ' αὐτὰς καὶ ὁ υἱὸς Ἶνις· ἀπὸ γὰρ τούτων τῶν μερῶν τὸ σπέρμα συνάγεσθαι δοκεῖ.

K [44 a.] πολιῷ: ἤγουν λευκῷ· τὸ γὰρ λευκὸν πολιὸν λέγεται. ἢ παλαιὸν καὶ πολιόν· ὡς γὰρ ἐπὶ τὸ πλεῖστον ἐν γήρᾳ γίνεται ἡ πολιά.

EAT b. ἄξιον ἦβας: ἤγουν τὸ σθένος αὐτοῦ ἄξιόν ἐστι νέῳ τινὶ εἶναι.

c. ἡ δὲ δύναμις ἀξία τῆς ἡλικίας αὐτοῦ. ἴσως γὰρ εὐῆλιξ ἐξωγραφήθη ⟨ἐν⟩ τῷ κισσυβίῳ εὐμήκης τε τὴν σύνθεσιν τῶν μελῶν.

---

1 Ahrens *De graecae linguae dial. II 291 n. 2* 3 id. II 328 n. 1 5 id. I 136 n. 4 9 Eust. 1473, 47 12 Et. Gen. (Et. M. 680, 14): *πολιά· παρὰ τὸ λευκὴν εἶναι· τὸ γὰρ λευκὸν πολιὸν λέγεται. ἢ* (παρὰ τὸ add. B) *παλαιὰ καὶ πολιά· ὡς γὰρ* (hoc om. B) *ἐπὶ τὸ πλεῖστον ἐν γήρᾳ γίνεται* (hoc om. A). Et. Gud. 473, 45 Sturz Et. Or. 129, 11

πεφυρημένος K T suo Marte totum locum ita constituit: *ὠδήκαντι Δωρικῶς ἀντὶ τοῦ ὠδήκασι, γεγαυρισμένοι ἢ πεφυσιωμένοι ὄντες καὶ ἐξωγκωμένοι. οἰδῶ γὰρ οἰδήσω τὸ ἐξογκοῦμαι.*

1 l., quod P^2 om., in P^1 aberravit post *πληθυντικῶν* *οἰδῶ οἰδήσω ὤδηκα* om. P^2 *οἱ Δωριεῖς—ποιοῦσι* ut supra P^2: *τὸ γ′ τῶν πλ. ὁμοφώνως* P^1 4 *Σικελικῶς* conieci e locis sim.: *βοιβ . . ικῶς* cod.: *βουκολικῶς* prop. Wilamowitz *τετύχω κεκράγω* cod., emend. Wilamowitz 5 *ὑποτακτικὸς* scripsi: *πε . . . ικὸς* (l. *παρατακτικὸς*) cod. 9 *φλεψίν* K: *φλέβαις* cett. 10 *αὐτὰς —μερῶν* Duebner: *αὐτοῖς—μελῶν* codd. 18 addidi

d. ἦβας: ἀνάλογον τῆς ἀκμῆς τὸ σθένος αὐτοῦ. KEAT

[45 a.] τυτθόν: κυρίως τὸ ἐπιτίτθιον βρέφος παρὰ τὸν τιτθόν, ὃ σημαίνει τὸν μαζόν· ὅθεν καὶ τυτθὴν λέγουσιν ὀλίγην ἢ μικράν [καὶ τυτθήν]. K

b. ἁλιτρύτοιο: τοῦ ἐν τῇ θαλάσσῃ πονοῦντος καὶ τρυχομένου καὶ τειρομένου.

46 a. πυρναίαις: περκαζούσαις, ὡρίμοις. οἱ δὲ τὰς ἤδη ὥραν ἐχούσας τροφῆς· πύρνον γὰρ ἔνιοι τὴν τροφὴν λέγουσιν. ἢ πυρναίαις ταῖς τρωξίμοις· ἐπάγει γοῦν ἑξῆς (v. 49)· 'φοιτᾷ σινομένα τὰν τρώξιμον'. KGEAT

b. ἀπὸ τοῦ πύρνος ἡ τροφή. ⟨ἢ⟩ ἀπὸ τοῦ ὑπὸ τῶν ἀκτίνων πυροῦσθαι. K

c. ταῖς περκαζούσαις, παρόσον παρὰ τῶν ἀκτίνων τοῦ ἡλίου πυροῦνται. GEAT

d. πυρναίαις: ταῖς περκαζούσαις ἢ τρωξίμοις· πύρνος γὰρ ὁ σῖτος καὶ ἡ τροφή. PT

e. ἀλωά: φυτεύσιμος γῆ. K

f. ἀλωὴ σημαίνει τέσσαρα. κυρίως μὲν γὰρ ὁ ἀμπελόφυτος τόπος ὡς κατὰ πολὺ λῴων τοῦ ἁπλῶς πεδίου. λέγεται ἀλωὴ καὶ ὁ δενδροφόρος τόπος, ἐπεὶ δευτέρως καὶ αὐτὸς GEAT

---

2 Et. Gen.: τυτθόν· κυρίως ἐπιτίτθιον βρέφος παρὰ τὸν τιτθὸν τὸν μαζόν· ὅθεν καὶ τυτθὴν λέγουσιν (Et. M., λέγει AB) ὀλίγην ἢ μικράν. Et. M. 772, 12 Zon. τυτθός 5 Et. M. 65, 14: ἁλιτρύτου· ἐν θαλάσσῃ καταπονηθέντος 18 sch. B E 90 sch. α 193; ζ 293 Apion. Gl. Hom. 601, 16 Sturz Eust. 772, 29; 1218, 38; 1410, 11 sch. Apoll. Rhod. II 138 sch. Luc. 281, 2 Rabe

---

2 τὸ σθένος αὐτοῦ om. K 4 verba iterata recte praeterm. Call. 7 ὡρίμαις K 8 ὥραν K: -ας cett. 9 ἐπάγει γοῦν ἑξῆς Ahrens: ἐπάγει οὖν ἑξῆς K: ἑξῆς νῦν φησι cett. 11 πύρνη cod., corr. Ziegler ἢ addidi 13 verba παρόσον seqq. scholio 46 a inter ὡρίμοις περκαζούσαις et οἱ δὲ interiecta habet G 14 πυροῦνται E: -οῦται A: -οῦσθαι GT

λῴων τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανηφόρος τόπος ὁμοίως καὶ αὐτὸς διὰ τὴν αὐτὴν αἰτίαν. ἀλωὴ δὲ καὶ ἡ ἅλως.

K [47 a.] κῶρος: ἀπὸ τοῦ ⟨κόρη⟩· κόρη ἡ τοῦ ὀφθαλμοῦ οἱονεὶ χόρη τις οὖσα ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. κόρη δὲ ἡ παρθένος ἡ ὑγροφυὴς καὶ τρυφερὰ ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν· κορεῖν γὰρ τὸ καθαίρειν, ἀφ' οὗ καὶ νεωκόρος. ἢ παρὰ τὸ κείρω ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα. ἀφ' ἧς καὶ τὸ κόρος καὶ κοῦρος, ὁ ἁπαλὸς καὶ τρυφερὸς παῖς.

KEA b. αἱμασιαῖσι: φραγμοῖς ἠκανθωμένοις· εἰς ἃς οἱ εἰσερχόμενοι αἱμάσσονται τοὺς ἰδίους πόδας.

PT c. ἐφ' αἱμασιαῖσι: ἐπὶ ταῖς φρακταῖς, παρόσον πλήρεις αἵματος γίνονται οἱ εἰσερχόμενοι ἐπ' αὐταῖς διὰ τὸ ἀκανθώδεις αὐτὰς εἶναι.

K [48 a.] ἥμενος: καθεζόμενος. ἀπὸ τοῦ ἕω τὸ καθέζομαι ἕημι, τὸ παθητικὸν ἕεμαι ἧμαι, ἡ μετοχὴ ἑέμενος ἥμενος.

[b.] ὄρχως: ὄρχος ὀρχάτου διαφέρει. ὄρχος γάρ ἐστιν

---

3 Et. Gen. (Et. M. 529, 32): κόρη ἐπὶ τοῦ ὀφθαλμοῦ οἱονεὶ χόρη τις οὖσα ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα. κόρη δὲ ἡ παρθένος ἡ ὑγροφυὴς καὶ τρυφερὰ ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται. ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν (πολιτείαν A). κορεῖν γὰρ τὸ καθαίρειν, ἔνθεν καὶ νεωκόρος. ἢ παρὰ τὸ κείρω ἡ κειρομένη ἔτι νηπιάζουσα. Et. Gud. 338, 3 Sturz Et. Or. 80, 25 11 Epim. Hom. (Cram. An. Ox. I 43, 24) Hesych. Phot. Suid. αἱμ. Lex. Bachm. 44, 14 Et. M. 35, 10 (ex Orione, cf. Et. Gen.) Et. Gud. 46, 1 De Stefani Et. Or. 8, 19 Eust. 1851, 30; 1959, 41 16 Et. Gen. (Et. M. 429, 5): ἥμενον· καθεζόμενον. ἀπὸ τοῦ ἕω τὸ καθέζομαι ἕημι, τὸ παθητικὸν (τὸ παθ. om. A) ἕεμαι ἧμαι, ἡ μετοχὴ ἥμενος καὶ ἥμενον. 18 Et. Gen. (Et. M. 634, 34): ὄρχατος· διαφέρει ὄρχος ὀρχάτου. ὄρχος γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν, παρὰ τὸ ὀρύσσω ὄρυχόν τινα ὄντα, ὄρχατον δὲ τὴν ἐπίστιχον φυτείαν παρὰ τὸ ἔρχεσθαι. καὶ (hoc om. B) Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς, ὁ δὲ Ἡσίοδος ὄρχον λέγει τὴν ἐπί-

---

3 addidi 11 εἰς seqq. om. K 13 τοῖς Ahrens

ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν, παρὰ τὸ ὀρύσσω ὄρυχόν τινα ὄντα, ὄρχατον δὲ τὴν ἐπίστιχον φυτείαν παρὰ τὸ ἔρχεσθαι. καὶ Ἀριστοφάνης (fgm. 120 Kock *Com. att. fgm. I 421*) τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς, ὁ δὲ Ἡσίοδος (Scut. 294) ὄρχον λέγει τὴν ἐπίστιχον τῶν ἀμπέλων φυτείαν· ‘λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ ὄρχων’, καὶ πάλιν (ib. 296/97)· ‘παρὰ δέ σφισιν ὄρχος χρύσεος ἦν’. ἔστι δ’ ὅτε δὴ καὶ κῆπον δηλοῖ. Ἀπίων (cf. *Λέξ.* fgm. 89 Baumert *Apionis quae ad Hom. pertinent fgm., Diss. phil. Regim. 1886, 36*) δὲ ἐτυμολογεῖ παρὰ τὸ ὄρνυσθαι τὴν γῆν πρὸς φυτείαν.

c. ἀν’ ὄρχως: ⟨. . .⟩ τοὺς διδύμους. ἢ τοὺς κλάδους KΘEAT τῆς ἀμπέλου.

[49 a.] φοιτᾷ: φοιτῶ σημαίνει τὸ ὁρμῶ. ὡς παρὰ τὸ πόρος K πορῶ καὶ πορεύομαι παραγωγόν, οὕτω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, τροπῇ τοῦ δ̄ εἰς τ̄ ὁτῶ καὶ πλεονασμῷ τοῦ φ̄ καὶ ῑ̄ φοιτῶ.

στιχον τῶν ἀμπέλων φυτείαν· ‘λευκοὺς καὶ μέλανας βότρυας μεγάλων ἀπὸ (hoc om. B) ὄρχων’, καὶ πάλιν· ‘παρὰ δέ σφισιν ὄρχος χρύσεος ἦν’ (inde a καὶ πάλιν om. B). ἔστι δ’ ὅτε δηλοῖ καὶ κῆπον. Ἀπίων δὲ ἐτυμολογεῖ παρὰ τὸ ὄρνυσθαι τὴν γῆν πρὸς φυτείαν. Et. Gud. 436, 54 Sturz Et. Or. 113, 29

12 sch. Nic. Al. 109: ὄσχαι κυρίως οἱ κλάδοι τῆς ἀμπέλου. cf. *Galeni Pergameni de Atticissantium studiis testimonia coll. Guil. Herbst 1911, 130* 14 Et. Gen. cod. B (Et. M. 797, 48): φοιτῶ σημαίνει τὸ ὁρμῶ. ὡς γίνεται παρὰ τὸ πόρος πορῶ καὶ πορεύομαι παραγωγόν, οὕτω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ καὶ πλεονασμῷ τοῦ ῑ οἰδῶ καὶ τροπῇ τοῦ δ̄ εἰς τ̄ οἰτῶ καὶ πλεονασμῷ τοῦ φ̄ φοιτῶ. Et. Gud. 556, 10. 15 Sturz

---

4 μετόρχιον Jungermann *Poll. Onom. ed. Lederlin. et Hemsterh. 1706, 792* ex Etym.: μετόρχμιον K 7 post βότρυας cod. exhibet φέρουσαν punctis deletum ἀπὸ μεγάλων cod., corr. Ziegler 12 τοὺς διδ. τῆς ἀμπέλου ἤγουν τοὺς κλάδους codd. voce διδύμους (testiculos) non ὄρχους explicari, sed ὄρχεις Toup vidit; κλάδους ad ὄσχους referendum esse statuit Ahrens. constitui quae supra leguntur 13 κλάδους K: λαχιδίους G(E)AT: κοιλάδας E^{s}

[b.] τρώξιμον: παρὰ τὸ τρῶ τὸ σημαῖνον τὸ βλάπτω παραγωγὸν τρώγω. σημαίνει δὲ τὸ κατεργάζεσθαι καὶ μὴ ἐᾶν ἅτινα τρώγει τις ὑγιᾶ. ἀφ' οὗ καὶ τρῶγες, τὰ ἐν τοῖς ὀσπρίοις θηρία, καὶ τρῶκται· παρὰ τὸ τρώγω τρώξω γίνεται τρώξιμος καὶ τρώκτης.

E[5] [c.] ⟨τρώξιμον:⟩ τὴν ὥριμον σταφυλήν.

K[5] [d.] ⟨τρώξιμον:⟩ πέπειρον.

KΘEAT 50a. πάντα δόλον τεύχοισα: γράφεται κεύθοισα, ἀντὶ τοῦ κρύπτουσα· πανοῦργον γὰρ τὸ ζῷον.

KΘEA b. τὸ παίδιον: οὕτω Θεαίτητος, ὡς τὸ παίγνιον, φέρνιον· Ἀττικοὶ δὲ [οὕτω] παραπλήσιον τῷ κλειδίον λέγουσιν.

KΘE[1.2]APT 51a. πρινὴ ἀκράτιστον: πρινὴ ἀκρατισμοῦ ξηρὸν ποιήσει αὐτό· ἀκρατισμὸν δέ φησι τὸν ἀπὸ βρώσεων κόρον.

EAP[m]T b. ἀκράτιστον: οἱ μέλλοντες πολεμεῖν πρωΐας ἔτι οὔσης ὀλίγον τινὰ ἤσθιον ἄρτον καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλουν. ἐνταῦθα δὲ ἀκράτιστον ἀντὶ τοῦ ἄγευστον.

---

1 Et. Gen. (Et. M. 770, 40): τρώγω· παρὰ τὸ τρῶ τὸ σημαῖνον (ὃ σημαίνει B) τὸ βλάπτω παραγωγὸν τρώγω. σημαίνει δὲ τὸ κατεργάζεσθαι καὶ μὴ ἐᾶν ἅτινα τρώγει τις ὑγιᾶ. Et. Or. 152, 13 3 Et. M. 770, 43: τρῶγες· θηρία τὰ ἐν τοῖς ὀσπρίοις. 4 Et. Gen.: τρῶκται· οὕτως τοὺς Φοίνικάς φησιν Ὅμηρος (ξ 288 sq.). παρὰ τὸ τρώγω τρώξω τρώκτης, ὁ ἐπὶ βλάβῃ τισὶν ἐγκαταμίσγων. οὕτως Φιλόξενος. Et. M. 770, 50 Et. Gud. 533, 47 Sturz Et. Or. 152, 18 10 cf. Herodian. I 356, 5 Lentz cum adn. 13 Phot. Suid. ἀκράτισμα Lex. Bachm. 55, 28 14 Plut. Quaest. conv. VIII 726 c d Athen. I 11 c Bekk. An. gr. 23, 15 Phot. ἀκρατίσασθαι Lex. Bachm. 61, 29

---

9 ἀντὶ τοῦ κρ. post ζῷον in GEA 10 Θεαίτητος om. GEA, quare οὐχ ante ὡς inserendum esse Duebner censuerat φέρνιον, quod in codd. post κλειδίον legitur, huc transposuit Ahrens 11 Ἀττικοὶ Apogr. Barb.: Ἀττικ legitur in K: Ἀττικῶς cett. οὕτω proscripto τῷ κλ. scripsi: τὸ κλ. codd. 13 αὐτό Call.: αὐτόν codd. ἀκρατισμὸν seqq. om. GE[1.2]A ἀκράτιστον P νῦν ὡς οἶμαι post δέ add. PT βρώσεων κόρον K: τῶν βρωμάτων κόρον τε καὶ μέθην PT

[c.] *ξηροῖσι*: *ἀπὸ τοῦ ξέω ξῶ ῥήματος, ἐκ μεταφορᾶς τῆς* K
ὕλης τῶν ξύλων· εἴ τι γὰρ ἔξυσται, ξερὸν γίνεται καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰς η̄ ξηρόν.

d. *καθιξεῖ*: *γράφεται καὶ καθίξῃ. βαρυτόνως λεκτέον·* GEAT
τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως οἱ Δωριεῖς ἡμῖν προφέρονται.

52 a. *ἀνθερίκοισιν*: *ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρ-* KGEAT
πὸς ⟨ἢ καυλός. καὶ . . . μέν φησιν, ὅτι ἀσφόδελός ἐστι φυτόν,⟩ ὃ[ς] *τὰ μὲν φύλλα ἔχει ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα· ὁ δὲ καυλὸς ἀνθέρικος καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων. τὸ αὐτὸ δὲ καὶ Θεόφραστός* (Hist. plant. VII 13, 2) *φησιν. ὁ δὲ Ἀπολλόδωρος ὑπὸ Δωριέων φησὶν οὕτω*

---

1 Et. Gen. (Et. M. 611, 3): *ξηρόν· ἀπὸ τοῦ ξῶ ῥήματος, ἀπὸ μεταφορᾶς τῆς ὕλης τῶν ξύλων· εἴ τι γὰρ ἔξυσται, ξηρὸν γίνεται καὶ κατὰ τροπὴν τοῦ η̄ εἰς ε̄ ξερόν. οὕτως Φιλόξενος* (*Φίλων* AB) *εἰς τὸ περὶ μονοσυλλαβίας.* Et. Gud. 415, 17 Sturz Et. Or. 111, 15 Orio Koes. 187, 42 7 Diosc. Mat. med. II 169, 1 Plin. Hist. nat. XXI 109; XXII 67 Nic. Ther. 534 sq. cum sch. sch. ABT Y 227 sch. Call. H. Del. 193 Eust. 1206, 7: *ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρπὸς ἢ καυλός· ἡ δὲ χρῆσις καὶ παρὰ Θεοκρίτῳ.*

---

2 *ξηρὸν—ξερόν* cod., corr. Wilamowitz 7 *ἀνθέριξ* G post *καρπὸς* novi scholii initium deesse Ahrens censuit. ad ea quae addidi conferantur Dioscuridis verba *ἀσφόδελος φυτὸν τοῖς πλείστοις γνώριμον, φύλλον ἔχον πράσῳ μεγάλῳ ἐοικός* 9 verba *ὃς* (correxi) — *πλατύτερα* hoc loco leguntur in K, in fine scholii lemmate *ἀνθέρικος* praefixo in G, desunt in ceteris 10 *ὅσον πηχυαῖος* K, cf. Plinii locum priorem 'Theophrastus et fere Graeci princepsque Pythagoras caulem eius cubitalem et saepe duum cubitorum . . . anthericum vocavere': *ὃς* (*ἧς* G, *ὥς* T) *φησι χυδαῖος* cett. 12 *ὁ δὲ Ἀπ. ὑπὸ Δωριέων* Wilamowitz apud Hefermehl *Studia in Apollodori περὶ θεῶν fgm. Genev., Diss. ph. Berol. 1905, 25*: *Ἀπ. ὁ υἱὸς ὁ δὲ Δωριέων* K: *Ἀπ. δὲ ὁ Δωριέων* GEA: *Ἀπ. δὲ ὁ Δωριεύς* T: *Ἀπ. δὲ τοῖς Δωριεῦσι* Hamaker. Ahrens non grammaticum illum, sed medicum Apollodorum intellegens olim scriptum fuisse putat *Ἀπ. ὁ περὶ θηρίων*, quo de libro Nicandri, Dioscuridis, Plinii fonte vide Wellmann *Herm. 24, 1889, 560 sqq.* sed Neoptolemi memoriam cum grammatici Apollodori saepius coniunctam inveniri recte monuit Hefermehl l. l. *οὕτω* Lex. Phavorini s. *ἀνθέρικος*: *οὐ* codd.

λέγεσθαι τὸν τῆς ἀσφοδέλου καρπόν. ὁ δὲ Νεοπτόλεμος (Meineke *Anal. Alex. 359*) ἀνθέρικον ᾠήθη τὸν ἀθέρα τοῦ στάχυος, γελοίως.

K [b.] καλάν: ἐπίθετον. ἔστι ῥῆμα κάζω, ὃ δηλοῖ τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἀφ' οὗ ῥηματικὸν ὄνομα καλὸς καὶ τὸ θηλυκὸν ἡ καλή. ἢ παρὰ τὸ καλῶ ῥῆμα γίνεται καλὸς διὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον, ὡς τὸ ἀγαθόν, ἐφ' ᾧ ἄγαν θέομεν.

GEAT 53 a. μέλεται δέ οἱ: μέλει δὲ αὐτῷ οὔτε πήρας οὔτε ⟨. . .⟩.

K^{E} b. ⟨μέλεται:⟩ διὰ φροντίδος ὑπάρχει.

KGEAT c. πήρα παρὰ τὸ φέρω φήρα· οἱ δέ, μεθ' ἧς πανταχοῦ GEAT περῶμεν. [d.] καλεῖται δὲ καὶ κίβισις καὶ οὐλάς.

KGEAT 55 a. παντᾷ δ' ἀμφὶ δέπας: πανταχοῦ δὲ περὶ τὸ ποτήριον περιπέπταται καὶ περικέχυται ὑγρός τις καὶ μαλακὸς ἄκανθος, ὅπερ ἐστὶν εἶδος φυτοῦ ἀκανθῶδες, χαμαίζηλον, εἰς μῆκος ἐξανθοῦν λίαν.

K [b.] πέπταται: ἐκ τοῦ ἵπτημι ἔπτακα ἔπταμαι ἔπτασαι ἔπταται καὶ πλεονασμῷ τοῦ π̄ πέπταται Αἰολικῶς. οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον, ὥσπερ τὸ ἐπτέρυγμαι

---

4 Et. Gen.: καλός· τὸ ἐπίθετον (ἐπ. om. B). ἔστι ῥῆμα κάζω, ὃ δηλοῖ τὸ κοσμῶ (ὃ—κοσμῶ om. B), ὁ μέλλων κάσω, ἀφ' οὗ ῥηματικὸν ὄνομα καλός. ἢ παρὰ τὸ καλῶ ῥῆμα γίνεται καλὸς ⟨διὰ adde e scholio⟩ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον, ὡς τὸ ἀγαθόν, ἐφ' ᾧ ἄγαν θέομεν. Et. M. 485, 55 Et. Or. 83, 2; 84, 3 Orio Werf. 614, 38 11 Theogn. Can. (Cram. An. Ox. II 93, 18) Et. M. 670, 52 (cf. Gen.) Et. Gud. 466, 52 Sturz Et. Or. 128, 1 17 Et. Gen. (Et. M. 662, 32): πέπταμαι· ἐκ τοῦ ἵπτημι ἔπτακα ἔπταμαι ἔπτασαι ἔπταται καὶ πλεονασμῷ τοῦ π̄ πέπταται Αἰολικῶς. οἱ γὰρ Αἰολεῖς (οἱ—Αἰολ. om. B) εἰώθασι προστιθέναι σύμφωνον, ὥσπερ τὸ ἐπτέρυγ[ω]μαι πεπτέρυγ[ω]μαι, οἷον 'ὡς δὲ παῖς πέδα (παῖδα libri) μάτερα πεπτέρυγ[ω]μαι'. Ἡρωδιανὸς ἐν τῷ περὶ πάθους (ultima inde ab οἷον om. B, inde ab Ἡρωδ. A). Zon. πέπταμαι

---

2 ἀνθέρικον ᾠ. τὸν ἀθέρα τ. στ. γ. K: ἀνθέρικα (-ος G) γ. ᾠ. τὸν αἰθέρα (ἀέρα G) cett. 9 lacunam esse Duebner (p. X) probavit, cum sch. 55 d ab hoc seiungeret 11 πήραν K 15 ἀκανθῶδες KG: -ους cett.

⟨πεπτέρυγμαι⟩, οἷον (Sapph. fgm. 38 Bergk *Poet. lyr. gr. III*⁴ *102*)· ‘ὡς δὲ παῖς πέδα μάτερα πεπτέρυγμαι.’ Ἡρωδιανὸς ἐν τῷ περὶ πάθους (cf. fgm. 56 Lentz, II 187, 14).

c. ὑγρὸς ἄκανθος ὁ εὐκαμπὴς καὶ εὔτονος. KGEAT

5 d. ⟨. . .⟩ λεπτότερον καὶ εὐτονώτερον. GEAT

e. ὑγρὸς ἄκανθος: ὁ ἄκανθος εἶδός ἐστι φυτοῦ χαμαι- PT
ζήλου, ὑγρὸς δὲ ὁ εὐκαμπὴς ἢ ὁ νεόφυτος.

[f.] ὑγρός: γίνεται τὸ ὑγρὸν ἐκ τοῦ ὕω τὸ βρέχω· ὕσω ὑρὸς K
καὶ ὑγρὸς πλεονασμῷ τοῦ γ̄. ὑγρὸς οὖν ἄκανθος ὁ δίυγρος,
10 ὁ διερός, ὁ ζῶν. ⟨ἢ ὑδρὸς⟩ οἷον ἔννυδρός τις εἶναι δοκῶν.

56 a. Αἰολικόν: ἀπατητικόν[, ποικίλον, ἐκπληκτικὸν KGEAT
καὶ ὃ ἄν τις διὰ κάλλος θαυμάσῃ]· ταῦτα γὰρ δύναται τὸ Αἰολίζειν. b. οἱ γὰρ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται, | c. ⟨ὡς GEAT
ἐν τῷ⟩ ‘Λοκροὶ τὰς συνθήκας’· ταὐτὸν δέ εἰσιν οἱ Λοκροὶ
15 τοῖς Αἰολεῦσι. d. ἢ ⟨αἰπολικόν,⟩ οἷον αἰπόλος ⟨ἂν⟩ KGEAT
θαυμάσαι.

---

8 Et. M. 774, 47: *ὑγρόν· ὑδρόν* (ita corrigendum ex Epimerismis, *ὕδωρ* vulgo) *τι ὂν οἷον ἔννυδρον. ἢ παρὰ τὸ ὕω ὕσω ὑρὸς καὶ πλεονασμῷ τοῦ γ̄ ὑγρός.* Epim. Hom. (Cram. An. Ox. I 419, 2) Et. Gud. 539, 43 Sturz Et. Or. 156, 20 sch. ξ 201 **11** Hesych. Phot. *αἰολίζειν* Hesych. Phot Suid. *αἰόλλει* Lex. Bachm. 48, 27; 49, 29 **14** Paroemiographi (Zenob. IV 97 al.)

---

1 *πεπτέρυγμαι* addidi **2** *πέδα* Koen (Greg. Cor. 638 Schaefer): *παῖδα* **K** **4** *εὐκαμπὴς* Hamaker: *εὔκαμπτος* Duebner: *εὔκοπος* codd. **5** supplenda videntur verba *ὑγρὸς δὲ λέγεται διὰ τὸ εἶναι.* ceterum cf. not. ad sch. 53 a **9** *ὁ διερός, ὁ δίυγρος* cod.; transposui, cum *διερός* ab Aristarcho explicatum sit voce *ζῶν*, cf. sch. Od. **10** addidi **11** l.: *αἰολικόν* **T**: *αἰπολικόν* **K**: *αἰπολικὸν θάημα* cett. verba *ἐκπληκτικὸν—θαυμάσῃ* hoc loco male interpolata esse Ahrens vidit, *ποικίλον* eadem de causa inclusit Wilamowitz **13** *ἢ Αἰολικῶς ⟨ἀπατῶν* addi vult Ahrens⟩ ante b inserunt **KGEA** sch. c, quod in libris post lemma scholii 57 b legitur, huc referendum duxit Adert, *ὡς ἐν τῷ* add. Ahrens *ταὐτοὶ* codd., mutavi hortante Wilamowitzio **15** *ἢ* om. **T** hoc sch. confundens cum scholio k *αἰπολικόν* addidi *ἂν* add. Call.

KQEA e. *αἰολικόν*: *αἰόλον τι καὶ ποικίλον θέαμα.*

KPT f. *γράφεται χωρὶς τοῦ* π̄ *Αἰολικόν*, *τὸ ἀπατητικόν· Αἰολίζειν γὰρ τὸ ἀπατᾶν. Σοφοκλῆς* (fgm. 826 Nauck *Trag. gr.*

KQEAPT *fgm.*^{2} *323*)· *᾽μηδ᾽ Αἰόλιζε ταῦτα᾽.* g. *ἢ Αἰολικὸν τὸ Αἰτωλικόν. Αἰολεῖς γὰρ οἱ Αἰτωλοί· ἐξ Αἰτωλίας δέ φησι τὸ πο-*

QEA *τήριον κεκομίσθαι.* [h.] *γράφεται δὲ Αἰτωλικόν.*

P^{m} [i.] ⟨*αἰπολικόν:*⟩ *διὰ τῶν αἰπόλων δηλοῖ καὶ τοὺς ποιμένας καὶ τοὺς βουκόλους.*

PT [k.] *θάημα*: *θέαμα.*

KQEAT l. *ἀτύξαι*: *καταπλήξαι σου τὴν ψυχήν, καὶ δι᾽ ὑπερβολὴν κάλλους τεράστιον ἂν νομισθείη.*

PT m. *τέρας κέ τυ θυμὸν ἀτύξαι*: *ἀντὶ τοῦ ἐκπλῆξαι δυνάμενον. καὶ Ὅμηρος* (Z 468)· *᾽πατρὸς ὄψιν ἀτυχθείς᾽. τοῦτο τὸ θέαμα τεράστιον* [*τι*] *ὂν τὴν σὴν ἐκπλήξει διάνοιαν.* n. *τοῦτο δὲ ἔφη δι᾽ ὑπερβολὴν τοῦ κάλλους.*

K [57 a.] *πορθμεῖ*: *ἀπὸ τοῦ πορθμός. ὡς ἀπὸ τοῦ κείρω κορμός, οὕτως καὶ ἀπὸ τοῦ πείρω τοῦ σημαίνοντος τὸ περῶ γίνεται πορμὸς καὶ πλεονασμῷ τοῦ* θ̄ *πορθμός· ἔστι δὲ θά-*

---

1 sch. B Z 359 Hesych. Phot. Suid. *αἰόλος* Lex. Bachm. 45, 1 4 Hesych. *Αἰολικὸν θέαμα· ἀντὶ τοῦ Αἰτωλικὸν* (*Αἰολικὸν* cod., corr. Casaubon) *παρὰ Θεοκρίτῳ· ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο.* 16 Et. Gen. (Et. M. 683, 15; 477, 22): *πορθμός· ὡς ἀπὸ τοῦ κείρω κορμός, οὕτως καὶ ἀπὸ τοῦ πείρω τοῦ σημαίνοντος τὸ περῶ γίνεται πορμὸς καὶ πλεονασμῷ τοῦ* θ̄ *πορθμός* (hoc om. A). *ἔστι δὲ θάλασσα μεταξὺ δύο ἠπείρων, ἰσθμὸς δὲ τοὐναντίον ἡ στενὴ ἤπειρος ἡ μεταξὺ δύο θαλασσῶν.*

---

1 l.: *αἰολικόν* scripsi: *αἰπολικόν* K: *αἰπολικὸν θάημα* cett.: *αἰολίχον* (ab *αἰόλος* ut *πυρρίχος* a *πυρρός*) *θάημα* Ahrens *αἰόλον — θέαμα* K: *αἰολικόν — θέημα* cett. 2 *αἰπολικόν τι θάημα· γρ. καὶ χ.* PT *τὸ ἀπατητικόν* om. K *αἰολίζειν—ἀπατᾶν* K: *αἰολίζω—ἀπατῶ* cett. 3 *Σοφοκλῆς* Toup, confirmat Lex. Bachm. 49, 29: *Ἱεροκλῆς* codd. 4 *ταῦτα* PT: *αὐτάν* Apogr. Ambr. Barb.: evan. in K *τὸ Αἰτωλικόν* om. KGEA 7 Thyrsis enim non *αἰπόλος* est, sed *ποιμήν* 9 T: *καὶ θέαμα καὶ θαῦμα* 11 *τεράστιον* Jacobs (p. XXXII): *ἐραστὸν* T: *ἐραστὸς* cett. praeterm. Call., *τέρας τι ὄν* prop. Wilamowitz 15 sch. n, quod in libris adhaeret scholio f, huc transposui

λασσα μεταξὺ δύο ἠπείρων, ἰσθμὸς δὲ τοὐναντίον ἡ στενὴ ἤπειρος μεταξὺ θαλασσῶν δύο. ἀπὸ τοῦ πορθμὸς οὖν γίνεται πορθμεὺς ὁ περάτης.

b. πορθμεῖ Καλυδωνίῳ: ἢ ὄνομα κύριον ἢ τῷ ἀπὸ Καλυδῶνος εἰς Πελοπόννησον αὐτὸ διακομίσαντι· ἀντίκειται γὰρ ἀλλήλων τὰ χωρία. c. τινὲς δὲ γράφουσι Καλυδνίῳ, ἀγνοοῦντες ὡς αἱ Καλυδναὶ ἐγγὺς τῆς Κῶ εἰσιν. Ὅμηρος (B 677)· 'καὶ Κῶν Εὐρυπύλοιο πόλιν νήσους τε Καλυδνάς.' KθEAT

d. πορθμεῖ: ἴσως διαπορθμεύοντι ἐξ Αἰτωλίας εἰς Πελοπόννησον. θEAT

58a. τυρόεντα: τυρός, τυρόεις παραγωγόν, τυρόεντα. τὸ τυ μακρόν, ροεντα με συνίζησις. τὰ εἰς ρος γὰρ δισύλλαβα ὀξύτονα τῷ υ παραληγόμενα ἐκτείνουσιν αὐτό, οἷον τυρός, πυρὸς ὁ σῖτος· τὸ πῦρ δὲ τοῦ πυρὸς βραχὺ καὶ τὰ ὅμοια. KθEAT

[b.] τυρόεντα: ἐκ τοῦ τυρὸς τυρόεις. γίνεται δὲ παρὰ τὸ τηρῶ· γάλα γὰρ τηρούμενον ὁ τυρός. τὸ δὲ τηρῶ παρὰ τὸ οὐρῶ τὸ φυλάσσω, πλεονασμῷ τοῦ τ τουρῶ καὶ τροπῇ τῆς ου εἰς η τηρῶ. τὸ δὲ τυρὸς ἐκβολῇ τοῦ ο γέγονε. K

[c.] μέγαν λευκοῖο γάλακτος: λείπει τὸ κύκλον. EᵉP

[d.] ⟨τυρόεντα:⟩ τυρόν· Ἰωνικὸν ἀντὶ πρωτοτύπου τὸ παραγωγόν. Eᵉ

---

12 Herodian. I 192, 1—12 Lentz 14 Et. M. 697, 11 15 Et. Gen. (Et. M. 772, 5): τυρός· τροπῇ τοῦ η εἰς τὸ υ· ὡς ἁλμηρὸς καὶ ἁλμυρός, οὕτως καὶ (hoc om. A) παρὰ τὸ τηρεῖν τηρὸς καὶ τυρός· γάλα γὰρ τηρούμενόν ἐστιν ὁ τυρός. Et. Or. 153, 1 16 Et. M. 757, 47: τηρῶ· . . . ἐκ τοῦ ὠρῶ τὸ φυλάττω, πλεονασμῷ τοῦ τ τωρῶ (διὰ τοῦ ω μεγάλου ὡς πυλωρός) καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν τηρῶ. Et. Gud. 528, 35 Sturz 19 Hesych. τυρόεντα· πλακοῦντα.

---

4 post l. inserto scholio 56 c GEAT pergunt τὸ δὲ Καλυδωνίῳ (-ώνιον T) ἢ κτλ. 5 αὐτὸ Call.: αὐτὸν K: αὐτῷ cett. διακομ. K: μετακομ. cett. 6 γὰρ K: δὲ cett. 7 Καλυδναὶ cod., corr. Heinsius 8 πόλιν Brub. cum Homero: πόλεως cod. Καλυδῶνας K, corr. Apogr. Barb. 11 τυρός—τυρόεντα om. K

K^E e. ⟨λευκοῖο γάλακτος:⟩ λευκὸν μὲν γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος.

K [59.] χεῖλος: παρὰ τὸ χέω χέλος ⟨καὶ χεῖλος⟩· εἰς αὐτὸ γὰρ χέονται αἱ τροφαί.

[60a.] ἄχραντον: ἀθιγές, οὗ χεὶρ οὐχ ἥψατο. ἢ· ὃ οὐδέποτε εἰς χρείαν ἦλθεν.

[b.] πρόφρων: προθύμως, παρὰ τὴν προ καὶ τὸ φρῶ.

PT c. ἀρεσαίμην: ἀντὶ τοῦ· εὐάρεστος δόξαιμι.

KGEAT 61a. ἐφίμερον: τὸν γλυκύν. λέγει δὲ τὴν ἐπὶ Δάφνιδι ᾠδήν.

K [b.] ὕμνος: ⟨κατὰ συγκοπήν,⟩ ὑπόμονός τις ὤν, καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις. ⟨κεχώρισται δὲ τῶν ἐγκωμίων καὶ τῶν προσοδίων καὶ τῶν παιάνων⟩ οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων, ἀλλ' ὅτι τὰ ἄλλα προσόδια⟨, καθὰ κέκληται,⟩ προσιόντες ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾖδον, τὸν δὲ ὕμνον πρὸς κιθάραν. οὕτω Δίδυμος (cf. fgm. 3 Schmidt, p. 389).

---

3 Et. Gen.: χεῖλος· παρὰ τὸ χέω χέλος καὶ χεῖλος· εἰς αὐτὸ γὰρ χέονται αἱ τροφαί. ἢ παρὰ τὸ χέειν λόγους. Et. M. 811, 11 5 Et. Gen. (Et. M. 182, 27): ἄχραντον· ... ἢ ἀχέραντον (-ος AB), οὗ μηδέπω χεὶρ ἥψατο. ἢ τὸ μηδέπω ἐν χρείᾳ γεγονός. Suid. ἄχραντον 7 Et. Gen. (Et. M. 691, 35): πρόφρων· προθύμως, παρὰ τὴν προ καὶ τὸ (τοῦ A) φρῶ. 11 Et. Gen. cod. B (Et. M. 777, 1): ὕμνος· ⟨κατὰ συγκοπήν add. Et. M.⟩, ὑπόμονός τις ὤν, καθὸ εἰς ὑπομονὴν καὶ μνήμην ἄγει τὰς τῶν ἐπαινουμένων πράξεις. κεχώρισται δὲ τῶν ἐγκωμίων καὶ τῶν προσοδίων καὶ παιάνων (ἐπαίνων B Et. M., rectum habet Et. Or.) οὐχ ὡς κἀκείνων μὴ ὄντων ὕμνων, ἀλλ' ὅτι τὰ ἄλλα προσόδια, καθὰ κέκληται, προσιόντες ναοῖς ἢ βωμοῖς πρὸς αὐλὸν ᾖδον, τὸν δὲ ὕμνον πρὸς κιθάραν. οὕτω Δίδυμος. Et. Or. 155, 22 Procl. Chrest. (Phot. Bibl. 320ª 9 Bekker).

---

3 addidi 5 τοῦ μὴ χεὶρ ἥψατο E^E 7 τοῦ φρῶ cod., tacite corr. Ziegler 9 Δάφνιδος KT 11 scholium valde lacunosum ita explevi, ut cum Etymologico congrueret 12 ὑπόμνησιν pro ὑπομονὴν Schmidt 15 προσῴδια K

[62/63 a.] *κερτομέω: ἐρεθίζω, χλευάζω. καὶ 'κερτομίοις ἐπέεσσιν' ἐρεθιστικοῖς, παροξυντικοῖς, χλευαστικοῖς, ἀπατηλοῖς· κερτόμιον γὰρ λόγιον τὸ παραλογιστικὸν παρὰ τὸ τέμνειν τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, τῶν ἀκουόντων. καὶ κέρτομος ὁ παραλογιστής.*

[b.] *⟨τὰν γὰρ ἀοιδάν:⟩ παροιμία ἐπὶ τῶν γινωσκόντων καὶ μὴ μεταδιδόντων.* E[5]

c. *τὸν ἐκλελάθοντα: ἐκλανθάνουσι γὰρ πάντων οἱ ἐν αὐτῷ, ἤγουν τὸ τῆς Λήθης ὕδωρ πίνοντες.* KQEAT

d. *τὸν ἐκλελάθοντα: τὸν λήθης αἴτιον.* PT

e. *⟨τὸν ἐκλελάθοντα:⟩ τὸν λήθην ἐμποιοῦντα πάντων.* E[5]

64 a. *ἄρχετε βουκολικᾶς: ἄρξασθαί με ποιήσατε τῆς βουκολικῆς ᾠδῆς ἀντὶ τοῦ ἀρχηγοὶ γίνεσθε· ἐπικαλεῖται γὰρ αὐτὰς μέλλων ἀείδειν.* KQEAPT[1.2]

b. *ἄρχετε: τοῦτο λέγεται ἐπῳδὸς καὶ πρόᾳσμα καὶ ἐπιμελῳδημα.* KPT

c. *⟨...⟩ Μνασέας* (fgm. 7 Mueller *Fgm. hist. gr. III 150*) GEAT

---

1 Et. Gen.: *κερτομέων· ἐρεθίζων, χλευάζων. καὶ 'κερτομίοις' ἐρεθιστικοῖς, παροξυντικοῖς, χλευαστικοῖς, ἀπατηλοῖς. κερτόμιον παραλογιστικὸν παρὰ τὸ τέμνειν τὸ κέαρ, ὅ ἐστι τὴν ψυχὴν χλευάζειν λόγοις τοιούτοις.* Ὧρος (additis *χλευάζειν καὶ* ante *τέμνειν* om. ultima inde ab *χλευάζειν* B). Et. M. 506, 38. 36. 33 Et. Gud. 317, 20. 23; 197, 52 Sturz Lex. *Αἰμ.* 623, 43 11 Greg. Cor. Dial. dor. 6: ... *τὸν ἐκλελάθοντα φυλαξεῖς· ἤγουν τὸν λήθοντα καὶ τὸν λήθην ποιοῦντα.* 15 sch. Veron. Verg. Buc. VIII 21: incipe Maenalios: antiquorum more hanc clausulam velut epodon repetit Theocritum secutus *ἄρχετε* κτλ. 17 sch. Eur. Rhes. 36 (cit. ad sch. I 3/4 c—f)

---

4 *παραλογιστικός* cod. 8 *πάντων* Ahrens, cf. sch. e: *πάντες* codd. 12 *ἄρξασθαι—γίνεσθε* K: *ἀρχηγοὶ γίνεσθέ μοι τῆς βουκ. ᾠδ. ὦ Μοῦσαι* post *ἀείδειν* additis *ἄλλως· ἄρξασθαί με* (*μοι* EA ante corr., T) *ποιήσατε τῆς βουκ. ᾠδ.* GEAT[2]: *τῆς βουκ. ᾠδ. ἄρξασθαί με ποιήσατε ὡς ποιήτριαι* PT[1] 14 *μέλλων ἀείδειν* om. PT[1] 15 *ἐπῳδὸς* Duebner, cf. sch. 94 b: *ἐπῳδὴ* codd. 17 lac. indicavi, cum interpretem de carmine bucolico plura dixisse appareat *Μνασέας* Heinsius: *Μνασίας* codd.

δὲ ἐν τῷ περὶ Εὐρώπης Πανός φησι Βουκολίωνα υἱόν, ἀφ' οὗ καὶ τὸ βουκολεῖν.

KBEAT 65/66 a. Θύρσις: ὁ ποιμὴν Θύρσις ἐπαινεῖ ἑαυτόν. ἡ δὲ Αἴτνη Σικελίας ὄρος ἀπὸ Αἴτνης τῆς Οὐρανοῦ καὶ Γῆς, ὥς φησιν Ἄλκιμος ἐν τῷ περὶ Σικελίας (fgm. 2 Mueller *Fgm. hist. gr. IV 296*). Σιμωνίδης (fgm. 200[B] Bergk *Poet. lyr. gr. III*[4] *524*) δὲ Αἴτνην φησὶ κρῖναι Ἥφαιστον καὶ Δήμητραν περὶ τῆς χώρας ἐρίσαντας. Δημήτριος δὲ ὁ Καλλατιανὸς (fgm. 4 Mueller *Fgm. hist. gr. IV 381*) τοῦ Βριάρεω, ἑνὸς τῶν Κυκλώπων, παῖδας γενέσθαι Σικανὸν καὶ Αἴτνην, ἀφ' ἧς τὸ K[1.2]BEAT ὄνομα. b. ⟨...⟩ Νυμφόδωρος δέ φησιν ἐν τῷ περὶ Σικελίας θαυμαζομένων (fgm. 2 Mueller *Fgm. hist. gr. II 376*), K ὅτι τοῦ Δάφνιδος c. μεταλλάξαντος ἐκκομιζομένῳ τοὺς κύνας συνακολουθεῖν καὶ ἐπὶ τοῦ τάφου μεταλλάξαι καὶ εἶναι αὐτῶν ἓν μνῆμα, ἐν ᾧ γέγραπται· 'Σᾶμος Πόδαργος Λάμπος Ἄλκιμος Θόας.'

KBEAPT d. Θύρσις ὅδ' ὡξ Αἴτνας: ὡς Σικελιώτου αὐτοῦ ὄντος καὶ κατὰ τὴν Αἴτνην νέμοντος. μέλλει δὲ ᾄδειν, ὃν τρόπον δ

11 Aelian. Nat. anim. XI 13 18 Serv. Verg. Buc. X 9: est quaedam Theocriti ecloga, in qua suos amores deflere Daphnis inducitur vel, ut alii, quidam pastor Daphnin amore mortuum deflet.

3 ἐπαινεῖ K: αἰνεῖ cett. 4 ἀπὸ Αἴτνης—Σικελίας om. BEAT τῆς scripsi: τοῦ K 5 verba ἐν τῷ περὶ Σικελίας, quae in K post Σιμωνίδης δὲ leguntur, traicienda esse vidit Bergk. antea corruptum putabant nomen Simonidis 8 Καλλατ. Warton: Καλλαιτ. K: Καλαιτ. cett. 10 ἧς KT: οὗ cett. 11 sch. b in GEAT et iterum in K adhaeret scholio 69 c, unde removi lacunam indicans Ἀπολλόδωρος K[1] δὲ omisso post θαυμαζ. habent φησίν K[2]GEAT ἐν τῷ om. GEAT 12 θαυμάζομεν codd., corr. Jacobs (p. XXXIII) 13 ἐκκομιζομένῳ τοὺς κ. συνακολουθεῖν scripsi: συνεκκομιζόμενον τοὺς κ. ἀκολουθεῖν cod.: τοὺς αὐτοῦ κ. συνεκκομίζοντας ἀκολουθεῖν Ahrens (ap. Ziegl.) 14 τάφου scripsi: τόπου cod. 15 Σάμος Ahrens ib.: ἄμος cod.: Σάν⟨ν⟩ος Aelianus. nomen accentum postulare circumflexum Ahrens recte docuit *De graec. ling. dial. II 559*. quocum convenit, quod equi nomen Σῆμος est in tabula musei Berol. 1820 et in C. J. G. 8155 Λαμπάς et Θέων Aelianus 18 ante μέλλει inserunt GEA novum l.: καὶ Θύρσιδος ἀδέα φωνά

Δάφνις οὐ δυνάμενος φέρειν τὸν τῆς Ξενέας ἔρωτα — ἔστι δὲ ὄνομα Νύμφης — ἐξῆλθεν ἐκ τοῦ ζῆν.

e. *ἀντὶ τοῦ· αἱ Νύμφαι τότε οὐκ ἦσαν περὶ Σικελίαν, ὅτε ὁ Δάφνις ἀπώλετο. ἴσως δὲ διὰ τὸ Νύμφης ἐρᾶν ὑπερηφανευούσης αὐτὸν αἰνίσσεται ὡς μηδὲ τῶν λοιπῶν αὐτόθι οὐσῶν.*

f. *πῇ ποκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο: Δάφνις* PT *Σικελιώτης τυγχάνων καὶ ἐν Σικελίᾳ ἦν, ὅτε τὰ λοίσθια ἔπνεεν. ὅτι γοῦν Νύμφης ἦρα ὁ Δάφνις, ἡ δὲ Νύμφη ἀπεστρέφετο αὐτὸν διὰ τὴν πρὸς ἑτέρας γυναῖκας ὁμιλίαν, αἰνίσσεται, ὅτι οὐδὲ αἱ λοιπαὶ ἐν Σικελίᾳ ἦσαν, ὅτε ὁ Δάφνις ἔθνησκε.*

67a. *κατὰ Πηνειῶ: Πηνειὸς ποταμὸς Θεσσαλίας. τὰ* KGEAPT *δὲ τέμπη γενικῶς μὲν τὰ ἄλση· νῦν δὲ τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον, ὃ ἔστι περικαλλὲς καὶ ὥσπερ ὑπὸ θείας γνώμης πρὸς τὴν διόρυξιν διῃρημένον, δι' ἧς ὁ Πηνειὸς πρὸς τὴν θάλασσαν ῥεῖ.* [b.] *λέγεται δὲ τοῦτο τὸ χωρίον* PT *τέμπεα Θετταλικά.*

c. *κατὰ Πίνδω: Πίνδος ὄρος Ἀρκαδίας ἢ ποταμὸς ἢ* KGEAPT[1-2] *ὄρος τῆς Περραιβίας ἐγγὺς θαλάσσης.*

68a. *οὐ γὰρ δὴ ποταμοῖο: οὐ γὰρ τότε τὸ μέγα ῥεῦμα* KGEAT *εἴχετε ἀντὶ τοῦ οὐκ ᾠκεῖτε, ὃ ἐστιν οὐκ ἦτε ἐκεῖσε.*

b. *μέγαν ῥόον εἶχετ' Ἀνάπω: τὸ εἴχετε ἀντὶ τοῦ* PT *κατῳκεῖτε.*

---

1 Ξενέας KT: Ξενίας cett. ἔστι δὲ ὄν. *N.* om. GEA 2 ἐξῆλθεν ἐκ τοῦ ζῆν apographa cod. K: ἐξ .... τοῦ ζῆν ceteris evanidis K: ἐξέλιπε (ἀπέλιπε T) τὸ ζῆν cett. 4 διὰ τοῦ P ὑπερηφανευούσης K: ὑπερηφανούσης PT: περιφανοῦς εἰς cett. 5 αἰνίσσεται scripsi: αἰνισσόμενος KGEA: αἰνισσομένου PT 8 τυγχάνων P: ὑπάρχων T 12 Πηνειὸς—τὰ δὲ om. GAPT τὸ δὲ K 13 μὲν om. K 15 ὄρυξιν GEA δι' οὗ PT 18 l. om. KGEAT[2] ὄρος Ἀρκ. ἢ ποτ. ἢ om. GEAT[2]. de Pindo Arcadiae monte non constat ἢ ποτ. seqq. om. PT[1] 21 εἶχ. ἀντὶ τοῦ οὐκ ᾠκ. scripsi: ᾠκ. ἀντὶ τοῦ οὐκ εἶχ. K: οὐκ εἶχ. EA: εἶχ. GT

KGEAPT c. ὁ δὲ *Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας. Ἄναπος δὲ εἴρηται ὁ ἄνευ πόσεως ὤν, οἷον ἀβληχρὸν ὕδωρ ἔχων.*

KGEAT d. *Ἄναπος ποταμὸς περὶ Σικελίαν παρὰ τὸ τοῖς ποσὶ διαβατὸς εἶναι.*

$K^{1-2}G^{1-2}E^{1-2}A^{1-2}PT^{1-2}$ 69a. *Ἄκιδος ἱερὸν ὕδωρ: Ἄκις ποταμὸς Σικελίας.*

KGEAT b. *Ἄκις παρὰ τὸ ἀκίδι ἐοικέναι τὰ ῥεύματα.*

P^{m} 72a. *δρυμὸς τόπος λέγεται ὁ πολλοὺς ἔχων δρῦς.*

$KGEAP^{m}T$ b. *τινὲς αἰτιῶνται τὸν Θεόκριτον καί φασιν ἐν Σικελίᾳ λέοντα μὴ εἶναι. ἀλλὰ προστιθεμένη ἡ ἂν συλλαβὴ λύει τὴν αἰτίαν, ἵνα ᾖ· τῆνον ἂν ἔκλαυσεν, εἰ ἐν Σικελίᾳ λέων ἦν.*

PT [74.] *πολλαί οἱ πὰρ ποσσί: ὅρα τὴν ἡδονήν. ἀντῳδὴ δὲ τὸ σχῆμα, ἥτις γίνεται οὕτως, ὅταν τις λαλῇ ᾠδὴν ἄλλην καὶ ἄλλην ἀποκρίνεται.*

KGEAT 75a. *δαμάλαι: αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες αἱ μικραὶ καὶ μήπω εἰς ζυγὸν ἐλθοῦσαι.*

E^{s} [b.] ⟨*δαμάλαι:*⟩ *μεταπλασμὸς ἀντὶ τοῦ δαμάλεις.*

$KGEAP^{m}$ 77a. *ἦνθ' Ἑρμῆς: ἦλθεν ὁ Ἑρμῆς πρώτιστος ἢ ὡς*
KGEAPT *νόμιος ἢ ὡς φίλος Δάφνιδος ἢ ὡς ἐραστής.* b. *τὸ δὲ* λ

---

1 sch. VII 151/52 b 8 Eust. 1053, 3 20 Ahrens *De graec. linguae dial. II 110 n. 3* v. 78. Hesych. κατατρύχει· *λυπεῖ, καταπονεῖ.*

---

1 *ἐν Συρακούσαις τῆς Σικελίας* PT: *περὶ τὴν Σικελίαν Συρακούσαις* cett. 2 *ὡς* pro *ὁ* Call. *οἷον ἀβλ.* K: *ἀβλ.* GEA: *καὶ βληχρὸν* PT 4 *Ἄναπος—Σικελίαν* om. K *ποταμὸς* Ahrens: *ποτὲ* EAT: *δὲ* G 6 l. om. $K^{1-2}G^{1}E^{1}A^{1}T^{1}$ 7 post *Σικελίας* in $K^{2}G^{2}E^{2}A^{2}T^{2}$ legitur *ἐνῇ*, quod non expedio 11 *λέοντας* Heinsius 12 *ἵνα—ἦν* K: *καὶ* (om. GP) *εἰ ἐγένετο γὰρ ἐν Σικελίᾳ λέων, κἀκεῖνος τοῦτον ἐθρήνησε* cett. 19 *ἦλθεν ὁ Ἑ. πρώτιστος* K: *πρῶτος Ἑ. ἦλθεν* GEA: om. P *ἢ ὡς νόμιος* om. K

εἰς $\bar{ν}$ τρέπουσιν οἱ Δωριεῖς, ἀλλ' οὐ διὰ παντός, ἀλλ' ὅτε τὸ $\bar{ϑ}$ ἢ τὸ $\bar{τ}$ ἐπιφέρεται, οἷον βέλτιστος βέντιστος, φίλτατος φίντατος, ἦλθεν ἦνθεν.

81 a. ἦνθ' ὁ Πρίηπος: οἰκείως· ἀγροικικὸς γὰρ ἦν ὁ Πρίηπος ὡς καὶ Δάφνις καὶ — ἴσως διὰ τὸ κάλλος — υἱὸς Ἀφροδίτης. GEAT

b. ⟨ἦνθ' ὁ Πρίηπος:⟩ ἢ ὡς ἐραστὴς τοῦ Δάφνιδος ἢ ὡς υἱὸς Ἀφροδίτης. GEAT

82—85 a. κἤφα: καὶ ἔφη· κατὰ συναίρεσιν καὶ συγκοπήν. KGEA

[b.] κἤφα: καὶ ἔφη· ἔστι δὲ τὸ πάθος ἔκθλιψις ⟨καὶ⟩ κρᾶσις. T

c. ἦ δέ τι κώρα: τὸ ἑξῆς· αὕτη δὲ ἡ κόρη ἀνὰ πᾶσαν τὴν κρήνην ζητοῦσά σε — διὰ μέσου γὰρ ὁ στίχος τοῦ ἄρχετε. KGEAT

d. φορῆται: μανιωδῶς φέρεται. καθόλου τὰ εἰς $\overline{ται}$ ῥήματα, ὅταν τῷ $\bar{η}$ παραλήγηται περισπωμένως, παροξυτονοῦσι Δωριεῖς· ὅταν δὲ βαρυτόνως, ὁμοίως ἡμῖν ἐκφέρουσιν.

e. ζάτεισα: Αἰολικὸν τὸ ζάτεισα, διὸ καὶ βαρύνεται. συναπτέον δὲ τοῦτο τοῖς ἐπάνω· πάντῃ δὲ πλανᾶται ζητοῦσα αὐτόν. εἰρωνευόμενος δὲ λέγει πρὸς αὐτόν· αὐτὸς γὰρ μᾶλλον ἐζήτει.

---

10 Greg. Cor. Dial. dor. 14 14 Ahrens *De graec. linguae dial. II 28 n. 8*

---

1 μετατρέπουσιν **GEA** ἀλλ' οὐ διὰ παντός, ἀλλ' **GEA**: οὐ πάντοτε, ἀλλ' **PT**: om. **K** ὅτε—ἐπιφέρεται **K**: ὅτε—ἐπάγοιτο **P**: ὅταν αὐτὸ (αὐτῷ Bast *Greg. Cor. 198 Schaefer*) —ἐπιφέρηται cett. τὸ ante $\bar{τ}$ om. **K** οἷον seqq. om. **P** 3 ἦλθεν ἦνθεν **K**: οὕτως καὶ τὸ 'ἦνθ' 'Ερμῆς' **GEA**(T) 4 omisso οἰκείως **GEAT** exhibent ἴσως—Ἀφροδίτης, deinde ἀγροικικὸς δὲ ὡς Δάφνις 5 Πρίαπος **K** 7 l. addidi ἐρώμενος codd. Wilamowitz monet veterem scholiastam Priapum venientem fecisse, quod Daphnidis amator propter eius formam (διὰ τὸ κάλλος sch. a) fuisset 9 καὶ ἔφη om. **K** 10 add. Call. 13 γὰρ **K**: δὲ **GAT**: om. **E** τοῦ **K**: τὸ **EAT**: om. **G** 14 μαν. φέρ. om. **GEAT** λήγοντα post $\overline{ται}$ add. **GEAT** 15 ὅταν—Δωριεῖς ut supra **K**: ὅταν ἔχῃ τὸ $\bar{ν}$ παραληγόμενον (ει παραλῆγον Ahrens) καὶ προπερισπώμενον παροξύνουσιν οἱ Δωριεῖς cett. 16 ὅταν δὲ seqq. uncis Ahrens inclusit. mihi spectare videntur ad λέγηται et eius generis formas βαρυτόνως **K**: βαρυνόμενον cett. 17 bis ζάτεισα **K**: ζατοῖσα cett. 19 τοῦτο post πρὸς αὐτὸν add. Call.

διὰ τοῦτο καὶ δύσερως. τινὲς δέ φασιν, ὡς οὐ διὰ τὴν Νύμφην, ἀλλὰ διὰ τὴν τοῦ βασιλέως θυγατέρα, δι' ἣν καὶ ἐπηρώθη.

K f. *ζητοῖσα: Αἰολικὸν ἀντὶ τοῦ ζητοῦσα. εἰρωνεύεται δέ· ζητεῖ γὰρ αὐτὸς μᾶλλον, οὐ ζητεῖται ὑπὸ τῆς Νύμφης. ἢ καὶ παρηγορητικὸς ὁ λόγος.*

g. *τὸ δὲ ζητοῖσα οὐκ ἔστι Δωρικόν· εἰ γὰρ ἦν, εἴρητο ἂν ζατοῦσα.*

EA h. *ζάτοισα βαρέως· ἔστι γὰρ Αἰολικόν, διὸ σημαίνει τὸ ζητοῦσα. εἰ δ' ἦν Δωρικόν, εἴρητο ἂν ζατοῖσα.*

P i. *ζατοῖσ' ἄ: γράφεται καὶ χωρὶς κουφίσματος ζάτοισα ἀντὶ τοῦ ζητοῦσα Αἰολικῶς. εἰ δ' ἦν Δωρικῶς, εἴρητο ἂν ζατεῦσα.*

KGEAT k. *δύσερώς τις ἄγαν: δύσκολον ἔρωτα ἔχεις καὶ παντελῶς ἀπροσμηχάνητον. ζητοῦσα γάρ σε ἡ Νύμφη περιέρχεται. παρηγορῆσαι θέλων τοῦτό φησι πρὸς αὐτόν.*

KEAT 86 a. *βούτας μὲν ἐλέγευ: βουκόλος ὤν, φησίν, οὐ κατὰ βουκόλους ἐρᾷς. οἱ μὲν γὰρ βουκόλοι πρὸς τὴν τῶν ἀφροδισίων μῖξιν ἐγκρατεῖς, τοὐναντίον δὲ λαγνότατοι οἱ αἰπόλοι·*

---

1 Serv. auct. Verg. Buc. V 20: Daphnin ..., quem mater sua compressa a Mercurio et enixa abiecit. hunc pastores invenerunt inter lauros ⟨et *add. Maaswyck*⟩ Daphnin vocaverunt. quem Pan musicen docuisse dicitur. qui cum et venationis et musices peritissimus esset, adamatus a nympha est; qui etiam iure iurando adstrictus est, ne cum alia concumberet. hic dum boves persequitur, ad regiam pervenit et ob pulchritudinem appetitus cum regis filia consuetudinem miscuit. hoc cum nympha rescisset, luminibus eum orbavit. ille in auxilium patrem Mercurium invocavit. qui eum in caelum eripuit et in eo loco fontem elicuit, qui Daphnis vocatur, apud quem quotannis Siculi sacrificant. Philarg., sch. Bern. ib. Serv. auct. Verg. Buc. VIII 68 (v. adn. ad sch. VIII b. 93 a)

---

1 ὡς K: ὅτι cett. 2 καὶ ἐπηρώθη K: ἐπηρώτα cett. 6 εἰ γὰρ ἦν εἴρητο Ziegler: ἢ γὰρ εἰ ἦν εἴρηται cod. 9 ζητοῖσα codd. 10 γράφεται καὶ ζάτοισα δίχα κουφίσματος P^m 11 εἴρηκεν ἄρα cod., correxi 14 ἀπροσμήχανον GEAT 15 τοῦτο T: τοῦτον cett. πρὸς αὐτόν om. K 17 τὴν—μῖξιν K: τὰ ἀφροδίσια cett. 18 τοὐν. δὲ λαγν. οἱ αἰπ. K: οἱ δὲ αἰπ. λάγνοι cett.

καὶ ἡ αἰτία, ὅτι κατωφερέστεραι οὖσαι αἱ αἶγες δελεάζουσι τοὺς αἰπόλους.

b. βούτας μὲν ἐλέγευ: παροιμία τοῦτο ἐπὶ τῶν ἡσύχων EAT
μὲν πρῶτον καὶ ἡμέρων, ἔπειτα δὲ ἀγρίων. οἱ γὰρ βόες ἥμε-
5 ροί εἰσιν· ἀπὸ γοῦν τῶν βοσκομένων καὶ οἱ βόσκοντες αὐτοὺς τοιοῦτοι λέγονται. αἱ δὲ αἶγες ἄγριαι, παρόσον καὶ εἰς τὰ ὑψηλὰ τῶν ὀρῶν καὶ εἰς κρημνώδεις τόπους νέμονται· ἀπὸ τούτων δὲ καὶ οἱ αἰπόλοι τοιοῦτοι λέγονται.

87. ᾠπόλος: ᾠπόλος ἀντὶ τοῦ ὁ αἰπόλος. γίνεται κατὰ K
10 τροπὴν τοῦ ο καὶ α εἰς ω μέγα ἢ μᾶλλον ἐν συναιρέσει τοῦ ο α εἰς ω μέγα ὠπόλος· τὸ δὲ ι προσγεγραμμένον. [ἢ αἰπόλος ὠπόλος.]

92/93a. τὼς δ' οὐδέν: οὕτως εἰπόντων οὐδέν τι ἀπεκρίνατο ὁ Δάφνις, ἀλλ' ἐσιώπα.

15 b. τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βωκόλος: τούτους, PT
οὕστινας ἄνωθεν εἴπομεν, ἤτοι τοὺς βούτας τοὺς ποιμένας τοὺς αἰπόλους τὸν Πρίαπον καὶ τοὺς λοιπούς, οὐδέν τι προσεφθέγξατο ὁ βουκόλος, ἤτοι ὁ Δάφνις.

c. πικρὸν ἔρωτα: ἀλλὰ τὸν αὐτοῦ ἔρωτα ἐπέραινε καὶ KGEAPT
20 διήνυε μέχρι καὶ τῆς μοίρας.

---

3 Mant. prov. I 37 9 Georg. Choer. ad Theod. Alex. Can. 324, 4 Hilgard: κρᾶσις δὲ καὶ συναίρεσις, οἷον ὁ αἰπόλος ᾠπόλος, κιρνᾶται γὰρ τὸ ο καὶ α εἰς ω καὶ συναιρεῖται τὸ ω καὶ ι εἰς τὴν ᾠ δίφθογγον. Et. M. 822, 53 (cf. Gen.): ᾠπόλος ἀπὸ τοῦ ὁ αἰπόλος γίνεται κατὰ κρᾶσιν τοῦ ο καὶ α εἰς τὸ ω καὶ συναιρέσει πάλιν τοῦ ω καὶ ι εἰς τὴν ωι δίφθογγον. 13 Serv. auct. Verg. Buc. X 31: videtur neque obiurgationes neque consolationes recipere obstinate moriturus; nihil enim ad dicta ab eis respondit.

---

1 καὶ ἡ—οὖσαι K: ἐπάγει δὲ τὴν αἰτίαν, ὅτι ἴσως cett. 2 ποιμένας K 9 l. ὠπόλοι in cod., corr. Call. 11 α ο cod., tacite corr. Ziegler delevi. Ziegler scripsit, ex parte cum Call.: τοῦ δὲ ι προσγεγραμμένου [ὁ αἰπόλος] ᾠπόλος 15 l. τὼς δ' οὐδήποτ' ἐλέξατο P 17 καὶ τοὺς λοιποὺς deleri vult Ziegler *Theocr.*[3] *187* 19 ἀλλὰ τὸν αὐτοῦ (αὐτὸν EA, αὐτοῦ Reiske) ἔρ.—διήνυε KGEAT: διήνυε τὸν αὐτοῦ ἔρ. P

K¹·²GEAT d. *ἄνυε μοίρας: διχῶς τὸ μοίρας. εἰ μὲν γὰρ ἐκτεινόμενον, σημαίνει γενικήν, εἰ δὲ συστελλόμενον, αἰτιατικὴν ⟨τῶν⟩*
K *πληθυντικῶν Δωρικῶς·* [e.] *ἐκεῖνοι γὰρ τὰς παρ' ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς ᾱι διφθόγγου διὰ τοῦ ες ἐκφέρουσιν.*

KGEAT 94a. *Μοῖσαι πάλιν: τὸ πάλιν ἐξ ὑποστροφῆς ἀρχὴν ᾠδῆς ποιούμενός φησιν, αἱ δὲ παράγραφοι διαστέλλουσι τὰς*
KGEAPT¹·² *ᾠδάς.* b. *τὸ δὲ ἄρχετε καὶ λήγετε ἐπῳδοῦ τάξιν ἐπέχει.*

KGEAT 95—98a. *ἁδεῖα καὶ ἁ Κύπρις γελάοισα: τὸ ἡδεῖα ἡδέα ποιητικῶς, ⟨ἵν'⟩ ᾖ οὕτως· ἡδέα καὶ ἡ Κύπρις γελῶσα. τινὲς ἡ δεῖα, ἡ δέους ποιητική. ἐὰν δὲ γράφεται διὰ τοῦ ῑ, ἡ Διὸς θυγάτηρ.*

b. *⟨λάθρη μὲν γελάοισα⟩: ἐναντίως εἶπε. θέλει γὰρ εἰπεῖν· φανερῶς μὲν γελῶσα, λανθάνει δὲ βαρυνομένη ἐπὶ τῷ Δάφνιδι.*

GEAT c. *ἦνθέ γε μὰν ἁδεῖα: ἦλθεν ἡ ἡδυτάτη καί φησι· βοῦτα, ὑπ' ἀργαλέου ἐλυγίχθης Ἔρωτος καὶ ἐκάμφθης; οἷον Εὔπολις* (fgm. 339 Kock *Com. att. fgm. I 348*)· *'λυγίζεται καὶ συστρέφει τὸν αὐχένα'.*

---

2 Ahrens *De graec. ling. dial. II 172 n. 1*

---

1 *εἰ — ἐκτεινόμενον — εἰ — συστελλόμενον* **K¹**: *ἐὰν — ἐκτείνωμεν — ἐὰν — συστέλλωμεν* cett. 2 *πτῶσιν* post *γενικήν* add. **K²GEAT** add. Call. 3 *πληθ. Δωρ.* **K¹**: *πτῶσιν δηλοῖ* **GEAT**: om. **K²** 5 *τῆς ες* cod., corr. Call. 6 *M. πάλιν* **K**: *ἄρχετε βουκολικῶς· γράφεται μοῖσαι* **GEA(T)** *τὸ* et *ἐξ ὑποστροφῆς* et *ᾠδῆς* om. **GEAT** 7 *παραγραφαὶ συστέλλουσι* codd., emend. Wilamowitz 8 *καὶ λήγετε* **PT¹**: *λήγετε* **K**: *βουκολικῶς* (*βωκ-* **T²**) *λέγεται* cett. 9 *ἐπέχει* **KP**: *ἔχει* **AT¹**: *ἔχειν* cett. 10 *καὶ ἁ Κύπρις* in l. om. **K** *τὴν ἡδεῖαν* codd., corr. Wilamowitz 11 *⟨ἵν'⟩ ᾖ* scripsi: *ἢ* **K** *ἢ οὕτως — ποιητική* om. **GEAT** 14 l. addidi hoc scholium a praecedente seiungens; deesse quaedam Duebner viderat *εἶπε* **K**: *βάλλεται* cett.: *βούλεται* Call. 15 *γελῶσαν* Hamaker *λανθάνει* **K**: *λανθάνειν* cett.: *λανθανόντως* Ahrens (ap. Ziegl.) *βαρυνομένην* **AT** 17 *ἡδυτάτη* **E**: *ἡδύτης* cett.: *ἡδεῖα ⟨Κύπρις γελῶσα⟩* Call 18 *ἐκάμφθης* **K**ᵍ 19 *Εὔπ. οἷον* codd., transposui

d. ⟨Ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης:⟩ ταῦτα ἐπὶ KG[1.2]EAT
μυκτηρισμῷ λέγει ἡ Ἀφροδίτη.

e. ἐλυγίχθης: ἐκάμφθης, κατεδέθης. ἐπὶ μυκτηρισμῷ PT
δὲ ταῦτά φησι.

f. λυγιξεῖν: καταδήσειν, τουτέστι περιέσεσθαι τοῦ Ἔρω- KGEAT
τος ἐκανχῶ· ἴσως γὰρ ὁ Δάφνις μεγαλορρημονήσας εἰς τὴν θεὸν ταύτην ὑπέσχε τὴν ποινήν.

g. λυγιξεῖν: τὸ βεργίοις δήσειν, ἤτοι δήσειν λύγοις [παρὰ τὸ δεσμεύειν]. καὶ Ὅμηρος (Λ 105)· 'δίδη μόσχοισι λύγοισιν'. ἢ κλάσειν· ἁπαλὸς γὰρ ὁ λύγος.

h. λέγουσι δὲ καὶ τὸ ἀμαυρώσειν δηλοῦν· λυγαῖα γὰρ τὰ σκοτεινά.

i. Ἀμερίας δέ φησιν ἀγνοῶν· 'λύγος ῥάβδος.' ἴσως οὖν GEAT
μαστιγώσειν.

k. λυγιξεῖν: κάμψειν, δεσμεύσειν. λυγίζω λυγίξω καὶ PT
Δωρικῶς λυγιξῶ ἀπὸ τοῦ λύγος τὸ βεργίον καὶ ὁ δεσμός. ἴσως γὰρ ὁ Δάφνις περιέσεσθαι τοῦ Ἔρωτος μεγαλορρημονήσας ταύτην ἔπαθε τὴν ποινήν.

---

8 sch. A Λ 105 sch. ι 427 sch. Soph. Trach. 779 sch. Plat. Rei publ. 405 c Hesych. Phot. Suid. λυγ. Eust. 834, 33; 1638, 9 11 sch. τ 306 sch. Apoll. Rhod. I 218; II 671. 1121 Lex. Bachm. 292, 28 Et. M. 47, 12; 91, 26; 571, 20 (cf. Gen.) Et. Gud. 64, 16 De Stefani; 374, 17. 48 Sturz Et. Or. 7, 23; 11, 15; 91, 8

---

1 G[1]EAT verba ταῦτα δὲ ἐπὶ μ. [λεληθυῖα del. Ahrens] φησιν ἡ Κύπρις post ἐκάμφθης exhibent in sch. c, unde Wilamowitz ea eiecit 5 l.: λυγιξεῖν Call.: λυγιζῆν K: τύ θην τὸν ἔρωτα cett. καταδήσειν Ahrens: -δῆσαι K: -δῦσαι cett. 6 ἐκανχῶ om. GEAT 7 ὑπέσχετο K ποινήν K: τιμωρίαν cett. 8 l.: λυγιξεῖν T: λυγιζῆν cett. τὸ β. Duebner: τοῖς β. codd. δήσειν bis Ahrens: δῆσαι codd. del. Ahrens 9 δίδη om. K 10 κλάσειν scripsi: κλάσαι K: θλάσαιο cett., unde θλάσειν Hemsterhuys 11 λέγουσι—δηλοῦν K: δυνατὸν—λέγεσθαι cett. λυγαῖα Toup: λυγρὰ KAT: λυγὰ G: λύγκα E 13 δέ Duebner: γάρ codd. ἀγνοῶν post ῥάβδος in codd., transp. Wilamowitz. ἄγνος Ahrens οὖν Ahrens: οὖς codd. 14 μαστιγώσει codd., corr. Duebner 15 καὶ Δωρικῶς om. P

E^s l. ⟨ἐλυγίχθης:⟩ ἐδεσμεύθης· μεταφορικὴ ἡ λέξις ἀπὸ τοῦ λύγου.

PT 102 a. ἤδη γὰρ φράσδει πάνθ' ἅλιος: ἤδη γὰρ πάντα φράσδει, ἤγουν δῆλα πάντα ποιεῖ ὁ ἥλιος.

b. ἄμμι δεδύκει: ἡμῖν δέδυκεν.

EAPT c. ἄμμιν: ἡμῖν ἦν καὶ τροπῇ τοῦ η̄ εἰς ᾱ Δωρικῶς καὶ προσθέσει τοῦ μ̄ Αἰολικῶς καὶ ἐν ὑπερβιβασμῷ τοῦ τόνου ἄμμιν.

KΘEAT 105/06 a. οὗ λέγεται τὰν Κύπριν: τὸ οὗ δασύνεται· ἔστι γὰρ ἀντὶ τοῦ ὅπου. λείπει δὲ τὸ καταισχῦναι, ἵν' ᾖ τὸ ὅλον· ὅπου ὁ βουκόλος τὴν Κύπριν καταισχῦναι λέγεται.

---

v. 102. Eust. 1266, 47: ἐντεῦθεν ὀνάμενος Θεόκριτός φησι τὸ οὐ πάντα τὸν ἥλιον δεδυκεῖν, ἤγουν οὐ πάσας συντελεσθῆναι τὰς ἡμέρας τοῦ ζῆν. 6 Ahrens *De graec. ling. dial. I 125 n 5*
v. 105/06. Serv. Verg. Aen. II 35: quamquam ... non adsit ... Anchises ... propter caecitatem, ut docet Theocritus. ib. II 687: 'oculos ad sidera' contra opinionem Theocriti, qui eum fulmine caecatum fuisse commemorat. ib. II 649: fulminatus autem est Anchises, quia se cum Venere concubuisse iactabat. ib. Serv. auctus: fabula sane talis est. cum inter aequales epularetur Anchises, gloriatus traditur de concubitu Veneris. quod cum Iovi Venus questa esset, emeruit, ut in Anchisem fulmina mitterentur; sed Venus cum eum fulmine posse vidisset interimi, miserata iuvenem in aliam partem fulmen detorsit, Anchises tamen afflatus igne caelesti semper debilis vixit. Serv. ib. I 617: sed sciendum Anchisen, ut fabula loquitur, pastorem fuisse et cum eo amato Venerem concubuisse. unde Aeneas circa Simoin fluvium natus est; deae enim vel nymphae enituntur circa fluvios vel nemora. quod cum iactaret Anchises, adflatus fulmine oculoque privatus est. Mythogr. Vat. I 217; II 195 Plut. Aet. phys. 36 e vers. Longolii *(Moral. V 399 Bernard.)*: unde apud Theocritum iocose Venus ad Anchisen a pastore ablegatur, uti apum aculeis propter adulterium commissum pungatur, 'te confer ad Idam etc.' cf. Wilamowitz *Textg. 232—234*

---

1 *ἐδεσμήθης* cod. 3 l. om. **P** 5 *δέδυκεν* scripsi: *δὲ ἔδυκεν* **P**: *δὲ ἔδυνε* **T**: *ἔδυνεν* K^s 7 *Αἰολικῶς* om. **EAP** 9 *δασύνεται* **K**: *δασυντέον* cett. 11 *Ἀγχίσης* post *βουκόλος* et *καὶ τὴν Ἀφροδίτην* post *Κύπριν* add. **T** e scholio b

b. *οὗ λέγεται*: *λείπει τὸ αἰσχῦναι τὴν Ἀφροδίτην ὁ Ἀγχίσης.* P

c. *ἄλλοι δ' οὐ προσυπακούουσι τὸ αἰσχῦναι.* KGEAT

d. *ὁ βωκόλος*: *βουκόλος ὁ Ἀγχίσης ὁ Αἰνείου πατήρ, ὃς κατὰ τὴν Ἴδην ἐμίγη Ἀφροδίτῃ καὶ Αἰνείαν ἐγέννησεν.* PT

e. *ἕρπε ποτ' Ἴδαν*: *ἀντὶ τοῦ ἄπελθε πρὸς τὴν Ἴδην. ὡς ἑξῆς ἐπιφέρει· ἕρπε πρὸς τὸν βουκόλον Ἀγχίσην. καὶ Ὅμηρος (E 313)· 'ἣ μιν ὑπ' Ἀγχίσῃ τέκε βουκολέοντι.'* KGEAT

f. *Ἴδη ὄρος Τροίας. δύνανται δὲ καὶ πάντα τὰ ὄρη τῇ Ἴδης προσηγορίᾳ καλεῖσθαι ἀπὸ τοῦ ἴδη ἡ βοτάνη ἢ ἀπὸ τοῦ ἰδεῖν καὶ θεάσασθαι· ἀφ' ὑψηλοῦ γάρ τις ἱστάμενος δύναται πόρρω ἰδεῖν. καλεῖται δὲ Ἴδη καὶ ὄρος Κρήτης.* EAPT

g. *τηνεὶ δρύες· δρύες, ὥστε σκέπειν τῷ Ἀγχίσῃ συνερχομένην αὐτήν· εἰρωνευόμενος δὲ λέγει. τηνεὶ ἀντὶ τοῦ ἐκεῖ.* KGEAT

h. *ὧδε κύπειρος*: *ἐνθάδε ταπεινὴ βοτάνη καὶ ἀναπεπταμένος ὁ ἀήρ, καὶ οὐ δυνήσῃ λαθεῖν συνουσιάζουσα.* KGEA

i. *τηνεὶ δρύες*: *ὥστε σκέπειν σε συνερχομένην τῷ Ἀγχίσῃ. ἐνταῦθα δὲ ταπεινὴ βοτάνη καὶ μὴ δυναμένη σκέπειν σε.* PT

k. *ὧδε κύπειρος*: *κύπειρος χαμαίζηλος πόα. τὸ δὲ ὧδε ἀντὶ τοῦ ἐκεῖ. κύπειρόν τινες τὸ παρ' ἡμῖν βούτομόν φασι.*

---

9 sch. XVII 9—12 a sch. A *Δ* 475 sch. Pind. Nem. X 132 sch. Nic. Ther. 585; Al. 220 Cornut. Theol. gr. comp. 5, 17 Lang Hesych. *ἴδας* Hesych. Phot. Suid. *ἴδη* Phot. Bibl. 534 a 16 Bekker Ecl. (Cram. An. Ox. II 450, 23) Et. M. 465, 52 (cf. Gen.) Et. Gud. 270, 22. 35 Sturz Eust. 353, 12; 500, 43; 633, 35; 1351, 15

---

6 *ἀντὶ—ἐπιφέρει* om. T *ἀντὶ τοῦ ἄπελθε* (ἔπελθε cod., corr. Ziegler) *πρὸς* K: *ἀπῆλθε, δηλοῖ δὲ* GEA 7 *ἕρπε—Ὅμ.* K: *ἕρπε ποτ' Ἴδαν* (*Ἀγχίσαν* Call.). *βουκόλον δὲ τὸν Ἀγχίσην Ὅμ. φησιν* cett. 8 *βουκολέοντα* codd. Theocr. 9 *τῇ Ἴδης* P: *τῆς Ἴδης* EA: *τῆς Ἴδης τῇ* T 13 *ἐκεῖσε* post l. add. GEA(T) postea *εἰρωνευόμενος* seqq. praetermittentes *τῷ Ἀγχίσῃ* K: *τὸν Ἀγχίσην* cett. *συνερχομένην αὐτήν* scripsi: *συνερχομένῳ αὐτῇ* K: *συνερχόμενον αὐτῇ* cett. 15 *ἀναπεπαυμένος* GEA 17 *σε* om. P *συνερχομένην* Call.: *συνερχόμενον* T: *συνεισερχομένη* P 19 *κύπειρον* in l. codd.

KGEAT 107. ὦδε καλὸν βομβεῦντι: κατηγορούσας τῆς ἀκρασίας εὑρήσεις τὰς μελίσσας, εἰ πρὸς ἡμᾶς ἥκοις, διὰ τοῦ βόμβου τοὺς ὁδοιπόρους ἐπαγομένας. σμήνη δὲ τὰ τῶν μελισσῶν ἀγγεῖα. Ἡσίοδος (Theog. 594)· 'ὡς δ' ὅταν ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι.'

KGEAPT 109a. ὡραῖος χῶδωνις: Κινύρου τοῦ Ἀπόλλωνος καὶ Σμύρνης θυγατρός, ἥτις κατὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ πατρός, ὅτι λύσασα τὰς τρίχας οὐδὲ Ἀφροδίτην ἔχειν ἔφη τοιαύτας. καὶ ἐλάνθανε τὸν πατέρα στολιζομένη καὶ συναναμιγνυμένη ὡς θεράπαινα. ὕστερον δὲ ἐγκυμονήσασα καὶ τεκοῦσα τὸν Ἄδωνιν ἐφωράθη καὶ αἰσχυνομένη ἠὔξατο μεταβαλεῖν εἰς δμώνυμον φυτόν.

KGEAT b. ὡραῖος δὲ ἀντὶ τοῦ τρυφερός, ὅθεν καὶ τὸ θρύπτεσθαι ὡραΐζεσθαί φησι Μένανδρος (fgm. 855 Kock *Com. att. fgm. III 228*)· 'ὡς ὡραΐζεθ' ἡ τύχη πρὸς τοὺς βίους.' ἢ ἀκμάζων. Ἡσίοδος (Op. 695)· 'ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.'

KGEA 110a. καὶ πτώκας: τὰς αἰτιατικὰς οἱ Δωριεῖς τῶν εἰς $\overline{\text{ες}}$ ληγουσῶν εὐθειῶν τῶν πληθυντικῶν ὁμοίως ταῖς εὐθείαις
K παροξύνουσι καὶ μακρὸν ἔχουσι τὸ ᾱ, θώας Τρώας· [b.] ὅτι τὰς παρ' ἡμῖν ⟨προφερομένας διὰ τοῦ $\overline{\text{ες}}$⟩ εὐθείας τῶν πλη-

---

6 Apoll. Bibl. III 183. 184 Anton. Lib. 34 Hygin. 58 Ov. Met. X 298 Serv. auct. Verg. Buc. X 18; Aen. V 72
18 Ahrens *De graec. ling. dial. II 29 n. 10; 231 n. 2*

---

2 ἥκοις **K**: -εις cett. 3 τοὺς ὁδοιπόρους **K**: τοῖς ὁδοιπόροις cett. τῶν om. **K** 4 ὡς δ' ὁπότ' Hesiodus 7 θυγατρός **GEAPT**: θυγάτηρ Μοίρα (Μύρρα Scaliger alii) **K** ἣ **K** 8 καὶ pro ὅτι **K** 9 πωλιζόμενον **GEAPT** 10 θεράπαινα — ἐγκυμονήσασα — τεκοῦσα **K**: θεραπαίνη — ἐγκυμονοῦσα — γεννῶσα cett. 11 καὶ **K**: ἐφ' οἷς cett. αἰσθομένη **K** μεταβαλεῖν **K**: μεταλλαγῆναι cett. 14 φησι om. **K** 15 ὡς om. **GEAT** ὡραΐζεθ' **KE**: ὡραΐζεσθ' **GA**: ὡραΐζει θ' **T** εἰς τοὺς **K** 16 τεὴν γυναῖκα **GEAT** 19 τῶν πληθυντικῶν om. **GEA** ταῖς εὐθείαις om. **K** 20 καὶ μακρὸν ἔχουσι τὸ ᾱ om. **GEA** 21 εἰς $\overline{\text{ες}}$ ληγούσας add. Coll., quod paulo mutavi

θυντικῶν ἐκεῖνοι διὰ τῆς ᾱι *προφέρουσιν.* c. *οὕτως ἀξιοῦσι* B
Θεαίτητος καὶ Μουνάτιος καὶ Πτολεμαῖος Ἀριστονίκου.

112. *ὅπως στάσῃ: τινὲς περισπῶσιν, ἀλλ' ἁμαρτάνουσι.* KQEAT
τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως ἡμῖν προφέρουσιν οἱ
5 *Δωριεῖς, ὥς φησι Λεπτίνης.*

[113.] *⟨ἀλλὰ μάχευ μοι:⟩ ἀλλὰ εἰ θέλεις σύ, ὦ Διομήδη,* E[5]
μάχου μοι. ἢ ὁ Δάφνις πρὸς τὴν Ἀφροδίτην φησίν.

115 a. *φωλάδες ἄρκτοι: οὐ μάτην οὕτω καλεῖ, ἀλλ' ὅτι,* KQEAT
ὥς φησι καὶ Θεόφραστος καὶ Σώστρατος ἐν α' ⟨λέ⟩γει περὶ
10 *ἄρκτων, πολὺν [χρόνον] αἱ ἄρκτοι φωλεύουσι χρόνον·* b. ἢ EAT
ὅτι ⟨μόναι⟩ τῶν ἄλλων θηρίων αἱ ἄρκτοι τίκτουσαι φωλεοῖς
ἐπικάθηνται.

[c.] *φωλάδες: αἱ κατάστικτοι.* PT

117 a. *Ἀρέθοισα: κρήνη ἐν Συρακούσαις. φασὶ διὰ* KQEAT

---

8 Arist. Hist. an. VI 30, 579 a 27; VIII 17, 600 b 1 Aelian. Nat. an. VI 3 Plin. Hist. nat. VIII 126 Hesych. *φωλάδες· ἐμφωλεύουσαι* Suid. *φωλ.* Lex. Bachm. 411, 11 Eust. 1682, 36 14 Serv. Verg. Buc. X 4: alii dicunt ad Arethusam nympham Siciliae Alpheum de Elide venire per maria . . .; alii dicunt ipsam Arethusam iam in fontem mutatam Alpheum fugere et de Elide ad Siciliam venire . . . *(sch. Dan. add.:)* sane dicitur quodam tempore patera aurea in Arethusa inventa, quam olympionices in Alpheum miserat. et cum Olympiae hostiae caeduntur, cruor earum in Alpheum infusus in Arethusam exit. Prob. ib. Serv. auct. Aen. III 694 sch. γ 489 sch. Pind. Nem. I 1—3; Pyth. II 12 Ov. Met. V 572 Strab.

---

2 *Βενάτιος* cod., correxi 4 *οἱ Δωριεῖς* K: *οἷον* cett. 8 *οὕτω* om. GEAT *φωλάδας* post *οὕτω* add. K *καλεῖ ἀλλ' ὅτι ὥς φ.* K: *φ. ἀλλ' ἐπεὶ* cett. 9 cf. Theophrasti librum *Περὶ τῶν φωλευόντων*, fgm. 176—178 ed. mai. Wimmer. *Σώπατρος* K. intellegas Sostrati librum *Περὶ ζῴων*, de quo v. Mueller *F'gm. hist. gr. IV 505 b* *ἐν α' λέγει* Duebner: *ἐν τῷ α'* Adert: *ἐνάγει* GEAT: om. K *περὶ ἄρκτων* om. K probante Wilamowitzio 10 *πολὺν χρ. αἱ ἄ. φωλεύουσι χρ.*, ubi *χρ.* posteriore loco Ziegler del., K: *ὅτι πρῶτον* (*πλεῖστον* Ahrens) *αἱ ἄ. φωλεοῖς ἐχρῶντο ἢ φωλεοῦσι χρ.* (sunt variae lectiones) cett. 11 add. Call. *τίκτουσαι* Hamaker: *τίκτουσι καὶ* codd. 13 interpretem inscite de *φολίς* cogitasse animadvertit Ahrens, cf. sch. Apoll. Rhod. I 221 14 *ἢ ἐν Σικελίᾳ* post *Συρακούσαις* add. EAT, unde Ahrens dedit: *ἢ ἐν Σικελίᾳ φυγοῦσα διὰ πελάγους Ἀλφειὸν ἦξεν*

πελάγους Ἀλφειὸν ἥκειν ⟨. . .⟩, ὥς φησιν Ἴβυκος (fgm. 23 Bergk *Poet. lyr. gr. III*⁴ *244*) παριστορῶν περὶ τῆς Ὀλυμπιακῆς φιάλης.

K¹·²GEAT b. Ἀρέθοισα: ὅτι Σικελικὴ κρήνη, πρόδηλον· δοκεῖ δὲ ὑπ' Ἀλφειοῦ πληροῦσθαι. ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ καὶ ἄλλη
KGEAT ἐν Σάμῳ ⟨καὶ ἐν Ἰθάκῃ⟩· c. 'πὰρ κόρακος πέτρῃ καὶ ἐπὶ κρήνῃ Ἀρεθούσῃ' (ν 408). χαριέντως δὲ καὶ Ἐπαφρόδιτός
GEAT (fgm. 1 Luenzner *Diss. phil. Bonn. 1866, 21*) φησιν ἐν τῷ περὶ στοιχείων, ὅτι ἀρεθούσας καλοῦσι πάσας κρήνας. d. ἀγνοήσας δὲ Κράτης (Wachsmuth *De Cratete Mallota p. 53*) μεταγράφει· 'ἐπὶ κρήνης μελανύδρου' (cf. ν 409).

PT e. χαῖρ' Ἀρέθοισα: πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός.

KPT 118a. Θύβριδος: ⟨. . .⟩ δύβρις κατὰ γλῶσσαν ἡ θάλασσα. τινὲς δὲ Σικελίας ἔφησαν ποταμὸν Θύμβριδα.

KGEAT b. Θύβρις ποταμὸς Σικελίας, ἐφ' ᾧ μυθεύονται Ἡρακλῆν ⟨. . . ὅτε⟩ τὰς ἐκ τῆς Ἐρυθείας βοῦς ἐλαύνων ἐνταῦθα ἀφίκετο· γενομένου δὲ χειμῶνος ἀνυπερβλήτου χῶσαι τὸν ποτα-

---

VI 270 Paus. V 7, 2 5 Steph. Byz. Ἀρέθουσα Herodian. II 919, 28 Lentz sch. ν 408 Eust. 1746, 56

---

1 ἥκειν Heinsius: ἧξειν codd. lacunam ind. Ziegler, cf. Servium 2 Ὀλυμπιακῆς scripsi: Ὀλυμπίας codd.: Ὀλυμπίασι Bergk 4 pro ὅτι—πρόδηλον K¹ exhibet κρήνη Σικελίας αὕτη post δοκεῖ δὲ et ποταμοῦ post Ἀλφειοῦ add. K¹ 6 καὶ ἐν Ἰθάκῃ add. Meineke *Steph. Byz. I 116*, plura excidisse videri monet Schimberg *Anal. Aristarchea, Diss. phil. Gryph. 1878, 16* παρὰ vel περὶ codd., corr. Heinsius ἐπί τε Hom. 7 δὲ καὶ Ἐπ. φησιν K: τοῦ Ἐπαφροδίτου λέγοντος cett. 8 ἐν τῷ περὶ στοιχείων om. K, ἐν τῷ περὶ ⟨λέξεων κατὰ⟩ στοιχεῖον prop. Ahrens, tradita defendit Schimberg 9 πάσας Meineke coll. Steph. Byz. et Herodiano: τὰς codd. 14 lac. indicavi, cf. sch. c δύβρις κατὰ γλ. K: Θύβρις κατά τινα γλ. PT 15 ultima ita leguntur in PT: οἱ δέ φασιν, ὅτι Θύμβρις (Θύβρις T) ἐστὶ ποταμὸς Σικελίας 16 Θύβρις K: Θύμβρις cett. μυθεύεται Ἡρακλῆς GEAT 17 lacuna indicata Ahrens (ap. Ziegl.) praeter ὅτε suppl. αὐλισθῆναι. fortasse exciderunt Κεφαλοίδιον οἰκίσαι vel plura 18 χῶσαι—ποιῆσαι K: ἔχωσε—ἐποίησεν cett.

μὸν καὶ ἐπίπεδον ποιῆσαι, ἐφ' οὗ οἱ Κεφαλοίδιοι δείκνυνται κατοικοῦντες. c. *Θεαίτητος δέ φησι Συρακοσίους ἀπὸ τῆς* GEAT
ὕβρεως ⟨ὀνομάσαι προσθέσει τοῦ θ̄⟩. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς διὰ τοῦ δ̄ γράφει καί φησι 'δύβρις κατὰ γλῶσσαν ἡ θάλασσα.' γράφουσι δέ τινες κατὰ Θύμβριδος· ἔστι δὲ καὶ οὗτος ποταμὸς Σικελίας.

123 a. *ὦ Πὰν Πάν: ποιητικὴ ἐπανάληψις· εἰ μή τις* KBEAPT
πιθανεύοιτο λέγων, ὡς ὁ νοῦς ἐστι τοιοῦτος· ὦ τὸ πᾶν σύ, ὦ Πάν, ἵνα τὸ μὲν πρῶτον περισπασθῇ, τὸ δὲ δεύτερον ὀξυτονηθῇ. b. *τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως ἢ* KBEAT
Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Αἰθέρος καὶ Οἰνηΐδος, ἔνιοι δ' Οὐρανοῦ καὶ Γῆς.

---

2 Serv. Verg. Aen. III 500 (de Tiberi): ut autem Thybris dicatur, haec ratio est. quodam tempore Syracusani victores Atheniensium ceperunt Syracusis ingentem hostium multitudinem et eam caesis montibus fecerunt addere munimenta civitati. tunc auctis muris etiam fossa intrinsecus facta est, quae flumine admisso repleta munitiorem redderet civitatem. hanc igitur fossam per hostium poenam et iniuriam factam Thybrin (Ybrin *libri, corr. Thilo*) vocaverunt *ἀπὸ τῆς ὕβρεως*. . . . circa Syracusas autem esse fossam Thybrin nomine Theocritus meminit. ib. VIII 330 (de Tiberi): Thybris quasi *ὕβρις* dictus est *ἀπὸ τῆς ὕβρεως*, id est ab iniuria; nam amabant maiores ubi aspiratio erat Θ ponere. . . . alii ut supra diximus volunt eos, qui de Sicilia venerunt, Thybrin dixisse ad similitudinem fossae Syracusanae, quam fecerunt per iniuriam Afri et Athenienses iuxta civitatis murum. cf. Schwartz *Nachr. d. Ges. d. Wiss. zu Gött., Phil.-hist. Kl. 1904, 297*; Wilamowitz *Textg. 232 not.* **3** Steph. Byz. *Θύμβρα* **5** Eust. Dion. Per. 350 **10** sch. 3/4 c cum loc. sim.

---

1 *οὗ* Meineke: *ὃν* codd. *Κεφαλοίδιοι δείκνυνται* Meineke *Vindic. Strab. 71* praeeunte Duebnero, qui *Κεφαλοίδιον* latere viderat: *Κέφαλοι διαδείκνυνται* codd. **3** verba *ὀνομάσαι προσθέσει τοῦ θ̄* leguntur in cod. gr. 4 bibl. Vict. Em., *ὀνομάσαι* suppl. Ahrens **4** ipsa Asclepiadis verba agnovit Ahrens *κατὰ γλ. ἡ* codd., transp. Wilamowitz **5** *κατὰ Θύμβριδος* scripsi: *ὑπὸ Τύμβριδος* codd. *Θύμβριδος* iam Ahrens voluerat restitui **8** *ὦ Πάν* om. **K** **10** *ἢ Ἑρμοῦ* om. **K**, cf. notam ad sch. 124 a **11** *δὲ* post *ἕτεροι* om. **K** **12** *Οἰνηΐδος* **K**: *Νηρηΐδος* **GT**: *N. ἢ Δινηΐδος* **A**: *N. ἢ Διηνίδος* **E**: *Οἰνηΐδος ἤτοι Νηΐδος* W. H. Roscher *Phil. 53, 1894, 375 n. 56*

KE^{s}A c. *Λυκαίου*: *Λύκαιον ὄρος Ἀρκαδίας κληθὲν ἀπὸ Λυ-*
KGEAT *κάονος τοῦ Πελασγοῦ, ἐν ᾧ καὶ μαντεῖον Πανός*· d. *εἰς ὃ ὄρος* ⟨*φασὶν*⟩ *ἐλθοῦσαν τὴν Λυκάονος θυγατέρα Καλλιστὼ ὑπὸ Ἑρμοῦ τραφῆναι ἄρκτον οὖσαν. ἣν καί φησιν Ἄρατος ἐν οὐρανῷ ἑστηρίχθαι* (Phaen. 10).

GEAPT e. *εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίου*: *ἐπὶ τῷ*
K *Λυκαίῳ φασὶ χωρίον καλούμενον* [*Καλλιστοῦς*] ⟨. . .⟩ f. *εἰς ὃ φασι τὰ εἰσερχόμενα ζῷα ἄγονα γίνεσθαι.*

P g. *Λυκαίῳ*: *ὄρος Ἀρκαδίας.*

KGEAPT 124 a. *Μαίναλον*: *ὄρος Ἀρκαδίας ἀπὸ Μαινάλου τοῦ*
K *Λυκάονος*· b. *ἔνθα ἡ Ἀταλάντη τῷ Ἰάσονι παρέσχετο δόρυ ξένιον*· *δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη Μαναλῳ ἐν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν'* (Apoll. Rhod. I 769 sq.).

---

2 Paus. VIII 37, 11 Reinh. Franz *De Callistus fab., Leipz. Stud. z. class. Phil. XII 266 sqq.* 7 Call. Hymn. I 11—14 cum sch. Paus. VIII 38, 6 Polyb. XVI 12, 7 Plut. Aet. gr. 39, 300 a—c 10 sch. Apoll. Rhod. I 168: *Μαίναλος ὄρος Ἀρκαδίας καὶ πόλις, ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, οὗ πατὴρ Λυκάων.* ib. 769: *Μαίναλος δὲ ὄρος Ἀρκαδίας . . . ἀπὸ Μαινάλου τοῦ Ἀρκάδος, ὡς φησιν Ἑλλάνικος* (fgm. 60 Mueller *Fgm. hist. gr. I 53*). sch. Pind. Ol. IX 88 c Steph. Byz. *Μαίναλος*

---

2 ante *εἰς* lacunam indicari voluit Ziegler 3 *ὄρος* om. **EAT** *φασὶν* addidi, sed plura intercidisse videntur 4 *ἐν οὐρ. ἑστηρίχθαι* Wilamowitz: *ἐν δ' οὐρ. ἑστηρίχθη* **K**: *ἐν οὐρ. ἠστερίσθαι* cett. 6 sch. e a scholio d, cui in libris **GEAT** praecedit, segregavit Franz 269 *ἐπὶ* scripsi: *ὑπὸ* codd. 7 *φασὶ χωρίον καλούμενον* Duebner ex parte cum Hemsterhusio: *φησὶ χωρίῳ καλουμένου* (-ω **GT**) **GEAT**: *φησὶ χωρίῳ* **P**, qui postea vacuum reliquit spatium quinque versibus quindenarum litterarum aptum proscripsi adiunxi hoc interpretamentum, quod ad templum Iovis Lycaei pertinere Franz (301 n. 1) monuerat *εἰς ὃν* (post *τύμβον* 125/26 c) cod., correxi 9 *λυκαίων* et *Ἄργους* cod. 10 *ἀπὸ* seqq. om. **P** *τοῦ* ⟨*Ἀρκάδος, οὗ πατὴρ*⟩ *Λυκάων* e sch. Apoll. Buck 40 11 post *Λυκάονος* add. **K** *υἱοῦ Ἑρμοῦ*, quae e scholio 123 b huc illata esse videntur 13 *ὅν* pro *ἐν* cod., corr. Call.

125/126 a. *Ἑλίκας δὲ λίπε ῥίον*: τοῦ ὄρους τὸ ἀκρωτήριον παρὰ τὸ ἐπιρρεῖσθαι τοῖς τῶν ὑετῶν καὶ πηγῶν ὕδασιν. KQEAPT

b. *Ἑλίκας δὲ λίπε Ῥίον*: Ἑλίκη ὄνομα πόλεως πρὸς τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. PT

c. ⟨*αἰπύ τε σᾶμα τῆνο Λυκαονίδαο*: . . .⟩ ὃ *Αἰπύτου τάφον καλοῦσι. καὶ Ὅμηρος* (*B* 604)· *Αἰπύτιον παρὰ τύμβον.*' K

d. *ἀγητόν*: ἔκπληξιν ἔχον διὰ τὰ ἐν αὐτῷ γινόμενα περὶ Λυκάονα καὶ Καλλιστὼ ⟨καὶ⟩ Ἀρκάδα. K[S]QEAT

127. *λήγετε*: ὥσπερ ἄρχετε, οὕτω *λήγετε*, ἀντὶ τοῦ λήγειν ποιήσατε. KQEAPT

128/129 a. *φέρευ*: οἱ μὲν κατὰ συναλοιφὴν *φέρε*, εἶτα *εὐπάκτοιο* τοῦ καλῶς πεπηγότος· οἱ δὲ ἐκπληροῦσι *φέρευ*, ἀντὶ τοῦ *λάμβανε δηλονότι. μελίπνουν* δὲ ἢ ἡδύφωνον ἢ ἡδὺ ὀδωδυῖαν διὰ τὸν κηρόν. τὸ δὲ ἑξῆς· *τὴν σύριγγα* ⟨*τὴν*⟩ *ἐκ κηροῦ εὐπήκτου, περὶ χεῖλος εἱλουμένην ἐν τῷ συρίζειν.*

[b.] ⟨*περὶ χεῖλος ἑλικτάν*:⟩ *ἤγουν τῷ ἐκ τοῦ στόματος ἐξερχομένῳ πνεύματι· πρῶτον γὰρ περὶ* ⟨*τὸ*⟩ *χεῖλος τῆς σύριγγος ἑλίσσεται τὸ πνεῦμα.* E[S]

---

1 sch. T Ξ 154. 225 sch. Apoll. Rhod. I 1165: *καὶ τὸ μὲν ῥίον ἐστὶν ὄρος ἤτοι ἀκρωτήριον.* Hesych. Phot. Suid. *ῥ.* Hellad. Chrest. (Phot. Bibl. 534 a 18 Bekker) Et. M. 704, 36 (cf. Gen.) Et. Gud. 493, 6 Sturz

---

1 *τοῦ ὄρους τὸ ἀκρωτήριον* om. **GEAPT** **2** *καὶ πηγῶν* **K**: *ὄμβροις καὶ τοῖς τῶν ποταμῶν* cett. **4** *ῥόον* in l. **P**, om. **T**. scripsi *Ῥίον* ex sequentibus **5** *Ῥίῳ* Duker *Thucyd. 1731, 154*: *ὁρίῳ* codd. **6** lac. ind. Ziegler **9** **K** tantum *διὰ—γινόμενα* **10** add. Ahrens *Ἀρκάδιον* codd., correxi **11** *ἄρχετε* scripsi ex **Apogr. Barb.**, cf. sch. 64 a: *ἄρχεσθε* **KG**: *ἤρξασθε* cett. *οὕτω λήγετε ἀντὶ τοῦ* **K**: *οὕτως καὶ* cett. **14** *ἐκ πλήρους* **K** *φέρευ* **K**: *φέρε δή* cett. **15** ⟨*σοι*⟩ ante *δηλονότι* add. Ahrens verba *τὴν σύριγγα*, quae in libris post *δηλονότι* leguntur, traieci post *τὸ δὲ ἑξῆς*, ubi Call. addiderat ⟨*λάβε τὴν σύριγγα τὴν*⟩ *ἢ—ἢ* scripsi: *ἤτοι—ἢ* **KP**: *ἤδη—ἤτοι* cett. **16** *ἡδὺ* om. **GEAPT** *διὰ τὸν κηρόν* om. **K** *τὸ δὲ ἑξῆς* **K**: *ἐν* (*ἐκ* **T**) *κηρῷ* pro l. cett. **17** *εὐπήκτου* **K**: *-οιο* cett. *εἱλουμένου* **K** corr., **P** **18** *ἢ τῷ ἐν τῷ στόματι* cod.

QEAPT 132. *φορέοιτε βάτοι*: *βάτος* ⟨. . .⟩.

KQEAPT 133 a. *νάρκισσος*: *θηλυκῶς λέγεται ἐνταῦθα, παρὰ δὲ Ἀριστοφάνει* (fgm. 754 Kock *Com. att. fgm. I 571; III 724*) *ἀρσενικῶς.*

b. *ἐπ' ἀρκεύθοισι*: *ἄρκευθος εἶδος δένδρου, ὅπερ ἐστὶν ἀκανθῶδες, ἢ φυτόν.*

PT c. *ἀρκεύθοισι κομᾶσαι*: *ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους. τὸ δὲ κομᾶσαι ἀντὶ τοῦ ἀναθῆλαι· τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν.*

KPT 134 a. *ἔναλλα*: *οἷον ἐνηλλαγμένα. κατὰ τὸ 'ἄνω ποταμῶν χωροῦσι πηγαί'* (Eur. Med. 410).

KQEAPT b. *ὄχνας καὶ ἀπίους καὶ ἀχλάδας. ἀχλάδας μὲν διὰ τὸ ἐν τῷ ἐσθίεσθαι ὄχλησιν ἐμποιεῖν, οἱονεὶ ὀχλάδας οὔσας· ὄγχνας δὲ ἀπὸ τοῦ ἄγχειν δοκεῖν· ἀπίους δέ, ὅτι πρῶτον ἐν Πελοποννήσῳ δοκοῦσι φῦναι, ἢ ἐλέγετο Ἀπία.*

---

8 Eust. 308, 34 12 Et. Gen. (Et. M. 182, 23): *ἀχράς· ἡ ἀγρία ἄπιος. εἴρηται δὲ παρὰ τὴν ὄχλησιν τὴν ἐν τῷ ἐσθίεσθαι γινομένην ὑπ' αὐτῶν.* Et. Parv. *ἀχλάς* (Miller *Mél. de litt. gr. 321*) Et. Gud. 252, 19 De Stefani 14 Et. Gen. (Et. M. 645, 49): *ὄχνη· ... ἢ παρὰ τὸ ἄγχειν.* sch. *η* 115 Eust. 1572, 30; 1963, 15 Et. Gen. (Et. M. 122, 25): *ἄπιος· ἡ ὄγχνη καλουμένη γενικῶς, ὅτι πρῶτον ἐν Πελοποννήσῳ γέγονεν, Ἀπία δὲ ἡ Πελοπόννησος.* Et. Gud. 166, 19 De Stefani Athen. XIV 650 b

---

1 hoc interpretamentum a subsequente seiunxit Ahrens. suppleas fere ex Et. M. 191, 52: ⟨*ἡ ἄκανθα. εἴρηται κατὰ ἀντίφρασιν· ὁ μὴ ὢν βατός*⟩. cf. sch. Nic. Al. 267; Eust. 1960, 27 **2 GEAPT** exhibent: *λέγ. θηλυκῶς* [*ὡς*] *ἐντ. νάρκ. καὶ ἀρσ. π. Ἀρ.* 5 l. om. **K** *εἶδος—ἐστὶν* **K**: *δένδρον* cett. 8 *εὐκτικὰ ἀντὶ προστακτικῶν* rectius gl. cod. Par. 2884 10 *ἄνω ποτ. ἱερῶν χ. παγαί* Euripides 12 bis *ἀχλάδας* **K**: *ἀχράδας* cett. *ἀχρ.* post. — *ἐμποιεῖν* post *δοκεῖν* leguntur in **GEAPT** *μὲν διὰ* **K**: *δὲ παρὰ* cett. 13 *ὄχλησιν* **K**: *ὄχλους* **GEAT**: om. **P** *οἱονεὶ ὀχλ. οὔσας* om. **GEAPT** *οἱονεί*, quod in **K** ante *ἐμποιεῖν* est, transposui auctore Duebnero 14 *ἄγχειν* **K**: *ἄγχεσθαι* cett. *δοκεῖ* **K** extrema ita in **GEAPT**: *ἄπιοι δὲ δοκοῦσι πρῶτον* (*πρῶτοι* **P**) *ἐν Π. φυῆναι, οἳ ἔλεγον ἄπια*

[c.] *ἐνεῖκαι*: *ἀπὸ τοῦ ἐνέκω ἤνεικα καὶ τροπῇ τοῦ* $\bar{\kappa}$ *εἰς* $\bar{\xi}$ *κατὰ Βοιωτοὺς ἤνειξα.* K[r]

[d.] *ἐνείκοι*: *ἐνέγκοι, φέροι.* PT

[135.] *ὤλαφος ἔλκοι*: *θηλάζοι.* P

136. *σκῶπες*: *εἶδος ὀρνέων κακόφωνον.* *Ἀλέξανδρός* (*Περὶ ζῴων* fgm. 13 Wellmann *Herm. 26, 1891, 550*) *φησι τοὺς σκῶπας οὐκ ἐπιτερπεῖς τῇ φωνῇ· διὸ καὶ παρ' Ὁμήρῳ* (ε 66) *φησὶν ὀρθῶς δοκεῖν γράφεσθαι 'σκῶπές τ' ἴρηκές τε', οὐ δεῖν δὲ γράφειν χωρὶς τοῦ* $\bar{\sigma}$*· οἱ γὰρ σκῶπες* ⟨*λέγονται, διότι σκαιὰν ὄπα καὶ*⟩ *φωνὴν ἀφιᾶσι. Καλλίμαχος* (fgm. 100 c 7 Schneider, II 293) *δέ φησιν, ὅτι φθέγγεται ὥσπερ ἐπισκώπτων τῇ φωνῇ, ὅθεν καὶ οὕτω καλεῖται. Τυραννίων δὲ σκῶπας τοὺς νυκτικόρακάς φησιν, οἷον σκίοπας, τοὺς ἐν σκιᾷ ἔχοντας τὴν ὄπα.* K G E A P T

138. *ἀνεπαύσατο*: *εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. καὶ Ὅμηρος* (*Λ* 241)*· 'ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον.'* K G E A T

139/140 a. *ἤθελ' ἀνορθῶσαι*: *ἐκ δευτέρου ζῶντα παραστῆσαι.* K[E] G E A P

b. *λίνα*: *ἤτοι ἐπεπληρώκει τὸ χρεών. καὶ Ὅμηρος* (*Υ* 128)*· 'γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.' λίνον* K G E A P T

---

1 Et. M. 339, 32: *ἐνεῖκαι· σημαίνει τὸ ἐνέγκαι· ἔστι γὰρ Ἰωνικόν. παρὰ τὸ ἐνέκω ἐνέξω, πλεονασμῷ τοῦ ι ἐνείκω ἤνεικα καὶ τὸ ἀπαρέμφατον ἐνεῖκαι.* 5 Athen. IX 391 a—d Aelian. Hist. an. XV 28 sch. ε 66 Eust. 1523, 56 Theogn. Can. (Cram. An. Ox. II 136, 3) Et. M. 719, 50 (cf. Gen., ex Oro)

---

1 quid verba *καὶ τροπῇ κτλ.* hoc loco sibi velint, obscurum 5 *εἶδος ὀρν. κακ.* om. **K G E A T** *κακοφώνων* **P**, corr. Wilamowitz 8 *φησὶ* [*γράψας* del. Ziegler] *ὀρθ. δοκεῖν γράφεσθαι* **K**: *γράφεται* (*γράφει* **G E A**) *δοκεῖ φησιν ὀρθ.* cett. 9 *δεῖν* scripsi: *δεῖ* codd. *δὲ γράφειν* **K**: *γάρ φησι* cett. 10 *σκαιὰν* ex Et. suppl. Hemsterhuys, malui addere plura 11 *ὅτι* om. **G E A P T** 12 *ὅθεν—καλεῖται* **K**: *ὅπερ κάλλιον* cett. *Τυραννίων* **K**: *-ίδων* cett. 13 *τοὺς* om. **K** 14 *ὄπα* **K**: *φωνήν* cett. 15 *ἀνεπαύσατο* **T**: *ἐπεὶ θνήσκει* (v. 135) **G E A**: om. **K** 16 *ὣς—πεσὼν* om. **K** 18 **K** tantum *ζ. παρ.* 19 *παραστῆσαι* Duebner: *-ῆναι* codd. 21 *τεινομένῳ* **G E A T** *λίνῳ* **K**: *λῖνον* cett.

δὲ ἀντ' ἐρίου οἱ ποιηταὶ συνάπτειν ⟨λέγουσι τὰς Μοίρας⟩, ὅτι τὸ λίνον ἐκ γῆς καὶ αὗται δὲ [αἱ Μοῖραι ἐκ γῆς] ἐπικλώθουσι τοῖς ζῴοις τὴν εἰς γῆν ἀνάλυσιν.

E^{E}P c. τὰ τῶν Μοιρῶν φησι λίνα τὰ ἐπικεκλωσμένα· καὶ τὰ εἱμαρμένα ἐτελειοῦτο.

PT d. ἔβα ῥόον: τουτέστιν ἀπέθανε καὶ διὰ τοῦ Ἀχέροντος διῆλθε.

K^{E}E^{E} e. ⟨ἔκλυσε δίνα:⟩ ἤτοι περιέσχεν αὐτὸν ἡ τοῦ Ἀχέροντος δίνη.

K^{E}GEAT 141 a. τὸν Μοίσαις φίλον: καθὸ πρῶτος εὗρατο βουκολικά.

K^{E} b. ⟨τὸν οὐ Νύμφαισιν ἀπεχθῆ:⟩ ἐπεὶ μία τῶν Νυμφῶν αὐτοῦ ἠράσθη.

GEAT c. [φίλον ἄνδρα] ⟨τὸν οὐ Νύμφαισιν ἀπεχθῆ:⟩ ἐπεὶ ⟨περὶ⟩ πάσας οἰκείως διέτριβε.

P 143. τό τε σκύφος: ὅπερ ὑπέσχου ποτήριον.

KGEAPT$^{1-2}$ 147 a. σχαδόνων: σχάδονες τὰ τῶν κηφήνων κηρία. ⟨...⟩ ὥς φησιν Ἀριστοτέλης. Θεαίτητος δὲ τοὺς κηροὺς τοὺς

10 Diom. Art. gramm. III 487, 8 Keil: putant autem quidam hoc genus carminis primum Daphnin composuisse. Diod. IV 84, 3 17 Hesych. Phot. Suid. σχάδ. Lex. Bachm. 378, 9 Et. M. 739, 42 (cf. Gen.)

1 συνάπτουσι codd., emendavi. συνάπτειν idem ac νήθειν significare posse negandum videtur Wilamowitzio 2 καὶ αὗται δὲ EAT: καὶ αὖται K: αὖται δὲ P: om. G delevi 3 εἰς γῆν KGEA: εἰς αὐτῆς (sic) P: ἐκ γῆς T. Ahrens sententiam multo diversam restituere conatus est: λίνον δὲ οἱ ποιηταὶ ἀντὶ βίου (hoc cum Reinesio), ὅτι συνάπτουσι τὸ λίνον ἑξῆς, ὡσαύτως δὲ αἱ Μοῖραι ἑξῆς ἐπικλώθουσι τὴν ζωὴν καὶ εἰσαῦτις ἀναλύουσιν 4 E non habet nisi τὰ τῶν M. ἐπικεκλωσμένα 8 in K tantum ἡ τοῦ Ἀχ. 11 βουκολικά K: -ήν cett. 14 l. mutavi 15 ἐπεὶ Xylander (Brubach. a. 1558): ἐπὶ codd. ⟨περὶ⟩ πάσας Heinsius: πάσας codd.: πάσαις Toup 17 l. om. K 18 lac. indicavi, cum Aristoteles non favum, sed progeniem apium voce σχαδόνων significaverit, cf. Hist. an. V 22, 554 a 15. 29; 23, 555 a 8; IX 40, 624 a 8, 627 a 30; suppleas igitur e locis sim. ζῷον ἄπτερον ἄπουν vel simile quid Ἀριστοτέλης PT^{1}: Ἀριστοφάνης cett. Ahrens intellegit Aristophanem Byzantium, cuius λέξεσι Ἀττικαῖς debeatur interpretatio τὰ τῶν κηφήνων κηρία Θεαίτητος δὲ om. KGEAT^{2}

ἔχοντας τῶν κηφήνων τοὺς γόνους, οἵτινες ἡδὺ ποιοῦσι βρῶμα. οἱ δὲ κοινότεροι ἐπὶ τῶν κηφήνων τῶν ἐσθιόντων τὸ μέλι, ὥς φησιν Ἡσίοδος (Op. 304, cf. 305 sq.)· *'κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν.'*

b. *ἀπ' Αἰγίλω: Αἴγιλα δῆμος Ἀττικῆς, ⟨Ἀντιοχίδος⟩ φυλῆς, ἀπό τινος ἥρωος Αἰγίλου. ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἥδισταί, καὶ ὁ Δίνων* (fgm. 13 Mueller *Fgm. hist. gr. II 92*) *μαρτυρεῖ. ἔστι δὲ καὶ Λακωνικὸν χωρίον Αἴγιλον. τινὲς δέ, ὅτι ἐστὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς.* KGEAPT

[c.] ⟨*ἀπ' Αἰγίλω:*⟩ *ἀκρωτήριον Λακωνικὸν πλησίον Κρήτης.* E[5]

[149 a.] ⟨*ἠνί:*⟩ *ἰδού.* K[5]

[b.] ⟨*θᾶσαι:*⟩ *θαύμασαι.*

150. *κράναισι: ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις αὐτὸ πεπλύσθαι, ἀντὶ τοῦ ἐν ἔαρι, ἐπεὶ ἀνθεῖ πάντα τότε.* KGEAPT

151 a. *ὦδ' ἴθι Κισσαίθα: ἡ κισσὸν λευκὸν κατανεμομένη. αἰθὸν γὰρ τὸ λαμπρόν· ἐκ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν.* KGEAT

---

2 Et. M. 524, 48 (cf. Gen.) 5 Steph. Byz. *Αἰγιλιά* Athen. XIV 652 b. e (Philemo) Harp. *Αἰγιλιεύς* Paus. IV 17, 1

---

1 *τοὺς τὸν γόνον τῶν κηφήνων ἔχοντας* P post *οἵτινες* add. *πτόμενοι* K, *ἱπτάμενοι* GEAT[2]. stultum est additamentum, nisi ante *οἵτινες* plura intercidisse conicias; ut nunc est, *οἵτινες* ad *κηρούς* pertinere patet 2 *κοινότεροι* GEA: *-ον* cett. post *ἐπὶ τῶν* Ahrensio excidisse videntur verba *ἡδονὴν παρεχόντων* (cf. Hesych.) *κηφ. τῶν ἐσθιόντων τὸ μ.* KGEAT[2]: *κηρίων ὧν τὸ μ. ἐσθίεται* PT[1] *ὥς φησιν* seqq. om. PT[1], poetae verba etiam K 5 *Αἴγιλα—Αἰγίλου* ita in P: *Αἴγιλόν τινες τὴν Ἀττικήν φασιν ἀπὸ Αἰγίλου ἥρωος* *Αἴγιλα* GEAT: *-ος* K locum varie tentatum ita dedi, ut Hamaker ex Harpocratione constituit: *ἀπὸ φ. τινος* KE: *ἀπὸ φ. ἀπό τινος* A: *ἀπό τινος φ.* GT 7 *ἥδισταί* K: *ἡδεῖαι* GEAP: *ἡδέαι* T *Δείνων* Meurs *Opp. I 234 D* Athenaei loco nisus: *Δίων* codd. 14 *κρήνης τῆς* codd., corr. Call. 15 *αὐτὸ* seqq. om. P *αὐτὸ πεπλύσθαι* e scholiis Moschopuleis Ahrens: *ἀποπεπλύσθαι* KGEAT *πάντα τότε* EAT: *πάντοτε* K: *πάντα τότε ἤτοι πάντοτε* G 16 *λευκὴν* K

b. *Κισσαίθα: ὄνομα αἰγὸς ἐκ τοῦ κισσῶ καὶ τοῦ αἴθω.*

EA c. *⟨Κισσαίθα:⟩ ἡ ταχεῖα αἶξ ἀπὸ τοῦ ταχέως γεννᾶν· κισσῶ γὰρ τὸ γεννῶ, αἴθω δὲ τὸ καίω καὶ ἀνάπτω.*

PT d. *Κισσαίθα: ἡ πρὸς τὸ γεννᾶν διάπυρος καὶ θερμή, ἀπὸ τοῦ κισσῶ τὸ γεννῶ καὶ τοῦ αἴθω τὸ καίω.* [*εἰ δὲ Κιναίθα γράψεις, Κιναίθα ἐστὶν ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος ἤγουν ταχεῖα αἶξ, ἀπὸ τοῦ κινῶ καὶ τοῦ αἴθω τὸ καίω.*]

VII. *Θαλύσια*

KGLEAT a. *Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ ἐφιλιώθη Φρασιδάμῳ καὶ Ἀντιγένει τοῖς Λυκωπέως υἱοῖς. κληθεὶς δὲ ὑπ' αὐτῶν ἐπὶ θαλύσια Δήμητρος ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου, οὐχ, ὡς Μουνάτιός φησι, μετὰ Φρασιδάμου καὶ Ἀντιγένους τῶν καλεσάντων αὐτούς· λέγει γάρ* (v. 2)· *'σὺν καὶ τρίτος ἁμὶν Ἀμύντας.'*

KGLEAPT b. *ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Θαλύσια· τὰ δὲ πράγματα διάκεινται ἐν Κῷ. ἐπιδημήσας γὰρ ὁ Θεόκριτος τῇ νήσῳ, καθ' ὃν χρόνον εἰς Ἀλεξάνδρειαν πρὸς Πτολεμαῖον ἐπορεύετο, φίλος κατέστη Φρασιδάμῳ καὶ Ἀντιγένει Λυκωπέως υἱοῖς. καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρὸν ἐπὶ θαλύσια Δήμητρος ἄπεισι*

---

3 sch. V 136/37 b cum loc. sim. 5 sch. V 102/03 e

---

1 l. et ἐκ seqq. om. K 5 ultima ex id. V huc translata sunt

Tit.: Θ. arg. b, sch. III 8/9 a, sch. VI a. e. 2/3 b, K super scholiis: *Λυκίδας ἢ Θ.* Amarantus in Et. Gen. *διεκρανώσατε* (v. ad 154): *ὑπόθεσις τῶν εἰς Κομάταν. Θ.* K super verbis poetae: *Θ. ἢ ἐαρινοὶ ὁδοιπόροι* P: *τῶν εἰς Κομάταν ἢ ἐαρινῶν δωρίδι ἢ ἐαρινὴ ὁδοιπορία* L: *τὸν εἰς Κομάτα. Θ. ἢ ἐαρινῶν δωρίδι ἢ ἐαρινὴ ὁδοιπορία* GA: *Θ. δωρίδι ἢ ἐαρινὴ ὁδοιπορία* T: om. E 11 θαλύσια T: θυσία cett. 12 Μουνάτιος Ziegler: Μουνάτος KGE: Μενάτος cett. 13 αὐτούς K: αὐτόν cett. 16 διάκεινται om. PT 17 ὅτε πρὸς Πτ. εἰς Ἀλ. ἀπῄει PT

μετὰ Εὐκρίτου καὶ Ἀμύντου. καὶ διηγεῖται, ὡς κατὰ τὴν ὁδὸν ἐντυγχάνει Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἀπὸ Κρήτης καὶ ὅπως ἀλλήλοις ὁμιλοῦσι καὶ διεξέρχονται τοὺς ἑαυτῶν ἔρωτας. ἦρα δὲ ὁ Λυκίδας παιδὸς Ἀγεάνακτος Μιτυληναίου, ὁ δὲ Θεόκριτος Μυρτοῦς ὄνομα. λαμβάνει δὲ ὁ Θεόκριτος λαγωβόλον παρὰ Λυκίδα, καὶ οὕτω χωρίζονται ἀπ' ἀλλήλων.

c. προλογίζει ὁ Θεόκριτος. KP

1a. ἐς τὸν Ἄλεντα: τόπος ἐν Κῷ ἀπὸ Ἄλεντός τινος βασιλέως. KGL^{E}E^{E} b. ἔνιοι δὲ τὴν ἅλω παρὰ τὸ ἁλιλέσθαι ἐν αὐτῇ τοὺς ἀστάχυας. KG

c. ἐς τὸν Ἄλεντα: Ἄλεις ἢ δῆμος τῆς Κῶ [οὕτως ὀνομαζόμενος] ἢ τόπος ἐν Κῷ οὕτως ὀνομαζόμενος ἀπό τινος Ἄλεντος. ἔστι δὲ Ἄλεις καὶ ποταμὸς Σικελίας. PT

2a. εἴρπομες: κυρίως μὲν ἐπὶ τῶν σκωλήκων, κατα- K
χρηστικῶς δὲ ἐπὶ τῶν νωθεστέρως πορευομένων· νῦν δὲ ἐπὶ τοῦ βαδίζειν εὐθέως παρειλήφαμεν.

b. εἴρπομεν: τὸ ἕρπειν κυρίως ἐπὶ τῶν ὄφεων καὶ τῶν σκωλήκων καὶ ἐπὶ τῶν ἑτέρων ἀπόδων ζῴων λέγεται, καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθεστέρως καὶ ἀσπουδεὶ πορευομένων. καὶ Ὅμηρός (ρ 158) φησι· ⟨ἥμενος ἢ ἕρπων⟩. νῦν δὲ ἐπὶ τοῦ βαδίζειν παρειλήφαμεν. GLEAT

3a. θαλύσια: ἡ τῶν καρπῶν τῶν ἐπὶ τῆς γῆς συγκομιδή. καὶ Ὅμηρος (*I* 534)· 'ὃν οὔτι θαλύσια.' KGL^{E}E^{E}

---

9 sch. 34 c cum loc. sim. 13 V 123 cum sch. 14 Eust. 1841, 28 22 sch. B I 534 Et. M. 442, 13 (cf. Gen.)

---

1 ὅθεν καὶ διηγ. PT 2 ὅπως PT: πῶς cett. 3 ὁμιλοῦσι καὶ PT: ὡμίλουν καὶ K: ὡμίλουν G: ὁμιλοῦντες cett. 4 μὲν ante *A.* suppl. Valckenaer 5 κόρης ante *M.* suppl. Ahrens ὄνομα, quod Valckenaer delevit, deest e. g. in Laur. 32, 16 6 ἀπ' om. omnes praeter K 8 Ἄλεντος scripsi e scholio c: Ἀλεντίνου codd. 11 Ἄλεις bis scripsi: Ἄλευς codd. οὔτ. ὀνομ. priore loco del. Paton *The Inscr. of Cos p. 213*, idem verba ἀπό τινος Ἀλ., quae in codd. subsequuntur, transposuit 19 νωθεστέρως scripsi: νωθεστέρων codd.: νωθέστερον Call. 20 καὶ Ὅμ. φ. om. EAT supplevi 23 καὶ Ὅμηρος seqq. om. LE ὃ οἱ οὔτι Hom.

KG b. ⟨. . .⟩ τὸν τῶν δένδρων καρπὸν ἄφθονον καὶ πολὺν ἀκμάζοντα καὶ δαψιλῆ τὸν ἐπὶ τῆς ἄλω συνηγμένον καρπόν. κολακεύει δὲ τὴν Δήμητραν ⟨διὰ τὸ⟩ πολλοῖς ἔτεσι τὴν αὐτὴν εὐθηνίαν αὐξηθῆναι.

PT c. θαλύσια: Δήμητρος ἑορτὴ μετὰ τὴν συλλογὴν τῶν καρπῶν. καὶ Ὅμηρος (*I* 534)· 'θαλύσια γουνῷ ἀλωῆς.'

d. καὶ Φρασίδαμος: οὗτος ὁ καὶ περισσός. τὸ δὲ ἑξῆς· τῇ Δηοῖ γὰρ ἔτευξε θαλύσια ὁ Φρασίδαμος καὶ ⟨ὁ⟩ Ἀντιγένης.

L^{m}EAT 4. τὸ Λυκώπεος Αἰολικῶς προπαροξύνεται· ἐπειδὴ οἱ Αἰολεῖς Ἀχιλλεύς καὶ Πήλευς λέγουσι βαρυτόνως, ὁμοίως καὶ τὸ Λυκώπευς, διὰ τοῦτο ἡ τῶν εἰς ευς γενικὴ παρ' αὐτοῖς προπαροξύνεται.

KGLEA 5—9 a. χαῶν: τῶν ἀγαθῶν. χαὰ γὰρ παρὰ Λακεδαιμονίοις τὰ ἀγαθά· χαῖον δὲ τὸ εὐγενὲς καὶ ἀρχαῖον, ὁμοίως καὶ τὸ χάον.

PT b. εἴ τι περ ἐσθλὸν χαῶν τῶν ἔτ' ἄνωθεν ἀπὸ Κλυτίας: χαὸν λέγεται τὸ ἀγαθὸν παρὰ Λακεδαιμονίοις, χαῖον δὲ τὸ εὐγενὲς ἢ τὸ ἀρχαῖον. ὁ δὲ νοῦς τούτου τοιοῦτος· εἴ τί ἐστιν ἀγαθὸν ἀπὸ τῶν ἔτι ὄντων ἀρχαίων [ἀγαθῶν] τῶν ἀπὸ τῆς Κλυτίας τε καὶ αὐτοῦ τοῦ Χάλκωνος, οὗτοί εἰσι τὸ ἀγαθὸν ἐκεῖνο, ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης.

KGLEA c. ἀπὸ Κλυτίας: Κλυτία ὄνομα κύριον, Εὐρυπύλου τοῦ βασιλέως τῶν Κῴων γυνή, θυγάτηρ δὲ Μέροπος. φησὶν οὖν, ὅτι συγγενεῖς οἱ νεανίαι Χάλκωνος.

---

9 Ahrens *De graec. linguae dial. I 14 n. 13; 13 n. 12*
13 Hesych. χάϊα χάϊος ἀχαία sch. Ar. Lys. 1157

---

1 lac. indicavi. ad ea quae supersunt conferas v. 33 sq. 3 δὲ om. K supplevi 6 γοῦν ἀλωῆσι codd., corr. Xylander 8 addidi 9 Λυκώπεως codd. προπαροξύνεται L: προπαροξύνονται E: παροξύνονται AT 11 αὐτοῖς Call.: αὐτῶν codd. 14 τὰ ἀγαθά seqq. om. G χαῖον K: χαὸν LEA καὶ ἀρχ. K: ἢ τὸ ἀρχ. λέγεται ultimis omissis LEA 18 ἢ τὸ ἀρχαῖον om. P 19 del. Wilamowitz 22 Κλ. ὄν. κύρ. om. K

d. *Εὐρύπυλος ὁ Ποσειδῶνος Κλυτίαν γήμας ἐν Κῷ Χάλκωνα καὶ Ἀνταγόραν ἐγέννησεν, ἀφ' ὧν οἱ εὐγενεῖς ἐν Κῷ.*

e. *Εὐρύπυλος ὁ Ποσειδῶνος υἱὸς Κῴων βασιλεύων γήμας* P
Κλυτίαν τὴν Μέροπος Χάλκωνα καὶ Ἀνταγόραν ἔτεκεν, ἀφ'
ὧν οἱ ἐν Κῷ εὐγενεῖς.

f. *οὗτοι δέ εἰσιν οἱ ἐπὶ τῆς Ἡρακλέους πολιορκίας τὴν* KGLEAPT
Κῶ κατοικήσαντες καὶ ὑποδεδεγμένοι τὴν Δήμητραν, καθ' ὃν
καιρὸν περιῄει τὴν Κόρην ζητοῦσα.

g. *καὶ σαφέστερον φάναι, τοῦτο βούλεται εἰπεῖν ὁ Θεό-* PT
κριτος, ὅτι ἀπὸ τοῦ ἀρχαίου ἀγαθοῦ γένους τῆς Κλυτίας τῆς
βασιλίσσης τῶν Κῴων καὶ τοῦ παιδὸς αὐτῆς τοῦ Χάλκωνος
κατάγονται ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης. οὗτοι μόνοι ἀπὸ
πάντων τῶν καταγομένων ἐξ αὐτῶν εἰσιν ἀγαθοί, καθάπερ
καὶ οἱ πρόγονοι αὐτῶν. ἦν δὲ ἡ Κλυτία θυγάτηρ Μέροπος·
γαμηθεῖσα δὲ Εὐρυπύλῳ τῷ βασιλεῖ τῶν Κῴων ἐγέννησε τὸν
Χάλκωνα τὸν τὴν βασιλείαν τῶν Κῴων διαδεξάμενον.

h. *Χάλκων υἱὸς Κλυτίας καὶ Εὐρυπύλου.* K

i. *Χάλκωνος: ὁ Χάλκων οὗτος ἵσταται ἐν Κῷ ἀνδριὰς* KGP
καὶ ἐκ τοῦ ποδὸς αὐτοῦ ἐκρέει πηγή.

k. *Βούριναν: κρήνην λέγει τῆς Κῶ. Φιλητᾶς* (fgm. 19 KGLEAT
Bach, p. 55)· *ἔνασσατο δ' ἐν προχοῇσι μελαμπέτροιο* ⟨∪ — ∪⟩

---

1 *Εὐρ. υἱὸς Ποσ. βασιλεὺς γήμας Κλ. τὴν τοῦ Μέροπος ἐν Κῷ* G 2 *εὐγ. τῶν Κῴων* G 4 *Ἀνταγόραν* sch. d: *Ἀριστα-γόραν* cod. 6 *περὶ Εὐρυπύλου δὲ καὶ Κλυτίας ἱστορεῖται ὅτι οὗτοί εἰσιν* inc. PT *πολιορκίας* KGPT: *βασιλείας* cett. 8 in fine add.: *ἐπιδημήσας δὲ Θεόκριτος ἐφιλιώθη Φρασιδάμῳ* K: *ᾗ νήσῳ ἐπιδ. ὁ Θ. ἐφ. Φρ.* GLEA. verba ab hoc loco aliena ex argumenti a initio petita esse intellexit Buck 35 13 *οἱ ἀγαθοί* P 18 *ἀνδριὰς* seqq. om. G 20 *Βουριν-* ubique K: *Βουρριν-* cett. *κρήνην λέγει* scripsi: *κρήνην μὲν* K: *κρήνη ἡ Βούρρινα* LEAT: om. G *Φιλητᾶς* G: *Φιλιτᾶς* LEAT: *Φιλίτας*, quae forma nominis esse videtur vere antiqua (Croenert *Herm. 37, 1902, 212 sqq.*), K 21 *νάσσατο* Heinsius 336: *δάσαντο* codd.: *δάσσατο* Kayser *Phil. Coi fgm. 1793, 65* *μελαμπ.* Heinsius: *σελαμπ.* codd.: *σελασπ.* Bach hexametri finem interiisse statuit Ahrens, *Βορίνης* scripserat Heinsius

Βουρίνης.' Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων φησί· 'Βούρινα πηγὴ ἐν τῇ νήσῳ ἐστίν, ἧς τὸ πρόσωπον βοὸς ῥινὶ παραπλήσιον.' ἔστι δὲ ῥέουσα ἐκ πέτρας διὰ βοὸς κεφαλῆς. ἢ τὴν μεγάλην διὰ τοῦ βοῡ ἐπιτατικοῦ. βούπαις γὰρ καὶ βουγάϊος ὁ μέγας· καὶ Ὅμηρος (σ 79)· 'νῦν μὲν δὴ βουγάϊε.'

l. *ἐκ ποδὸς ἄνυε: ἤτοι ταχέως ἢ ἔξω τῆς πεπατημένης ὁδοῦ. οἱ δέ φασιν ἐκεῖσε ἐφεστάναι ἀνδριάντα, καὶ ἐκ τοῦ ποδὸς ἐκχεῖσθαι τὴν πηγήν. ἢ σπουδαίως κατήρτισε τὴν κρήνην, διὸ καὶ ἔφη· εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· καὶ ἡμεῖς φαμεν ἐκ ποδὸς οἷον εὐθέως. εἰ μὴ μεταφορικῶς ἔταξε τὸ ἐκ ποδός, οἷον ἐξ ἐδάφους καὶ τῆς πρώτης ὑποστάσεως· καὶ γὰρ Ὅμηρος (B 824) τὰ κατώτατα μέρη τῶν ὀρῶν 'πόδα νείατον' φησί. τὸ δὲ εὖ γ' ἐνερεισάμενος ⟨πέτρᾳ γόνυ⟩ συνεκδοχικόν· παντὶ τῷ σώματι τῇ πέτρᾳ ἐπερειδόμενος, ὅθεν ἡ πηγὴ χεῖται.*

KLEAT m. *ἐκ ποδὸς ἄνυε: ἢ ἐκ βάθους ἢ ἀφ' ὑψηλοῦ· πόδες γὰρ τὰ πλησιάζοντα τῇ γῇ τῶν ὀρῶν.*

---

1 Eust. 309, 2: *καὶ παρὰ τῷ Θεοκρίτῳ δὲ Βούρινα· πηγὴ δὲ αὕτη καλουμένη οὕτω διὰ τὸ προτομήν τινα εἶναι αὐτόθι ἐοικυῖαν ῥινὶ βοός.* 3 sch. A B T *N* 824 sch. *σ* 79 Apoll. Lex. Hom. 52, 11 Bekker sch. Apoll. Rhod. I 760 sch. Ar. Plut. 873 Suid. *βουλιμιᾷ* Et. M. 209, 21. 45; 474, 46 (cf. Gen.) Et. Gud. 447, 7 Sturz Eust. 962, 15 Pomp. Fest. De verb. signif. 29, 17 Lindsay 12 sch. B *B* 824

---

2 *πηγὴ* om. **K** *ἧς—παραπλήσιον* **KG**: *ἢ τῷ ἀφ' ὕψους καὶ τῆλε β. ῥ. παραπλήσιος* cett. 3 *ἔστι δὲ* **KG**: *ἢ ἐστι* cett.: *ἤ ἐστι* Duebner: ⟨*γράφεται καὶ Βούρειαν*⟩ *ἢ ὅτι* Ahrens 4 *τοῦ —ἐπιτατικοῦ* tacite Ahrens: *τὸ—ἐπιτατικόν* codd. 5 *ὁ μέγας* om. **K** *νῦν μὲν δὴ* **K**: *νῦν μὲν* **G**: *δὴ νῦν* cett.: *νῦν μὲν μήτ' εἴης* Hom. 8 *τὴν πηγήν* **KG**: *τὸ ὕδωρ* cett. *ἢ* (*ὅτι* add. **G**) *σπ. κατ. τ. κρ.* in libris leguntur post *διὸ καὶ ἔφη· εὖ — γόνυ*, transposui 9 *ἐπεὶ καὶ ἡμεῖς φαμεν ὅτι ἐκ ποδὸς κατέδραμεν ἤγουν ταχέως* **G** 12 *πόδα νείατον* sine *φησι* **K**: *νειατόν φησι πόδα* cett. 13 *π. γόνυ* suppl. Ahrens ex mente Geelii 14 *πᾶν τὸ σῶμα* **K** corr. 15 *ἡ πηγὴ* om. **LEAT** 16 verba *ἀφ' ὑψηλοῦ* cum inde a Geelio corrupta putarent, *ἐκ βάθους καὶ μὴ ἀφ' ὑψηλοῦ* Duebner, *ἐκ βάθους ὡς ἀφ' ὑδρηλοῦ* Ahrens proposuerunt. tradita ita intellegas:

n. ⟨εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ:⟩ ὡς γενναίως προσκαθίσας τῇ πέτρᾳ. τινὲς δέ φασιν, ὅτι οἱ στενωποὺς ὀρύσσοντες τὸ μὲν γόνυ ἐρείδουσι τῇ γῇ, τῷ δὲ ἑτέρῳ ποδὶ τὸ σκαπτόμενον ὑπολαμβάνουσι χῶμα καὶ ὀπίσω αὐτῶν διωθοῦνται. οὕτως οὖν καὶ οὗτος ἐνερεισάμενος πέτρᾳ γόνυ τῇ συνεργίᾳ θατέρου ποδὸς τὴν κρήνην ἐποίησεν.

o. *Βούρειαν* ὃς ἐκ ποδός: ὅτε ὁ Χάλκων ἐβασίλευε PT τῶν Κῴων, εὑρέθη ἔν τινι τόπῳ τῆς Κῶ ἡ πηγή, ἣν νῦν ὁ Θεόκριτος λέγει, μὴ πρότερον οὖσα. εὑρέθη δὲ οὕτως. ἀνηγγέλθη τῷ βασιλεῖ παρά τινος τῶν περὶ ταῦτα δεινῶν, ὅτι ὕδατος ὁ τόπος ἐκεῖνος ἐνδομυχεῖ. καὶ ὁ βασιλεὺς αὐτεπιστατήσας τῷ τόπῳ ηὐτούργησεν, ὅσα συνέτεινε πρὸς τὴν τοῦ ὕδατος ἔκρηξιν. τοῦτο οὖν δηλοῖ τὸ ὃς ἐκ ποδὸς ἄνυε κράναν, ὅτι ὁ Χάλκων διὰ τῶν οἰκείων ποδῶν καὶ δι' αὐτεπιστασίας ἤνυσεν, ἤγουν κατειργάσατο καὶ κατώρθωσε, τὴν κρήνην. τὸ δὲ εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ τοῦτό ἐστιν, ὅτι αὐτὸς ὁ Χάλκων, οὐχὶ ὀρθοστάδην ἱστάμενος, ἀλλὰ οὕτω δεῆσαν κάμψας τὸ γόνυ καὶ καλῶς ἑδράσας καὶ στηρίξας τοῦτο τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ αὐτοχειρὶ κατεπράξατο τὴν τοῦ ὕδατος ἔκρηξιν.

Βούρεια δέ, ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐκ λίθου πεποιημένης ἐδόκει τὸ ὕδωρ ἐκρεῖν οὕτω τοῦ Χάλκωνος μηχανησαμένου τε καὶ κατασκευάσαντος. ἢ *Βούρεια* ἡ πολύρρους ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥέω. *Νικάνωρ* δὲ ὁ Κῷος ὑπομνηματίζων *Βούριναν* τὴν κρήνην καλεῖ. συμβῆναι γάρ φησιν ἐξ αὐτομάτου καὶ αὐτοφυῶς βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον, ἐξ οὗ τὴν κρήνην ἐκραγῆναι ὁ Χάλκων ἐποίησεν.

Chalco fontem elicuit aut ex solo terrae, ita ut sursum aqua saliret, aut e montis radicibus, ita ut deorsum 'ex alto' caderet.

1 novum l. add. Ahrens, post *ὡς* K add. *ἐκ ποδός*, l. ut videtur e scholio m falso repetitum 2 quid *στενωποί* hoc loco significent, obscurum 7 *ἐβασίλευσε* T 8 *ἣν—λέγει* scripsi: *ἧς—λέγει* codd.: *ἧς—μέμνηται* Call. 9 *οὖσα* Call.: *οὖσαν* T: *οὔσης* P 13 *γοῦν—ἄνυσε* T 21 *Βούρειαν* T 25 *Βούρριναν* Ahrens: *Βούρριν καὶ* codd. 26 *πλησίον* P

ἄλλοι δέ φασιν, ὅτι ὁ Χάλκων ἀνδριάντα ἔστησεν εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη, καὶ ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος τὸ ὕδωρ ἐξήρχετο. καὶ νοοῦσι τὸ ὃς ἐκ ποδὸς ἄνυσε κράναν καὶ τὸ εὖ ἐνερεισάμενος πέτρᾳ γόνυ, ὅτι ὁ Χάλκων ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος ἤνυσε κρήνην Βούρειαν εὖ καὶ καλῶς καὶ ἐπιστημόνως ἐνερεισάμενος τὸ γόνυ τοῦ ἀνδριάντος ἐν τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ. εἰ δὲ τοῦτο οὕτω νοήσεις, νοῆσαι ὀφείλεις καὶ Βούρειαν κρήνην τὴν πολύρρουν καὶ πολυχεύμονα. εἰσὶ δὲ οἵτινες τὸ ἐκ ποδὸς ἐνόησαν τὸ ἔξω τῆς πεπατημένης ὁδοῦ, λέγοντες ὅτι ἡ πηγή, περὶ ἧς ὁ λόγος, οὐκ ἦν κατὰ τὴν δημοσίαν ὁδόν, ἀλλ' ἐκτός.

$K^{E}L^{E}E^{E}P^{E}T$ p. κατηρεφέες: σκιώδεις, φύλλοις κατάστεγοι.

KL^{E} 10 a. κοὔπω: ἀντὶ τοῦ· καὶ οὔπω τὸ ἥμισυ τῆς ὁδοῦ ἠνύσαμεν.

$KGL^{E}E^{E}$ b. σᾶμα: ὁ τάφος ἀπὸ τοῦ τὸν τόπον σημειοῦσθαι καὶ περιορίζεσθαι.

KGLEAPT 11. τὸ Βρασίλα: οἱ γράφοντες διὰ τοῦ $\bar{\delta}$ ἁμαρτάνουσιν. ἐγένετο γὰρ Βρασίδας Λάκων τὸ γένος· ὁ Λακεδαιμόνιος δὲ Βρασίδας οὐ τέθαπται ἐν Κῷ, ἀλλ' ἐν Ἀμφιπόλει.

K^{E}GLEAPT 12 a. ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομεν

GLEAT ἄνδρα: ἀντὶ τοῦ ἀγαθὸν καὶ μεμουσωμένον. b. Κυδωνικὸν δὲ ἀντὶ τοῦ Κρητικὸν ἀπὸ τόπου. καὶ Ὅμηρος (τ 176)· 'ἐν δὲ Κρῆτες μεγαλήτορες, ἐν δὲ Κύδωνες.'

---

12 Hesych. Phot. Suid. κατηρ. Lex. Bachm. 273, 30 15 Hesych. Suid. σῆμα Eust. 1310, 25 21 sch. Call. H. Dian. 81

---

12 σκ. φ. om. K φ. κατ. om. PT 13 καὶ om. K 14 ἠνύσαμεν L: ἠνυκότες K et K^{E} 15 καὶ περ. om. LE 18 γὰρ Βρασίδας KPT: δὲ Βρασίλας cett. post γένος add. ὁ δὲ Βρασίλας Κῶος PT ὁ Λακ. δὲ Call.: ὁ Μακεδόνιος δὲ K: ὁ γὰρ Λακ. LEA: ὁ γὰρ Μακεδ. G: ὁ δὲ PT 19 τέθαπται PT: θάπτεται cett. 21 haec tantum in K: ἀντὶ τοῦ μουσικώμενον, in P: ἀγαθόν, μεμουσωμένον 22 Κρητικόν $K^{E}P^{E}$ 23 ἐν δ' Ἐτεόκρητες Hom. Κύδωνι codd. Theocr.

c. *Κυδωνικόν*: *Κύδων ὄνομα ἔθνους. ἔστι δὲ καὶ* KGLUEAT
πόλις Κυδωνία ἀπὸ Κύδωνος τοῦ Ἑρμοῦ καὶ Ἀκακαλλίδος.

13/14. *⟨οὐδέ κέ τίς μιν⟩ ἠγνοίησεν*: *ἐκ τοῦ ἐναν-* G
τίου τὸ ἐναντίον· ὅτι ῥᾳδίως ἐπεγινώσκετο, ὅτι αἰπόλος ἦν.

16 a. *κνακόν*: *ξανθὸν ἢ λευκόν· λευκὸν μὲν ἀπὸ τοῦ* KGLUEAT
καρποῦ, ξανθὸν δὲ ἀπὸ τοῦ ἄνθους.

b. *⟨λευκὸν ἢ μέλαν,⟩ ὅτι ὁ μὲν κύκλος αὐτῆς μέλας, τὸ δὲ σπέρμα λευκὸν τῆς κνήκου. ἢ ψαρόν. ἢ πυρρόν· τοιοῦτον γὰρ τὸ τῆς κνήκου ἄνθος.*

c. *κνακόν*: *κνηκοειδές, λευκὸν ἀπὸ τῆς κνήκου τοῦ σπέρ-* PT
ματος λευκοῦ ὄντος.

d. *νέας ταμίσοιο*: *προσφάτου πιτύας πνέον.* GLUEAPT

e. *νέας ταμίσοιο*: *ἡ πιτύα εἴρηται παρὰ τὸ θαμί-* KGLUEAPT
ζειν, ὅ ἐστι πυκνοῦν, τὸ γάλα περὶ αὐτὴν τρεφόμενον ἢ παρὰ τὸ ταμείων ἀξιοῦσθαι διὰ τὴν χρῆσιν.

---

1 sch. Apoll. Rhod. IV 1492: *Ἀλέξανδρος ἐν πρώτῳ Κρητικῶν* (fgm. 32 Mueller *Fgm. hist. gr. III 231*) *τῇ Ἀκακαλλίδι συνελθεῖν φησι τὸν Ἑρμῆν καὶ τὸν Ἀπόλλωνα, καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ Κύδωνα, ἀφ' οὗ ἡ πόλις Κυδωνία καλεῖται ἐν Κρήτῃ.* Steph. Byz. *Κυδωνία* 5 Diosc. Mat. med. IV 188 Theophr. Hist. pl. VI 4, 5 Plin. Hist. nat. XXI 90 Hesych. *κνηκόν· τὸ κροκίζον χρῶμα ἀπὸ τοῦ ἄνθους· ὅτε δὲ ἀπὸ καρποῦ, τὸ λευκόν. κνακόν· λευκόν. πυρρόν. κνηκός· λευκὸς* [*καὶ εἶδός τι σπέρματος*] *καὶ πυρρός. κνακός· ψαρὸς ἵππος.* 13 sch. Nic. Ther. 577; Al. 373 Hesych. Phot. Suid. *θαμίζεις* Lex. Bachm. 254, 2

---

2 *Κυδωνία* J. B. Koehler *Notae et Emend. in Theocr. 1767, 28*: *Κύδων* codd. *Ἀκακαλλίδος* Brub. in marg.: *Ἀκαλλίδος* Call.: *Ἀκαλλίδας* codd. 5 *ἢ μέλαν* post *ἢ λευκόν* add. GU 7 *λευκὸν ἢ μέλαν* supplevi ex iis quae GU in 16 a praestant fort. *χυλός* *αὐτῆς* scripsi: *αὐτοῦ* codd. 8 *κνήκου* scripsi: *κνήκης* Toup: *κνίδης* codd. et K quidem addens *ὡς λέγεται κνήκου ἢ ψ. ἢ π.*, quae in codd. finem scholii faciunt, huc transposui 9 *γὰρ* K: *δὲ καὶ* cett. 10 *κνήκου* scripsi: *κνήκης* codd. 12 *πιτύας* PT: *πιτθύας* (vel *-ίας*) cett.: *πυτίας* Kiessling 14 *περὶ αὐτ. τρεφ.* om. P *αὐτὴν* Ahrens: *αὐτὸν* T: *αὐτὸ* cett. *τρεφόμενον* Ahrens coll. E 903 (emend. a Bekkero): *στρεφόμενον* codd. praeter G, qui *ἀναστρεφόμενον ἢ παρὰ* seqq. om. LUEA 15 *ταμιείων* Geel *ἠξιῶσθαι* ultimis omissis PT

U^{r} f. *τάμισος ἡ πιτύα οἱονεὶ θάμισός τις οὖσα παρὰ τὸ θαμίζειν, ὅ ἐστι πυκνοῦν· καὶ πυκνοῖ γὰρ τὸ γάλα, ὅ ἐστι πήγνυσι, περὶ αὐτὴν τρεφόμενον.*

KGLUEAPT g. *εἰώθασι δὲ οἱ ποιμένες ἀπορίᾳ χειρομάκτρων τυροποιούμενοι ἀποψᾶσθαι οἷς περίκεινται δέρμασι.*

K^{g}GLUEAT 17a. *γέρων ἐσφίγγετο πέπλος*: *παλαιός, ἐκ μεταφορᾶς τῶν ἡλικιῶν.*

GLUEAT b. *γέρων*: *τριβακὸν ἱμάτιον, ὅ ἐστι παλαιόν.*

KGLUEAT 18a. *ξωστῆρι πλακερῷ*: *πλατεῖ· πλακερὸν γὰρ τὸ πλατύ. γράφεται δὲ καὶ πλοκερῷ παρὰ τὴν πλοκὴν καὶ τὴν ὑφήν.*

PT b. *ξωστῆρι πλακερῷ*: *ἄλλοι πλοκερῷ γράφουσιν. εἴτε δὲ πλακερῷ γράφεται εἴτε πλοκερῷ, ἀντὶ τοῦ πεπλεγμένῳ ἐστίν.*

K^{g}L^{g}U^{g}E^{g} c. ⟨*ῥοικάν:*⟩ *ἐπικαμπῆ.*

KGLUEAP 19/20. *σεσαρώς*: *ἀντὶ τοῦ· ἠρέμα ἐγέλα διεστηκὼς τὰ χείλη καὶ μειδιῶν. οὐκ εὖ δὲ κέχρηται τῇ λέξει.*

KGLUEA 21a. *Σιμιχίδα*: *οἱ μὲν αὐτόν φασι Θεόκριτον, καθὸ Σιμίχου ἦν υἱὸς ἢ καθὸ σιμὸς ἦν. οἱ δὲ ἕτερόν τινα τῶν σὺν αὐτῷ καὶ οὐ Θεόκριτον διὰ τὸ ᾽Σιμιχίδα μὲν Ἔρωτες ἐπέπτα-*

---

15 Galen. ad Hipp. De fract. III 43 (XVIII 2, 597 Kuehn)
17 A a cum loc. sim.

---

3 *αὐτὸ στρεφόμενον* cod. 4 *τυροποιούμενοι* **KP**: *-οῦντες* cett. 5 *ἀποψᾶσθαι* **KP**: *ἀποσπογγίζειν τὰς χεῖρας αὐτῶν* (*αὐτῶν* Kiessling) **LUEAT**: *τὰς χεῖρας ἀποσπαννίζειν* **G** *οἷς περίκ. δέρμασι* **K**: *ἐν οἷς δερματίνοις* (*δέρμασιν* **L**) *εἵμασι περιβέβληνται* **LUEAT**: *οἷς περιβέβλ. δερματίνοις χιτῶσι* **G**: om. **P** 6 *παλ. ἐκ μεταφορᾶς* **K**: *ἡ μεταφορὰ ἀπὸ* cett. 9 *ἢ τῷ πλατεῖ καὶ πλακώδη* (leg. *-ει*). *πλακὸν γὰρ τὸ πλατύ φασι* post *ὑφήν* in **G** *πλακερὸν* scripsi: *πλακὸν* codd. 10 *δὲ* om. **KG** *πεπλεγμένον* (leg. *-ῳ*) post *πλοκερῷ* add. **G** 13 *πεπλεγμένῳ* **E^{g}** 15 *ἀντὶ—ἐγέλα* om. **P** *διεσταλκὼς* **P** et **K^{g}**. Ahrens confert Galeni verba: *διαστῆσαι δὲ τὰ χείλη τῶν ὀδόντων συμβεβληκότων ὀνομάζουσι σεσηρέναι* 16 *οὐκ εὖ δὲ κέχρ.* Warton: *οὐκέτι δὲ κέχρ.* **KGLUEA**: *καταχρᾶται δὲ* **P** 17 *καθὸ Σ.* **KG**: *Σ. γὰρ* cett. 18 *Σιμίχου* **GUA**: *Σιμιχίδου* cett. *ἕτεροι* codd. nostri, corr. **Apogr. Barb.**

ρον' (v. 96). φασὶ δὲ τὸν τοιοῦτον †ἀπὸ πατρίου† κληθῆναι, ἀπὸ Σιμιχίδου τοῦ Περικλέους τῶν Ὀρχομενίων, οἵτινες πολιτείας παρὰ Κῴοις τετυχήκασιν.

b. Σιμιχίδα, πᾷ δή συ μεσαμέριον πόδας ἕλκεις: PT εἰσὶ καὶ πατρωνυμικὰ οὕτως ἀπαραλλάκτως λεγόμενα καὶ ἐπὶ τῶν υἱῶν ὡς καὶ ἐπὶ τῶν πατέρων. ὥσπερ ὁ Θεόκριτος Σιμιχίδα υἱος ὢν Σιμιχίδαν ἑαυτὸν ὀνομάζει πατρωνυμικῶς· καὶ τὸν Ἀσκληπιάδην τὸν Σάμιον ποιητὴν Σικελίδαν καὶ αὐτὸν καλεῖ παῖδά τινος Σικελίδα λεγομένου τυγχάνοντα. ἀλλὰ καὶ ἐν τῷ εἰδυλλίῳ τῷ οὕτως λεγομένῳ Αἰπολικῷ καὶ Ποιμενικῷ (V) καὶ τὸν Εὐμήδη (v. 134) υἱὸν ὄντα τοῦ Κρατίδα Κρατίδαν φησὶ καὶ αὐτόν (v. 90. 99). οἱ λέγοντες δὲ Σιμιχίδαν λέγεσθαι τὸν Θεόκριτον διὰ τὸ εἶναι σιμὸν κακῶς λέγουσιν.

22. σαῦρος: ἀρσενικόν, θηλυκὸν δὲ ἡ σαύρα. φησὶ KGLUEAT δὲ Ἀριστοτέλης (fgm. 328 Rose, 1532 b 25) περὶ τοῦ ξῴου, ὅτι ξηραινόμενον εἰς ἔχιν μεταβάλλει.

23 a. οὐδ' ἐπιτυμβίδιαι: ἢ ὅτι τοῖς τάφοις ἐνδια- K[1-2]GLUEA τρίβουσιν ἢ ὅτι τὸν τύμβον ἐπὶ τῆς κεφαλῆς φέρουσι· b. τύμ- KGL βος δὲ παρὰ τὸ τύφεσθαι ὅ ἐστι καίεσθαι. c. ἢ παρὰ τὸ KG τύφω· φλογοειδεῖς γάρ εἰσιν.

---

5 sch. Pind. Pyth. VI 5 a. cf. Wendel *Jahrb. f. class. Phil., Suppl. 26, 1900, 70* 6 sch. 40 d 14 immo de hydro id referunt Theophr. Hist. plant. II 4, 4 Nic. Ther. 414 sqq. Geop. XV 1, 21. cf. Val. Rose *Arist. pseudep. 344* 18 Galen. De simpl. med. temp. XI 37 (XII 361 Kuehn): *τοῦτο δέ φασι καὶ τὸν Θεόκριτον αἰνίττεσθαι λέγοντα 'οὐδ' ἐπιτυμβίδιαι κορυδαλλίδες ἠλαίνοντι'· δηλοῦν γὰρ αὐτὸν τὰς τὸν τύμβον ἐπὶ τῆς κεφαλῆς ἐχούσας.* Et. M. 771, 38 (cf. Gen.) Et. Gud. 537, 33 Sturz Suid. *τύμβος*

---

1 ⟨αὐ⟩τὸν τοιούτως Paton *The Inscr. of Cos 356* πατρίου KG: πατρωιοῦ L: πατραλοιοῦ UEA: πατρωοῦ Hauler *De Theocr. vita et carm., Diss. phil. Frib. 1855, 6*: πατριώτου Hiller *Jahresb. d. class. Altertumswiss. 34, 275*: πατρὸς θετοῦ Meineke. velim: ἀπαραλλάκτως (cf. sch. b) κληθῆναι ἀπὸ ⟨πατρὸς⟩ Σιμιχίδου 2 πολιτείας K: πολίταις U: πολίται cett. 14 ἀρσενικόν KG: -ῶς cett. θηλ. δὲ om. GLUEAT 16 μεταβάλλει K: -εται cett. 18 ἢ ὡσεὶ τύμβ. ἐπὶ κεφ. K[2] 19 δὲ GL: γὰρ K τύφεσθαι (adiecta glossa γρ. τετύφθαι) ὅ ἐστι καίεσθαι KG: τύφω τὸ καίω L

QU^{5} d. ἐπιτυμβίδιαι: αἱ ἐπὶ τύμβου διατρίβουσαι ἢ ἐπὶ τῶν κεφαλῶν ἔχουσαι τάφῳ παραπλήσιον.

KQLUEA e. κορυδαλλίδες δὲ παρὰ τὸ κόρυσιν ἐοικέναι τὴν κεφαλὴν αὐτῶν.

PT f. αἱ δ' ἐπιτυμβίδιοι κορυδαλλίδες: κορυδαλλίδες ἐνταῦθα εἶδος ἑρπετοῦ· λέγονται δὲ ἐπιτυμβίδιοι, ὅτι τάφοις ὡς ἐπιπολὺ ἐνδιατρίβουσιν. εἰ δὲ κορυδαλλίδας τὰ στρουθία νοήσεις, κορυδαλλίδες μὲν λέγονται διὰ τὸ κόρυσιν ἐοικέναι τὸ ἐπὶ τῆς κεφαλῆς αὐτῶν ἀνάστημα, ἐπιτυμβίδιοι δέ, ὅτι ὡσεὶ τύμβον τὸ τοιοῦτον ἀνάστημα ἐπὶ κεφαλῆς ἔχουσι. φέρεται δὲ ἐπὶ τούτων καὶ ἱστορία τοιαύτη· ὅτι πρὸ τοῦ γενέσθαι τὴν γῆν γεγόνασιν αὗται· συνέβη γοῦν ποτε αὐτῶν τὸν πρόγονον ἀποθανεῖν, καὶ γῆς μὴ οὔσης ἐτάφη ὑπὲρ τῆς κορυφῆς τοῦ ἰδίου γόνου· διὸ καὶ ἐπιτυμβίδιοι ἐπεκλήθησαν.

KQLUEAT g. ἠλαίνονται: ῥέμβονται, πλανῶνται· ἀπὸ τῆς ἄλης. ὅμως καὶ αὗται ἠρεμοῦσιν.

QLUEAT 24. μετὰ δαῖτ' ἄκλητος: ⟨οὐ γὰρ ἄκλητος⟩ εἰ ὑστερήσει, μοῖραν εὑρίσκει τῶν κρεῶν. ἢ μετὰ δαῖτα κλητός. οἱ γὰρ κεκλημένοι σπεύδουσιν· ἐπὶ δὲ τῶν βραδυνόντων παροιμία· 'ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται, ἢ χωλός ἐστιν, ἢ οὐ δίδωσι συμβολάς.'

K^{5} 25. ⟨λανὸν ἔπι:⟩ ἤτοι ἐπὶ τρύγην.

KQLUEAP 26a. πᾶσα λίθος: ἴσως διὰ τὴν εὐμουσίαν τοῦ Θεο-

---

11 Ar. Av. 471 sqq. Galen. l. l. 19 Paroemiographi (Apost. 15 g)

---

1 ordine inverso ὅτι ἐπὶ τ. κ. ἔχουσι τ. π. ἢ τοῖς τάφοις ἐνδιατρίβουσιν U^{5} 3 κορυδαλλίδες δὲ K: κορυδαλλίδεσσι cett. παρὰ—τὴν κεφαλὴν αὐτῶν K: διὰ—τὰς κεφαλάς cett. 6 ἑρπετοῦ P: ὀρνέου T 7 ἐνδιατρ. Reiske: διατρ. codd. 12 γοῦν P: δὲ T 15 verba ἀπὸ τῆς ἄλης in libris ante πλανῶνται leguntur, transp. Ahrens 17 l. μετὰ δαῖτα κλητός in libris, corr. Ahrens verba sequentia simul adiciens 18 δαῖτ' ἄκλητος codd., corr. Adert 23 τοῦ Θεοκρίτου φησὶ U: τοῦ Θεοκρίτου ὡς K: τοῦ Θεοκρίτου τοῦτο εἶπεν ὡς (ῳ Ahrens) verbo φησὶ post λίθους traiecto P: Θεόκρι- ησι cett.

κριτου φησὶ καὶ τοὺς λίθους εὐμελῆ ἀποδιδόναι ἦχον προσπταίοντας τοῖς ποσίν.

b. ἀρβύλη δὲ εἶδος ὑποδήματος ἀπὸ τοῦ ἁρμόζεσθαι. KGLUEAT

c. θηλυκῶς ἡ λίθος. καὶ Ὅμηρος (*M* 287)· 'λίθοι πωτῶντο θαμειαί.' [d.] καὶ (Z 242—43)· 'δόμον ξεστῆς αἰθούσησι τετυγμένον', λίθοις δηλονότι ξεσταῖς. KGLUEAT

[e.] ἀείδει: ᾠδὴν εὔρυθμον πέμπει. P

29—31 a. τὸ δὴ μάλα θυμὸν ἰαίνει: ἤτοι τὸ εἶναί τινα συριστήν. ἐκ τοῦ ποιητοῦ δὲ ὁ λόγος ἀντὶ τοῦ· ἐφ' ᾧ δὴ μάλιστα καὶ αὐτὸς τέρπομαι. K^{s}GLUEAT

b. ἔλπομαι: ἐλπίζω, φησίν, ὅτι οὐ παρευδοκιμήσεις ἡμᾶς. K

c. ὁδὸς ἅδε θαλυσιάς: γράφεται θαλυσία· ἐπὶ θαλύσια ἄγουσα ἡμᾶς. ⟨. . .⟩ ἔνθα σῖτον ἐκτρίβουσιν. KGU^{r}PT

33 a. ⟨ὄλβω ἀπαρχόμενοι:⟩ ἀπαρχὴν διδόντες τοῦ ὄλβου καὶ τοῦ πλούτου. $L^{s}U^{s}E^{s}P^{s}$

b. τὸ δὲ ὄλβου ἀπαρχόμενοι ἀντὶ τοῦ τῆς ἐπικαρπίας ἀπάργματα ⟨διδόντες⟩. PT

34 a. εὔκριθον ἀνεπλήρωσεν ἀλωάν: ἀπὸ μέρους, τῆς κριθῆς, τὴν εὔκαρπον παρεδήλωσεν. εὔκριθον δὲ καὶ οὐχὶ εὔσιτον ἅλωνα προσηγόρευσε διὰ τὸ δοκεῖν πρῶτον εὑρεθῆναι GUPT

---

3 sch. Lyc. 271, 26 b Scheer sch. Eur. Or. 140 Hesych. Suid. ἀρβ. Poll. VII 86 Et. M. 135, 13 (cf. Gen.) Et. Gud. 184, 9 De Stefani Lex. *Αἰμ.* 620, 19

---

1 εὐμελῆ K: εὐμελῶς GE: ἐμμελῶς cett. προσπταίοντας KP: τοὺς προσπταίσαντας cett. 4 ἡ λίθος. καὶ Ὅμ. K: ἐν Ὁμήρῳ G: καὶ Ὅμ. τοὺς λίθους φησί cett. ποτῶντο KG: -ται cett. 6 ξεσταῖς secludi vult Ahrens 8 K non habet nisi haec: ἐκ τ. π. ὁ λόγος. ἐφ' ᾧ καὶ αὐτὸς τέρπ. 12 l. om. KGU γράφεται θαλυσία scripsi: γράφει θαλυσίαν K: γράφεται θαλύσιας GU: om. PT ἐπὶ θαλύσια G Call.: ἐπὶ θαλυσίαν cett. 13 Ahrens haec fere ex Eustathio 772, 25 supplenda esse censuit: ⟨θαλύσια· ἑορτὴ τῆς Δήμητρος ἡ καὶ Ἀλῷα λεγομένη ἀπὸ τῆς ἅλω⟩. Duebner verba extrema ad ἁλωάν v. 34 trahenda duxit ἐντρίβουσι PT 14 ἀπαρχὰς διδόντες reliquis omissis P 16 ὅλβον codd., corr. Duebner 17 suppl. Ahrens 18 ἀνεπλήρωσεν—εὔσιτον ἅλωνα om. GU ἁλωάν Call.: ἅλωνα PT 20 τὴν Δήμητραν post προσηγόρευσε add. GU

τὸν τῆς κριθῆς καρπόν. κριθὴ δὲ ὠνομάσθη διὰ τὸ προκριθῆναι τῶν πρόσθεν καρπῶν ἢ διὰ τὸ τοὺς στάχυας κεκριμένους ἐν αὐτῇ καὶ διακεχωρισμένους ἔχειν τοὺς κόκκους.

$L^{E}U^{E}E^{E}$ b. ⟨εὔκριθον:⟩ εὔκαρπον· παραδηλοῖ δὲ τοῦτο ἀπὸ τοῦ κρείττονος τῶν σπερμάτων.

KLUEAT c. ἀλωάν: τὴν ἄλωνα παρὰ τὸ ἁλής· ἐκεῖ γὰρ ἀθροίζουσι τοὺς στάχυας· Καλλίμαχος (fgm. 86 Schneider, II 249)· 'ἐς τὸ πρὸ τείχους ἱερὸν ἁλέες δεῦτε.' καὶ ἅλς ἡ θάλασσα ἐντεῦθεν ἢ ⟨παρὰ⟩ τὸ ἁλεὶς τὸ συστραφείς.

36a. τάχ' ὥτερος: Δωρικὴ ἡ συναλοιφή· ὁ ἄτερος ὥτερος. τὸ γὰρ ὁ ἕτερος διὰ τοῦ $\overline{ου}$ οὕτερος, ὡς παρὰ Ἡροδότῳ (I 34. 134).

b. τάχ' ὥτερος: ἡμαρτημένως ἐξενήνοχεν ὥτερος ⟨ἄλλον⟩· ἕτερος γὰρ ⟨ἐκ δυοῖν⟩, ἄλλος ἐκ πλειόνων. ὁ ἕτερος τὸν ἕτερον διὰ τῆς μουσικῆς ὠφελήσει.

KGLUEAPT 37. καπυρόν: ἡδὺ μεταφορικῶς. τὰ γὰρ ἔξοπτα τῶν ἐδεσμάτων ἡδύνει τὴν γεῦσιν.

$U^{E}E^{E}$ 38. ⟨ἐγὼ δέ τις οὐ ταχυπειθής:⟩ τοῦτό φησι ταπεινῶν ἑαυτόν.

---

1 sch. ABT *A* 449 (Theophrastus) Choerob. Orth. (Cram. An. Ox. II 227, 2) Et. M. 538, 20 (cf. Gen.) Et. Gud. 346, 33 Sturz Et. Or. 82, 13 6 sch. I 46 f; VII 1 b Georg. Choer. ad Theod. Can. 257, 20 Hilgard Et. M. 59, 47; 71, 4; 74, 17 (cf. Gen.) Et. Gud. 99, 23 De Stefani Eust. 772, 28; 948, 22 14 sch. A *I* 313 Eust. 1573, 48 Ammon. De diff. adfin. verb. 11. 61 Valckenaer

---

1 *διὰ τὸ προκριθῆναι* **GU**: *ὅτι μετὰ τὸν σῖτον προεκρίθη* cett. 2 *τῶν πρόσθεν* seqq. om. **G** *πρόσθεν—διὰ* **U**: *ἄλλων —παρὰ* cett. *κεκριμ. ἐν αὐτῇ* **U**: *τῆς κριθῆς κεκριμ.* cett. 6 *τὴν ἄλωνα παρὰ τὸ ἁλής* (*ἅλις* cod.) **K**: *ἅλως ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω* cett. 8 *ἐς* **LAT**: *εἰς* **KE**: evan. in **U** 9 *ἢ ⟨παρὰ⟩* scripsi ex Etym.: *καὶ* codd. *τὸ συστρ.* **K**: *ἀντὶ τοῦ συστρ.* cett. 11 *ὡς* **K**: *καὶ* cett. 13 *ἡμαρτ.* **K**: *ἐξημαρτ.* cett. *ἐξενήνοχεν* **K**: *ἐξενήνεγκεν* **LEA**: *ἐξήνεγκεν* **UT** *ὥτερος* Call.: *ἕτερος* **K**: *οὕτερος* cett. *ἄλλον* suppl. Ahrens 14 *ἕτερος —πλειόνων* desunt in **LUEAT** *ἐκ δυοῖν* suppl. Casaubon 261, in **K** spatium est his verbis aptum 17 *ἡδέα* sine *τὴν γεῦσιν* **P**

39a. *οὔ γᾶν: οὐ μὰ γῆν. ὄμνυον κατὰ τῶν στοιχείων.* KLUEAT
καὶ Ὅμηρος (Ξ 272)· 'χειρὶ δὲ τῇ ἑτέρᾳ μὲν ἕλε χθόνα πουλυβότειραν.'

b. *κατ' ἐμὸν νόον: κατὰ τὴν ἡμετέραν δόξαν. Ὅμηρος (I 108)· 'οὔ τι καθ' ἡμέτερόν γε νόον.'*

c. *κατ' ἐμὸν νόον: κατ' ἐμὴν κρίσιν.* P

40a. *Σικελίδαν: Ἀσκληπιάδην φησὶ τὸν ἐπιγραμματογράφον. οὗτος γὰρ Σάμιος τὸ γένος.* KLUEA b. *Σικελίδας δ' ἐκαλεῖτο πατρωνυμικῶς· Σικέλου γὰρ υἱὸς ἦν οὕτω καλουμένου.* KLUEAT
c. *Ἀσκληπιάδην φησὶ τὸν Σάμιον τὸν ἐπιγράμματα γράψαντα, οὗ δοκεῖ ἀκουστὴς γεγονέναι.* LUEAT

d. *Σικελίδαν: ὥσπερ Σιμιχίδαν ἑαυτὸν καλεῖ ὁ Θεόκριτος πατρωνυμικῶς ὡς υἱὸν Σιμιχίδα καὶ τὸν Εὐμήδην Κρατίδαν υἱὸν ὄντα τοῦ Κρατίδα, οὕτω καὶ νῦν Σικελίδαν ὀνομάζει ὡς υἱὸν τοῦ Σικελίδα ⟨Ἀσκληπιάδην⟩ τὸν Σάμιον· οὗ δοκεῖ ἀκουστὴς γεγονέναι.* BPT

e. *νίκημι: Αἰολικῶς εἶπε· διὸ οὐ περισπαστέον. τὸ μι Αἰολικῶς· περιττὸν γὰρ πρόσκειται κατ' Αἰολεῖς. ἐκείνων γάρ ἐστι τὸ λέγειν τὸ †πρωῖ† καὶ τὸ †δείλης† . . . . . σθον . . τούτοις.* KU

f. *Φιλητᾶς Κῷος τὸ γένος, ὡς δέ τινες Ῥόδιος, υἱὸς Τηλέφου. ἐγένετο δὲ καὶ αὐτὸς ποιητής.* KU[m]

---

12 sch. 21 b 17 Rich. Meister *Die griech. Dialekte I 1882, 32 n. 1; 173 n. 2*

---

1 *οὐ μὰ γῆν* om. **LUEAT** 2 *ἑτέρῃ* Hom. *μὲν* om. **LUEAT** *πουλυβ.* cum Hom. **T**: *πολυβ.* cett. 4 *ἐμὴν δόξαν* **UK**[e] 7 *φησὶ* **K**: *φασὶ λέγειν* cett. *ἐπιγραμματ . . όρον* **L**, *γραμματοφόρον* **UEA** 9 *πατρωνυμικῶς* **KT**: *-όν* cett. 15 add. Call. 18 *περιττὸν—Αἰολεῖς* **K**: *πρόσκειται περιττόν* **U** *ἐκείνων* **U**: *ἐκεῖνον* **K** 19 *δείλης* **K**: *δεῖλε* **U**. postea in **K** septem fere litterae expediri neque possunt neque apographorum aetate potuerunt, in **U** sequuntur *τὸ προ* (?) . . . . . *ναι* (?) *τούτοις* reliquis item evanidis. Wilamowitz prop.: *τὸ πρωῖ πρώϊζε* (XVIII 9) *καὶ τὸ εὕδῃς εὕδησθα* coll. Joh. Gramm. Comp. dial. aeol. II 4 (Hoffmann *Die griech. Dial. II 1893, 213*) 22 *καὶ αὐτὸς π.* **K**: *π. ἄριστος* **U**

BPT g. οὐδὲ Φιλητᾶν: ὁ Φιλητᾶς Κῷος ἦν ἢ ὡς ἔνιοι Ῥόδιος ποιητής, υἱὸς Τηλέφου.

LUEAT 41 a. βάτραχος δὲ ποτ' ἀκρίδας: ἤγουν πρὸς τοὺς εἰρημένους σοφοὺς οὐδαμινός εἰμι, καὶ ὥσπερ βάτραχος ἐρίζει πρὸς τὰς ἀκρίδας οὐδέν, οὕτω κἀγὼ πρὸς αὐτούς.

KLUEAT b. βάτραχος: ὁ μὲν βάτραχος τραχύφωνός ἐστιν, ὅθεν καὶ ὠνόμασται βοάτραχός τις ὤν, ὁ τῇ βοῇ τραχύς· τῶν δὲ ἀκρίδων εἰσί τινες, αἳ συρίζουσιν ἐναρμόνιον.

BP c. βάτραχος δέ: τῶν μὲν βατράχων τραχεῖα ἡ φωνὴ ὡς ἀπὸ τῆς ἐτυμολογίας, τῶν δὲ τεττίγων ἐναρμόνιος.

P [42.] ἐπίταδες: ἐπιτετευγμένως ἢ ἐξεπίτηδες.

BPT 43. τάν τοι, ἔφα, κορύναν δωρήσομαι: τὸ ἔφα τοῦ Θεοκρίτου, ὁ δὲ λοιπὸς στίχος τοῦ Λυκίδου.

KLUEAT 44. πᾶν ἐπ' ἀληθείᾳ: ὅτι φιλαλήθης πέφυκας. τὸ δ' ἐκ Διός, ὅτι ἀψευδής ἐστιν ὁ Ζεύς. Ὅμηρος (*A* 526)· 'οὐ γὰρ ἐμὸν παλινάγρετον.'

45/46 a. ὥς μοι καὶ τέκτων: οἷον καυχώμενος καὶ ἐπαγγελλόμενος ποιεῖν οἶκον Ὠρομέδοντος ὑψηλότερον ὄρους κεφαλῆς, παντελῶς ἀδυνάτου τῆς πράξεως ὑπαρχούσης. ἢ Ὠρομέδοντα τὸν Πᾶνα συνθέτως, ὅ ἐστι βασιλέα τῶν ὀρῶν ἢ τοῦ οὐρανοῦ.

K b. ἢ τὸ Ὠρομέδων γράφεται Εὐρυμέδων, ἵν' ᾖ ὁ Περσεὺς παρὰ Ἀργείοις.

KLUEAT c. ὁ δὲ νοῦς· μισῶ καὶ τέκτονα, ὃς ἐρευνᾷ δόμον τελέσαι μέγεθος ἔχοντα τῆς τοῦ ὄρους κορυφῆς. ἢ ὄρος ἐν Κῷ ἀπὸ Ὠρομέδοντος τοῦ τῆς Κῶ βασιλεύσαντος. καὶ ὁ Διονύσιος

---

6 Et. M. 191, 57 (cf. Gen.) Et. Gud. 264, 3 De Stefani Et. Or. 34, 23 Or. Werf. 613, 8 Epim. (Cram. An. Ox. II 353, 21) 22 Et. M. 687, 36 (Euphorio) Apoll. Rhod. IV 1513 Hesych. Εὐρ.

---

1 *Φιλητής* libri 4 *ἐρίζει* Call.: *συρίζει* codd. 11 *ἐπιτετευγμένως* Ahrens: *ἐπιτεταμένως* cod.: *ἐπιτεταγμένως* vel *ἐπιτετηδευμένως* Duebner 20 *σύνθετον* K 22 ὁ Wilamowitz: ὡς cod. 23 *παρὼν* cod., correxi 26 *τῆς Κῶ* sine *τοῦ* K: *τοῦ τῆς Νάξου νήσου* cett.: *τοῦ τῆς Πύξας* vel *Φύξας* Schwartz *Nachr. d. Gött. Ges. d. Wiss., Phil.-hist. Kl. 1904, 299*

τὸν Πᾶνά φησι παρὰ τὸ μέδειν τῶν ὀρῶν, ἄλλοι δὲ τὸν οὐρανόν, ἄλλοι τὸν ἥλιον, ἄλλοι μοιχὸν Ἥρας εἶναι τοῦτον.

d. Ὠρομέδοντος: τοῦ ὄρους τοῦ ὑψηλοτάτου, τοῦ τῶν ὀρῶν μέδοντος τῷ ὕψει. ἢ Ὠρομέδοντά φησι τὸν Πᾶνα· ἀγροικικὸς γὰρ θεός. ὄρος δὲ αὐτοῦ, ὃ κατοικεῖ, τὸ τῆς Θετταλίας, ὡς προϊὼν (v. 103) οὗτος λέξει. LUEAT

e. δόμον Ὠρομέδοντος: Ὠρομέδοντα οἱ μὲν τὸν Πᾶνά φασιν ὡς τῶν ὀρέων μέδοντα κατ' ἔκτασιν τοῦ ō· οἱ δὲ τὸν ἥλιον ὡς βασιλεύοντα τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ. τὸ δὲ ἀληθές· Ὠρομέδων ἐστὶν ὄρος ἐν Κῷ ὑψηλότερον τῶν ἐν τῇ Κῷ ἑτέρων ὀρέων, κατ' ἔκτασιν καὶ τοῦτο τοῦ ō. ὁ δὲ νοῦς· μισῶ τέκτονας τοὺς καυχωμένους καὶ ποιεῖν ἐπαγγελλομένους οἶκον ἴσον τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὠρομέδοντος· τοῦτο γὰρ ἀδύνατον. GPT

f. ὅστις ἐρευνεῖ: φιλονεικεῖ. $U^{E}E^{E}GP$

[47.] ποτὶ [τὸν] Χῖον ἀοιδόν: τὸν Ὅμηρον. $K^{E}L^{E}U^{E}E^{E}GP$

[50.] ὄρη φίλε: ὄρα.

[52—56a.] ἀρχὴ τῆς ᾠδῆς. $L^{E}U^{E}E^{E}$

b. ἔσσεται Ἀγεάνακτι: ἑαυτὸν παρεισάγει Λυκίδας Μιτυληναίου τινὸς ἐρῶντα καὶ τοῦτο εὐχόμενον. ᾄδει οὖν ταῦτα εἰς τὸν Ἀγεάνακτα εὐχόμενος αὐτὸν ὑγιᾶ ἀπελθεῖν εἰς Μιτυλήνην, καὶ ὅταν δύνωσιν οἱ ἔριφοι καὶ καταφέρηται ὁ Ὠρίων εἰς τὸν ὠκεανὸν καὶ ὁ νότος πνέων ἐλαύνῃ τὰ κύματα, ἐὰν ἐμὲ τὸν Λυκίδαν τοῦ ἐρᾶν παύσῃ. KLUEAT

c. ἔσσεται Ἀγεάνακτι: τὸν Λυκίδαν ὁ Θεόκριτος εἰσάγει ἐρῶντα Μιτυληναίου παιδὸς Ἀγεάνακτος, ὅθεν καὶ εὔχεται, GPT

---

2 de Eurymedonte v. sch. ABT Ξ 295 (Euphorio) Eust. 987, 14

---

1 δὲ om. K τῶν οὐρανῶν K, τοῦ οὐρανοῦ Ahrens 2 τοῦ ἡλίου K ἄλλοι τὸν οἶνον L, ἄλλοι τοῦ οἴνου K add. post ἥλιον 5 ὃ Wilamowitz: ᾧ codd.: οὗ Heinsius 20 τούτῳ Reiske, τούτῳ ⟨εὔπλοιαν⟩ Geel. Ahrens verba ᾄδει—εὐχόμενος delenda ducit 22 καταφέρεται K 23 ἐλαύνῃ UE: ἐλαύνει cett.

ἵνα εὐπλοῇ, κἂν χειμῶνος νότος τὴν θάλασσαν διαταράττῃ καὶ τῶν ἐρίφων δυνόντων σφοδροὶ χειμῶνες γίνωνται.

KLUEAT d. *ἐς Μιτυλήναν*: *ἐπειδὴ Μιτυληναῖος ὢν μέλλει χωρίζεσθαι εἰς τὴν πατρίδα, φησίν, ὅτι αὐτῷ καλὸς πλοῦς ἔσται, κἂν χειμῶνος πλέῃ, ὥστε τοὺς μὲν ἐρίφους ἑσπέρας δύνειν καὶ τὸν Ὠρίωνα καταφέρεσθαι, τὸν δὲ νότον ταράσσειν τὸ πέλαγος. κατασταθήσεται δέ, φησίν, ὁ χειμών, καὶ εὐπλοήσει ὁ Ἀγεάναξ, ἂν αὐτὸν τοῦ ἔρωτος παύσῃ χαρισάμενος τῆς ὥρας.*

K e. *χῶταν*: *δυνόντων γὰρ τῶν δύο ἐρίφων ⟨ἑσπέρας⟩ σφοδροὶ κατὰ θάλασσαν γίνονται χειμῶνες.*

KLUEAT f. *ἐφ' ἑσπερίοις ἐρίφοις*: *ὅταν γοῦν, φησί, τῶν ἐρίφων ἑσπέρας δυνόντων τὸ πέλαγος νότος ταράσσῃ καὶ ὅταν ὁ Ὠρίων εἰς τὸν ὠκεανὸν καταφέρηται, χειμῶνες γίγνονται.*

U^{m}EAT g. *ἡνίκα τὸ ἄστρον οἱ ἔριφοι ⟨δύνει ἑσπέρας⟩, σφοδροὶ γίνονται χειμῶνες κατὰ θάλασσαν, καὶ ὅτε Ὠρίων δύνει. ἔριφοί εἰσιν ἀστέρες· ὅτε ἀνατέλλουσιν οὗτοι, ἀγριαίνεται ἡ θάλασσα.*

U^{g}E^{S}P h. *αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας ῥύσηται*: *τὸ αἴκεν ἀντὶ τοῦ ἵνα· ἵνα, φησί, τὸν Λυκίδαν ὀπτώμενον ὑπὸ τοῦ ἔρωτος καὶ καιόμενον ῥύσηται.*

KLUEAT 57 a. *χάλκυόνες*: *Ἀλκυὼν θυγάτηρ μὲν Αἰόλου καὶ Κανάκης, γυνὴ δὲ Κήϋκος. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος*

---

22 Serv., Prob., Brev. Expos., sch. Bern. ad Verg. Georg. I 399 Dionys. Ornith. II 7 cf. Wellmann 515 sq.

---

1 *χειμῶνι* GT 2 *γίνωνται* Gail: *γίνονται* codd. 3 *ὁ Ἀγεάναξ* post *ὢν* add. Call. 5 *κἂν—πλέῃ* T: *καὶ—πλέει* E: *καὶ—πλέοι* KLA: *εἰ κατὰ τὸν καιρὸν τοῦ χειμῶνος πλέοι* U 7 *κατασαλήσεται* L, *καταλαλήσαιτο* K *εὐπλοήσει* E: *-σοι* cett. 8 *ἔρωτος* scripsi coll. sch. 57 e: *ἐραστοῦ* codd.: *ἐρᾶν* Call. 10 supplevi 12 l. om. K *ὅταν—ἑσπερίου* (sic) *δυνόντων* K: *δυνόντων γὰρ τῶν δύο ἐρίφων ἑσπέρας* cett. 13 *ταράσσῃ* K: *-ει* cett. *καὶ* om. K 15 suppl. Ahrens 17 *ὅτε ἀνατέλλουσιν* U: *ὅταν ἀνατέλλουσιν* EA: *ὅταν ἀνατέλλωσιν* T 18 UE tantum: *ἵνα ὁ Ἀγεάναξ ὀπτούμενον κτλ. καιόμενον, ὀπτώμενον, ἔρωτος* etiam K^{S} 21 *μὲν Αἰόλου* Reiske: *μαιόλου* K: *μαινόλου* LUAT: *μενόλου* E *Κανώβης* codd., emend. Wilamowitz 22 *Μύνδιος* K: *Μύνδου* cett.

(*Περὶ ζῴων* fgm. 23 Wellmann *Herm. 26, 1891, 552*), *ὅτι αὕτη θεῶν λέλογχε* ⟨...⟩ *Νηρηΐδων* ⟨...⟩ *Λευκοθέαν, Παλαίμονα, Ἀφροδίτην.*

b. *ἀλκυόνες οὖν ἐκλήθησαν παρὰ τὸ ἐν ἁλὶ κύειν. Ἀντίγονός* (23 Keller *Rerum nat. script. gr. min. I 8*) *φησιν, ὅταν γηράσωσιν αἱ ἀλκυόνες, κηρύλους καλεῖσθαι. Ἀριστοτέλης* (Hist. an. VIII 3, 593 b 14) *δὲ διῄρησεν ἀλκυόνα καὶ κηρύλον καὶ κορώνην. οἱ δέ φασιν, ὅτι τὰ ἄρρενα τούτων κηρύλοι καλοῦνται· ὅπερ ἀληθές ἐστι. θρηνητικὸν δὲ τὸ ζῷον καὶ παρὰ τοῖς αἰγιαλοῖς νεοττεύει, καὶ τὸ κῦμα ἀφαιρεῖται αὐτοῦ τοὺς νεοττούς. ιδ΄ δέ φασιν ἡμέρας, ὅταν γεννᾷ, εὐδιάζειν, ἃς καλοῦσιν ἀλκυονίδας, ζ΄ πρὸ τῆς γεννήσεως καὶ ζ΄ μετὰ τὴν γέννησιν.*

c. *χ ἀ λ κ υ ό ν ε ς: Ἀντίγονός* (v. sch. b) *φησιν, ὅτι γηράσκουσαι αἱ ἀλκυόνες κηρύλοι γίνονται.* GPT *τὸ δὲ ζῷον βιοτεύει περὶ τὸν αἰγιαλόν, καὶ τὸ κῦμα ἀφαιρεῖται αὐτοῦ τοὺς νεοσσούς. ιδ΄ δὲ ἡμέρας φασὶ περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἀλκυονίδας. εἴρηται δὲ ἀλκυὼν παρὰ τὸ ἐν ἁλὶ κύειν.*

---

4 sch. Soph. Trach. 104 sch. Opp. Hal. I 425 Lex. Bachm. 69, 5 Et. M. 66, 29 (cf. Gen.) Et. Gud. 91, 8 De Stefani Et. Or. 13, 5 Eust. 776, 22 immo Antigonus haec refert: *τῶν δὲ ἀλκυόνων οἱ ἄρσενες κηρύλοι καλοῦνται. ὅταν οὖν ὑπὸ τοῦ γήρως ἀσθενήσωσιν καὶ μηκέτι δύνωνται πέτεσθαι, φέρουσιν αὐτοὺς αἱ θήλειαι ἐπὶ τῶν πτερῶν λαβοῦσαι.* ceterum cf. Hesych. Phot. κειρ. Suid. κηρ. sch. Lyc. 145, 33; 146, 23 Scheer sch. Ar. Av. 300 Eust. 776, 39 9 sch. Apoll. Rhod. I 1086: *τὸ γὰρ ὄρνεον θαλάσσιον καὶ ἐν τοῖς αἰγιαλοῖς βιοῦν. λέγεται δὲ καὶ ὁ Ζεὺς ἐφεξῆς πεντεκαίδεκα ἡμέρας ἢ ὡς τινες ιδ΄ εὐδινὰς ποιεῖν, ἵνα ἀποκυήσῃ παρὰ τοῖς αἰγιαλοῖς, αἱ ἀλκυονίδες ἡμέραι καλοῦνται, ἑπτὰ πρὸ τοῦ τόκου καὶ ἑπτὰ μετὰ τὸν τόκον.* sch. Lyc. 240, 14 Scheer Arist. Hist. an. V 8, 542 b 4 Aelian. Hist. an. IX 17 Plin. Hist. nat. X 90 Pseudo-Plat. Alcyon. 1. 2 cum sch. alii

---

2 haec mutila esse postquam Duebner vidit, Ahrens proposuit: *ὅτι αὕτη θεῶν λέλογχε* [*Νηρηΐδων*] ⟨*φιλίαν· λέγει δὲ*⟩ *Λευκοθέαν κτλ.* casus genetivos restitui iubet Wilamowitz. mihi plura intercidisse videntur 6 *κηρύλους καλεῖσθαι* K: *κηρύλοι καλοῦνται* cett. 8 *οἱ δέ—ἐστι* om. K 10 *νεοττεύει* K: *νεοττεῦον* cett. 11 *ὅταν γεννᾷ* K: *περὶ τὰς χειμερινὰς ἡμέρας* (*τροπὰς* Call.) cett.

KLUEAT d. *ἁλκυόνες*: *ὄρνιθες θαλάσσιαι, ὧν τικτουσῶν στρώννυται ἡ θάλασσα. λέγονται δὲ αἱ ἡμέραι ἐκεῖναι ἁλκυονίδες.*

e. *στορεσεῦντι*: *ἀντὶ τοῦ στορέσουσι καὶ στρώσουσι τὰ κύματα καὶ γαληναῖα ποιήσουσιν, ἐάν με τοῦ ἔρωτος ἐξέληται, τὸν Λυκίδαν.*

L 58a. *φυκία κινεῖ*: *φῦκός ἐστι τὸ λεγόμενον βρύον.*

L^{m}UEAT b. *φῦκός ἐστι τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκίον φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ γινομένην, παρὰ τὸ φύεσθαι. ἕτεροι δὲ φυκία φασὶ τὰ ἐν τοῖς αἰγιαλοῖς βρύα κοκκινοειδῆ.*

PT c. *ὃς ἔσχατα φυκία κινεῖ*: *τὸ φυκίον εἶδος βοτάνης ἐστί.*

KLUEAGPT 59. *γλαυκαῖς Νηρηΐσι*: *γλαυκὰς τὰς Νηρηΐδας φησὶ διὰ τὸ ἐν τῇ θαλάσσῃ διάγειν· οὐ γάρ εἰσι γλαυκαὶ τὸν χρῶτα.*

LUEAT 60a. *ἐφίλαθεν*: *τὸ ἐφίλαθεν Δωρικόν ἐστιν ὡς τὸ ἐκόσμηθεν.* [*Καλλίμαχος* (fgm. [332] Schneider, II 544) *δὲ*] *προπαροξυντέον.*

GPT b. *ἐφίλαθεν*: *ἐφιλήθησαν ἢ καὶ φιλοῦνται.*

LUEAT 62. *ὥρια*: *τῷ Ἀγεάνακτι ἀποπλέοντι εἰς Μιτυλήνην γένοιτο πάντα τὰ ὥρια, ἤγουν τὰ διὰ φροντίδος αὐτῷ. ἢ ὥρια*

---

6 Hesych. Suid. *φυκία* Lex. Bachm. 410, 4 7 Et. Gen. (Et. M. 801, 52): *φῦκος· τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκίον* (*-ίαν* AB) *φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ τῆς θαλάσσης γινομένην* (*γεν-* A), *παρὰ τὸ φύεσθαι· φυτὸν γάρ ἐστι θαλάσσιον.* Et. Or. 158, 20 Suid. *φῦκος*

---

1 *στρώννυται* K: *στορέννυται* cett. 2 *λέγονται* seqq. desunt in UEAT 3 *στορέσ. καὶ στρώσ.* scripsi: *στρώσ. καὶ στορέσ.* K: *καταστορέσουσι* LUA: *καταστορεύσουσι* E: *καταστορέουσι* T 4 *μὲν* pro *με* K 5 *ὁ Λυκίδας* K 10 *κικιννοειδῆ* Duebner 13 l. om. K 14 *εἰσι* GPT: *φησι* cett. *λευκαὶ* LUEA KLUEAT addunt in fine verba e scholio 57a ut puto falso repetita: *λέγει δὲ Λευκοθέαν Παλαίμονα Ἀφροδίτην* 15 *Αἰολικόν* T 16 quae in libris leguntur sana esse vix possunt. delevi nomen Callimachi, quod e scholio 70c (ubi LUEA id praetermiserunt) irrepsisse puto. *προπαροξυντέον* restitui pro *παροξύνει* librorum

πάντα γένοιτο ἀντὶ τοῦ φυλακτικὰ ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω.

[63 a.] ⟨τῆνο κατ' ἄμαρ:⟩ καθ' ὃ ῥύσεταί με δηλονότι $U^{E}E^{E}$ ὁ Ἀγεάναξ τῆς ἐρωτικῆς φλογός.

b. ἀνήτινον: εἶδός ἐστιν ἄνθους· ἀνητίνοις δ' ἐχρῶντο KLUEAT στεφάνοις, ὡς Ἀλκαῖος (fgm. 36 Bergk *Poet. lyr. gr. III*^{4} *162*) καὶ Σαπφώ (fgm. 46 Bergk *ib. 105*). τινὲς δὲ καὶ πᾶν ἄνθος ἄνηθον παρὰ τὸ ἄνω θέειν.

c. ἀνήτινον ἢ ῥοδόεντα: ἐχρῶντο γὰρ καὶ ἀνητίνοις GPT στεφάνοις.

[d.] ἄνηθον τὸ μάλαθρον η̄, ἄνισον δὲ τὸ γλυκάνισον ῑ. T

64 a. φυλάσσων: ἀντὶ τοῦ ἔχων. Ὅμηρος (ε 208)· 'ἐν- KLUEA θάδε μοι τόδε δῶμα φυλάσσεις.'

b. μὴ ἀποτίλλων τὰ ἐξ αὐτοῦ ἄνθη, ὃ δηλοῖ πεφυλαγμένῳ αὐτῷ χρώμενος.

65 a. τὸν Πτελεατικόν: Πτελέα τόπος ἐν Κῷ ἢ ἐν KLUEAGPT Ἀρκαδίᾳ. ἢ τὸν Θεσσαλικὸν οἶνον.

b. τὸν ὑγείας καὶ ῥώμης παρασκευαστικόν. ἢ τὸν ἐξ ἀναδενδράδων [δρόσον], παρόσον ταῖς παρακειμέναις πτελέαις ἐμπλέκονται. ἢ Ἐφέσιον· Πτελέα γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο. ἢ τόπος ἐν Κῷ ἢ ἐν Ἀρκαδίᾳ. Ὅμηρος (B 594)· 'Πτελεὸν καὶ Ἔλος.'

---

5 Athen. XV 674 d Galen. De simpl. med. temp. VI 45 (XI 832 Kuehn) Poll. VI 107 7 Et. M. 107, 13 (cf. Gen.) Et. Gud. 143, 12; 146, 10 De Stefani Orio Koes. 175, 23 Orio Werf. 611, 8 20 Steph. Byz. Ἔφεσος. Πτελέα

---

7 Σαμπφώ K, Σαμφώ L 8 ἄνηθον Heinsius: ἀνήτινον codd. θέειν K: τείνεσθαι ἢ ἵεσθαι cett. 12 Ὅμηρος om. LUEA ἐνθάδε Ahrens ex Homero: εἰ δέ K: ἀ δέ cett. 13 φυλάσσεις K: ἔχεις cett. Homerus: ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δῶμα φυλάσσοις 16 Πτελέα τόπος om. KLUEA 17 οἱ δὲ τὸν Θετταλικόν φασιν GP 18 ἢ τὸν voce δρόσον deleta Amstel.: ἢ τὴν codd. ἐξ ἀναδενδράδων Ziegler e sch. c: ἐξ ἀναδένδρων K: ἐν ἀναδενδράσι cett. 19 ἀναπλέκονται K 21 Κῷ scripsi: αὐτῷ K: αὐτῇ cett. Ὅμηρος seqq. desunt in GP Πτελεὸν καὶ Ἔλος Hom.: Πτελεὸν ἔλαιον K: Πτελέην ἔλεος LUEAT

LUEAGPT c. ἢ τὸν ἐξ ἀναδενδράδων, αἳ ταῖς πτελέαις ἐποχοῦνται. ἢ ἀπὸ τόπου· ἔστι δὲ ὁ τόπος μέσον Ἐφέσου καὶ Μιλήτου.

KL^{s}U^{s}E^{s}P 66. κύαμον: οὐ μάτην φησίν. ὁ γὰρ κύαμος διψοποιός, καὶ πόσεως χάριν φησίν.

KLUEAT 67a. χά στιβάς: ὑποστρώσομεν καὶ στιβάδα πήχεως.

KLUEAPT b. στιβάς: στρωμνὴ ἐπὶ τῆς γῆς ἐκ φύλλων πῆχυν ἔχουσα τὸ ὕψος.

KLUEA 68a. κνύζᾳ τε: τὴν κόνυζαν κνύζαν εἶπεν. ἔστι δὲ φυτὸν ψυκτικώτατον, ἔνθεν καὶ ἐν τοῖς Θεσμοφορίοις ὑποστρωννύουσι τὴν θερμότητα τὴν κατὰ τὰ ἀφροδίσια ἐκκόπτοντες.

GPT b. κνύζᾳ τε: τὴν κόνυζαν λέγει κνύζαν. ἔστι δὲ φυτὸν παῦον τὰ ἀφροδίσια.

K c. ἀσφόδελος φυτόν, παρ' Ὁμήρῳ λειμών.

KLUEAGPT d. ἀσφόδελος βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος. καὶ Ἡσίοδος (Op. et D. 41)· 'οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ.' ἀσφοδελὸς δὲ ὁ τόπος ὁ ἔχων ἀσφοδέλους· Ὅμηρος (λ 539)· 'βῆ δὲ κατ' ἀσφοδελὸν λειμῶνα.'

U^{s}E^{s}GPT e. πολυγνάπτῳ τε σελίνῳ: πολύγναπτον λέγεται, ὅτι οὖλόν ἐστιν, ὡς καὶ καμπάς τινας ἔχειν.

---

8 sch. IV 25 b Hesych. κνύζα sch. Nic. Ther. 70 15 sch. λ 539 Hesych. Suid. ἀσφ. Ioann. Philop. Περὶ τῶν διαφ. τον. 8, 20 Egenolff Ammon. De diff. adfin. verb. 26 Valckenaer Lex. Bachm. 157, 16 Et. M. 161, 12 Et. Or. 2, 4 Zon. 316 Eust. 906, 58; 1698, 21

---

2 Πτελέα γὰρ πρὶν ἐλέγετο ἡ Ἔφεσος e scholio b post τόπου inicit L. idem postea: ἔστι καὶ τόπος 3 P ceteris omissis: οὐ μάτην, ἀλλ' ἐπεὶ διψ. ὁ κύαμος, LUE tantum: διψ. ὁ κ. 5 ⟨μέχρι⟩ πήχ. Reiske 6 π. ἕνα ἐστοιβασμένη P, π. ἕνα ἔχουσα τὸ ὕψος T 10 ἐκκόπτον Geel 12 T post φυτὸν add. ψυκτικώτατον πάνυ καὶ 13 τὴν ἀφροδισίαν GP 14 ἀσφόδελον cod. 16 καὶ Ἡσίοδος cum verbis Hesiodi om. GP 17 εἰ δὲ ἀσφ. GPT ὁ priore loco om. K, utroque LUEA 18 Ὅμηρος cum verbis Homeri om. GP βιβᾶσα κατ' ἀ. λ. Hom. 19 UE ceteris omissis: οὖλφ. ἰστέον, ὅτι seqq.

69. μαλακῶς: ἡδέως, ὡς τὸ 'μαλακῷ δεδμημένος ὕπνῳ' K (Hom.).

70 a. αὐταῖσι κυλίκεσσιν: οὐ διαιρῶν εἰς μικρά, ἀλλ' ἐν αὐταῖς ἀπνευστὶ πίνων. KP

b. αὐταῖσι κυλίκεσσι: τουτέστιν ἡδέως πίνων καὶ ἀθρόως, οὐ διαιρῶν εἰς τὰ μικρότατα τῶν ἐκπωμάτων. KLUEAT

c. τρύγα δὲ τὸν νέον οἶνον. Καλλίμαχος (fgm. 530 Schneider, II 675)· 'ἐπὶ τρύγα δ' εἶχεν ἐδωδῇ.' KLUEA

d. ἐς τρύγα: νῦν τὸν οἰνόν φησιν, ὅθεν ὁ τρυγητός. KU[E]

e. καὶ ἐς τρύγα: τρὺξ κυρίως ὁ νέος οἶνος λέγεται, καταχρηστικῶς δὲ καὶ ὁ παλαιός. νῦν δὲ τὸν τρυγίαν λέγει. GPT

71 a. Ἀχαρνεύς: ἦγουν Ἀττικός· Ἀχάρναι γὰρ δῆμος Ἀττικῶν. KLUEAT

b. Ἀχαρνεύς: δῆμος Ἀττικῆς. P

72 a. Λυκωπίτας: Αἰτωλός· Λυκώπη γὰρ κώμη Αἰτωλίας. ἢ ἀπὸ δήμου· Λύκωπος γὰρ δῆμος Κῴων [Λυκωπίτας] ἐκ Λυκωπέως (v. 4) ἔχων τὴν κλῆσιν. KLUEAGT

b. Λυκωπίτας: ὁ ἀπὸ Λυκώπης. ἡ δὲ Λυκώπη πόλις Αἰτωλίας. GPT

c. ὁ δὲ Τίτυρος: ὄνομα αἰπόλου. τινὲς δὲ παρὰ Δωριεῦσι τοὺς Σατύρους ⟨οὕτως⟩ ἀποδεδώκασι λέγεσθαι. KLUEAT

d. Τίτυρος: ὄνομα κύριον ἢ ὁ Σάτυρος. P

73 a. ὦς ποκα τᾶς Ξενέας: ὄνομα κύριον. ⟨ἢ⟩ ὡς τὸ κενεᾶς· ἀπέδοσαν δὲ τῆς ἐκ Κρήτης ξένης. LUEAT

---

7 *Galeni Pergameni de Atticissantium studiis testimonia, coll. Guil. Herbst, 1911, 64 sq.* 20 sch. III 2 a—d cum loc. sim.

---

5 καὶ ἐς τρύγα pro l. K 6 ἀθρόως K: ἀναπνευστί cett. τὰ μικρότατα UEAT: τὸ μικρότατον K: τὴν σμικρότητα L 7 Καλλ. ἐπὶ om. LUEA 8 ἐδωδῇ Schneider: ἐδωδήν codd. 10 l. om. G 13 Ἀττικῶν K: Ἀττικῆς cett. 15 Αἰτωλός K: αἰπόλος cett. pro Λυκώπη—Αἰτωλίας sch. b insert T κώμη K: πόλις cett. 16 fort. Λυκώπεια Κῴων Wilamowitz: ἀποίκων KLUE corr. AT: Ἀττικῆς G: Ἀττικῶν E ante corr.: Αἰτωλῶν Geel Λυκωπίτας K: ἢ cett.: delevi adiungens hoc scholiolum praecedenti 17 ἔχων E: ἐχούσης cett. 21 suppl. Geel ἀποδεδωκότες K 23 suppl. Abrens

KLUEAT b. *γράφεται τᾶς ξανθᾶς.*

PT c. *Ξενία: μία τῶν Νυμφῶν ἡ Ξενία. ἢ Νύμφη ἡ ξενέα. ἢ ὄνομα κύριον.*

$L^{\varepsilon}U^{m}$ d. *Μοῦσα ἦν ἡ Ξενέα.*

$L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}GP^{\varepsilon}$ 74. ⟨*ἀμφεπονεῖτο:*⟩ *γράφεται ἀμφεπολεῖτο, ἤγουν ψηλαφῶσα τὸν Δάφνιν.*

K 75 a. *Ἰμέρα: γενικὴ πτῶσις. ἔστι δὲ ὄνομα ποταμοῦ Σικελίας καὶ πόλις ὁμώνυμος.*

$L^{\varepsilon}U^{m}E^{\varepsilon}$ b. ⟨*Ἰμέρα:*⟩ *ὄνομα πόλεως ἢ ποταμὸς Σικελίας.*

GPT c. *Ἰμέρα: πόλις Σικελίας καὶ πηγὴ καὶ ποταμὸς ἀπὸ τῆς πηγῆς ταύτης ἔχων τὴν ἀρχήν.*

$L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}$ 76/77 a. ⟨*κατετάκετο:*⟩ *καλῶς τὸ τήκειν· σημαίνει γὰρ τὸ κατὰ μικρὸν ὑποῤῥεῖν.*

KU^{m} b. *Αἶμος ὄρος Θρᾴκης ἀπὸ Αἵμου τοῦ Βορέου καὶ Ὠρειθυίας.*

KLUEAT c. *Ἄθως καὶ Ῥοδόπη ὀνόματα ὀρῶν.*

LUEAT d. *ἢ Ἄθω: Σοφοκλῆς* (fgm. 708 Nauck *Trag. gr. fgm.*[2] *299*)· *‘Ἄθως σκιάζει νῶτα Λημνίας ἁλός.’ ὠνόμασται δὲ ἀπό τινος γίγαντος Ἄθω, ὃς ἦν Ποσειδῶνος καὶ Ῥοδόπης τῆς Στρυμόνος. ἀπὸ τῆς μητρὸς γοῦν τῆς Θρᾴκης τὸ ὄρος, ἀπὸ δὲ τοῦ υἱοῦ τὸ Πελασγικὸν ἐπωνόμασται.*

GPT e. *Αἶμος καὶ Ῥοδόπη ὄρη Θρᾴκης.* ⟨*Ἄθως*⟩ *ὄρος Θετταλίας, ὃ διέκοψεν ὁ Ξέρξης.*

KP f. *Καύκασος ὄρος Σκυθίας.*

---

7 sch. V 123/24 d—f 14 Steph. Byz. *Αἶμος* 18 sch. Apoll. Rhod. I 601 19 Steph. Byz. *Ἄθως* sch. BT Ξ 229 23 Herod. VII 22

---

1 *Ξάνθας* Ahrens 5 *γρ. ἀμφ. ἤγ.* GP: *ἡ Ξενία* cett. *ἀμφεπολεῖτο* praestantes in verbis poetae 9 *ἢ ποτ. Σικ. καὶ πόλις ἐπώνυμος* U, cf. sch. a 16 *κύρια* pro *ὀρῶν* L *Θράκης* post *ὀρῶν* add. UEAT 18 *Λημνίας βοός* Et. M. 26, 16 cum reliquis versus huius testibus 19 *Ἄθω* scripsi: *Ἄθου* Call.: *Ἄνθου* T: *Ἄρχου* EA: *ἀρχαίου* U: *ἄρχοντος* L 20 *οὖν* T 21 *Πελασγικὸν* coll. Thuc. IV 109 al. Wilamowitz: *πέλαγος* codd. 22 add. Kiessling *ὄρος* seqq. om. T

g. ἐσχατόωντα: ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα. KPT

h. Καύκασον: Ἀετόν φασιν εἶναι ποταμόν, περὶ τοὺς KLUEAT τόπους τοῦ Καυκάσου λάβρως φερόμενον, τὴν χώραν Προμηθέως λυμαινόμενον, ὃν ἀπέστρεψεν Ἡρακλῆς· ἐξ οὗ, φασίν, ὁ μῦθος ⟨. . .⟩.

78/79 a. φασίν, ὅτι Θεόκριτος τὰ τοῦ Δάφνιδος εἰς τὸν KLUEAT Κομάταν ⟨μετήνεγκεν⟩. τοῦτον γὰρ ἡ μήτηρ ἐξέθηκε τὸν πατέρα Ἄνακτα εὐλαβουμένη, εἰδυῖα ὅτι οὐ πείσει ὑπὸ τοῦ Χρύσου διακορηθῆναι λέγουσα.

b. εὐρέα λάρναξ: Λύκος (fgm. 6 Mueller *Fgm. hist. gr. II 372*) φησὶ τῆς Θουρίας ὄρος Θάλαμον, ὑφ' ὃ ἄντρον τῶν Νυμφῶν· καλοῦσι δὲ αὐτὰς Ἀλουσίας οἱ ἐπιχώριοι ἀπὸ τοῦ

---

2 sch. Apoll. Rhod. II 1248: ὁ Προμηθεὺς ἐδέδετο ἐν τῷ Καυκάσῳ καὶ ὁ ἀετὸς τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Ἀγροίτας δὲ ἐν τῇ ιγ΄ τῶν Λιβυκῶν δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν, ἧπαρ δὲ παρὰ πολλοῖς τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμὸν τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. . . . καὶ Ἡρόδωρος ξένως περὶ τῶν δεσμῶν τοῦ Προμηθέως ταῦτα. εἶναι γὰρ αὐτὸν Σκυθῶν βασιλέα φησί, καὶ μὴ δυνάμενον παρέχειν τοῖς ὑπηκόοις τὰ ἐπιτήδεια διὰ τὸ τὸν καλούμενον Ἀετὸν ποταμὸν ἐπικλύζειν τὰ πεδία δεθῆναι ὑπὸ τῶν Σκυθῶν, ἐπιφανέντα δὲ Ἡρακλέα τὸν μὲν ποταμὸν ἀποστρέψαι εἰς τὴν θάλασσαν, καὶ διὰ τοῦτο μεμυθεῦσθαι ἀνῃρηκέναι τὸν ἀετὸν Ἡρακλέα, τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν. 7 Serv. auct. Verg. Buc. V 20 (v. ad I 82/85 e) 12 Athen. XII 519 c Aelian. Nat. an. X 38

---

1 τῆς γῆς om. PT 3 ὄρους post Καυκάσου add. LUEAT 4 ἡ Ἥρα pro Ἡρ. K 5 extrema excidisse sch. Apoll. docet. suppleas indidem haec fere: ⟨ἀνῃρηκέναι τὸν ἀετὸν Ἡρακλέα, τὸν δὲ Προμηθέα λῦσαι τῶν δεσμῶν⟩ 7 μετήνεγκεν ad exemplum scholii IV 34—36 a suppl. Schwartz *Nachr. d. Gött. Ges. d. Wiss., Phil.-hist. Kl. 1904, 295*: μετέθηκε Toup: ἐξέθηκε Call. 8 Ἄνακτα Schwartz: ἄν. codd. Χρύσου Usener *Rhein. Mus. N. F. 34, 1879, 434 n. 4*: χρυσοῦ codd.: Ἑρμοῦ Lennep *Comment. lat. III. class. Instituti Regii Belg. 2, 1820, 161* 9 διακορισθῆναι UA 10 Λύκος Toup: Λύκιος codd. 12 αὐτὰς Duebner: αὐτὸ codd. Λουσιάδας et Λουσίου Duebner e locis sim. viam monstrante Valckenario *ed. a. 1773, 9.* tradita defendit Schwartz

παραρρέοντος Ἀλουσίου ποταμοῦ. ἐν τούτῳ ποιμὴν ἐπιχώριος δεσπότου θρέμματα βόσκων ἔθυεν ἐπίσυχνα ταῖς Μούσαις. οὗ χάριν δυσχεράνας ὁ δεσπότης εἰς λάρνακα κατακλείσας ἀπέθετο αὐτόν. ἐν τούτῳ ἐδίσταξεν ὁ δεσπότης [βουλευόμενος], εἰ σώσειαν αὐτὸν αἱ θεαί. ἐξηκούσης δὲ διμήνου παραγενόμενος καὶ τὰ ζύγαστρα τῆς λάρνακος διανοίξας ζῶντα κατείληφε καὶ τὴν λάρνακα κηρίων πεπληρωμένην εὗρεν. ἄνακτα δέ φησι τὸν δεσπότην.

GPT c. ᾄσειῑ δ' ὥς ποκ' ἔδεκτο: τὶς αἰπόλος καλούμενος Κομάτας — ταὐτὸν δέ ἐστιν εἰπεῖν Μενάλκας — τοῦ οἰκείου δεσπότου θρέμματα βόσκων ἐν Σικελίᾳ ἐν τῷ ὄρει τῆς Θουρίας ἔθυε συχνάκις ταῖς Μούσαις. ὁ δὲ δεσπότης αὐτοῦ δυσχεράνας κατέκλεισεν αὐτὸν εἰς λάρνακα ξυλίνην πειράζων εἰ σώζουσιν αὐτὸν αἱ Μοῦσαι. δύο δὲ μηνῶν παρελθόντων παραγενόμενος καὶ ἀνοίξας ζῶντα μὲν αὐτὸν εὗρε, πλήρη δὲ τὴν λάρνακα κηρίων.

KLUEAT 80. αἱ σιμαὶ λειμωνόθε: οὕτω καλεῖν ἔθος τὰς μελίσσας. τὸ γοῦν πρὸς ὑποδοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος σίμβλον καλοῦμεν, ὅπου τὸν κάματον τῶν σιμῶν βάλλομεν, σιμοβόλον τινὰ ὄντα.

---

10 arg. I d 17 Serv. Verg. Buc. X 7: simae: graecum est nomen, id est pressis naribus . . . quod epitheton Theocritus dat praecipue apibus. Isid. Etym. XII 2, 30 18 sch. Hes. Theog. 594 sch. Apoll. Rhod. I 880; II 133 Hesych. Phot. Suid. *σίμβλοι* Lex. Bachm. 364, 21 Et. M. 713, 23 (cf. Gen.) Et. Gud. 500, 43 Sturz

---

2 pro *Μούσαις* prop. Mueller *Λουσίαις*, Schwartz *Ἀλουσίαις* obliti cum ab ipso poeta (v. 82. 92) tum ab interpretibus Musas et Nymphas permutari 4 *βουλευόμενος* glossema verbi *ἐδίσταξεν* sensu insolentiore adhibiti esse vidit Geel. *ἐν τούτῳ διδάξαι ὁ δεσπ. βουλόμενος* (sic UA) prop. Kiessling, cum Ahrens verba *ἐν—βουλ.* deleri iuberet 5 *ἐξηκούσης δὲ διμήνου* (*δίμηνα* cod., corr. Ziegler) K: *παραδραμόντος δὲ διμηναίου* (*-ιαίου* T) *χρόνου* cett. 11 *νέμων* T 14 *σώσειαν* T *παρελθόντων* G: *ἐλθόντων* PT: *διελθόντων* Reiske 19 *βάλλομεν* K: *βάλλουσι* cett. 20 *τινὰ ὄντα* K: *τι ὄν* cett.

81. *κέδρον ἐς ἀδεῖαν: τὴν κιβωτὸν ἀπὸ τῆς ὕλης.* P

82a. *χέε νέκταρ: αἱ Μοῦσαι γὰρ αὐτὸν ᾄδειν ἐποίησαν. δηλοῖ δὲ διὰ τοῦ νέκταρος ὑπερβολικῶς τὴν μελιχρότητα.* KLUEAT

b. *κατὰ συνεκδοχήν· ἀπὸ μιᾶς γὰρ τὰς πάσας δηλοῖ. διὰ δὲ τοῦ νέκταρος τὴν γλυκυφωνίαν ἐδήλωσεν.*

c. *ὅτι ᾗδε γλυκύ, δηλονότι μουσικὸς ἄριστος.* $L^{s}U^{s}E^{s}$

83. *Κομάτα: πέπλασται τὰ περὶ τοῦ Κομάτα ὑπὸ Θεοκρίτου· παρὰ ⟨γὰρ⟩ τοῖς ἀρχαίοις οὐ παραλαμβάνομεν ὑπὸ μελισσῶν τρεφόμενον τὸν Κομάταν, καθάπερ ὁ Δάφνις ἱστορεῖται. ⟨. . .⟩ 'οὐχὶ κεράσταν, ὅν ποτ' ἐθρέψατο ταυροπάτωρ'* (Fist. 3). KLUEAT

84. *κατεκλάσθης: ἡ κλεὶς παρὰ Δωριεῦσι κλὰξ λέγεται, ἀφ' οὗ τὸ κατεκλάσθης.* K

85a. *ὥριον: τινὲς τὸν ὅλον ἐνιαυτόν. δύναται δὲ καὶ οὕτως οὐ πάντως τὸ δωδεκάμηνον λέγειν, ἀλλὰ τὴν τῶν ὡρῶν μεταβολήν· διαιρεῖται γὰρ εἰς δ΄. τὸ γοῦν ἔαρ ὁ Θεόκριτος ὥριον εἶπεν,* KLUEAT

b. *τουτέστι τὸν τριμηνιαῖον καιρόν. διὰ γὰρ τριμηνιαίου καιροῦ πληροῦνται αἱ τέσσαρες ὧραι τοῦ χρόνου. ἢ εἰς ὥρας παρεγένου ἢ εἰς δύο μῆνας τοῦ ἔαρος.* LUEAT

[c.] *⟨ἐξεπόνασας:⟩ ἐπλήρωσας.* K^{s}

86. *αἴθε: εἴθε. Δωρικὸν τὸ αἴθε, Ἰακὸν δὲ τὸ εἴθε· εὐκτικὸν ἐπίρρημα. τὸ δὲ ἦμες ἀντὶ τοῦ εἶναι Δωρικῶς.* KLUEAPT

90. *ἐκ τοῦ ποιητοῦ ὁ λόγος.* K^{s}

---

21 Ahrens *De graec. linguae dial. II 185 n. 3* 22 *ib. 323*

---

1 *τὴν κιβωτόν* K^{s} 2 *γὰρ αὐτὸν ᾄδειν* K: *γὰρ αὐτὸν γλυκύτατον τραγῳδὸν* L: *τὸν αὐτὸν γλ. τρ.* cett. 3 *ὑπερβολικὴν* codd., corr. Wilamowitz 4 *συνεκδοχικῶς δὲ ἀπὸ μιᾶς πάσας* LUEAT 5 *τὴν γλυκυφωνίαν ἐδήλ.* K: *τὸ γλυκύφωνον* cett. 8 *παρὰ* om. LUEAT suppl. Wilamowitz *παραλαμβάνομεν* puncto post *Θεοκρίτου* posito Schwartz: *παραλαμβανόμενα* codd. Ahrens *ἐποίησε* post *τρεφόμενον* addiderat lac. indicavi, cum Fistulae verba non ad Daphnidem pertineant, sed ad Comatam 10 *ἐθρέψατο* T: *ἐφάψατο* cett. 15 *οὕτος* LT, *ἕτος* coni. Ahrens 16 *διαιρεῖται* K: *διαιρεῖ* cett. *γὰρ* scripsi: *γοῦν* codd.: *δὲ* Call. 21 *Δωρικὸν* PT: *Δωρικῶς δὲ* cett.

KLUEAT 92. *Νύμφαι κἠμέ: ἐν εἰρωνείᾳ ὡς πρὸς αἰπόλον· ἐχρῆν γὰρ εἰπεῖν αἱ Μοῦσαι. εἰ μή τις παρέργως τὰς Νύμφας ἀκούει Μούσας· οὕτως γὰρ αὐτὰς οἱ Λυδοὶ καλοῦσιν.*

PT 93 a. *ἐπὶ θρόνον ἄγαγε φάμα: ἐπὶ τὴν τοῦ Διὸς βασιλείαν· λέγει δὲ τὸν οὐρανόν.*

K^{E} b. *ἅτινα καὶ μέχρι τοῦ οὐρανοῦ ἔφθασαν.*

KLUEAT 94/95 a. *ὃ μέλλω λέγειν, φησί, παρὰ τὰ ἄλλα διενήνοχεν.*

b. *ᾧ τυ γεραίρεν: ᾧτινί σε τιμήσω· ἢ δι' οὗ, ἵν' ᾖ γενική.*

P c. *ὦ τύ [γεραίρεν]: ἀντὶ τοῦ ὦ φίλε σύ.*

KLUEAT 96/97 a. *ἐπέπταρον: καθὸ τῶν πταρμῶν οἱ μέν εἰσιν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. καὶ γάρ φησιν αὐτὸς σφόδρα Μυρτοῦς ἐρᾶν. ὁ δὲ Ὅμηρος ἐπ' ἀγαθῷ τὸν πταρμόν φησιν (ρ 545)· 'οὐχ ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρεν.'*

B b. *τὸ ἐπέπταρόν τινες μὲν λαμβάνουσιν ἐπὶ ἀγαθοῦ, τινὲς δὲ ἐπὶ κακοῦ.*

KLUEAPT c. *ἦ γάρ: περὶ ἑαυτοῦ ὁ ποιητὴς ᾄδων φησί· τῷ Σιμιχίδᾳ οἱ Ἔρωτες ἐπέπταρον. τῆς γὰρ Μυρτοῦς τοσοῦτον ἐρᾷ, ὅσον αἱ αἶγες κατὰ τὸν καιρὸν τοῦ ἔαρος. τὸν δὲ πταρμὸν ἐπὶ τῇ χείρονι μοίρᾳ.*

$L^{S}\bar{U}^{E}E^{S}$ [d.] *⟨ἐπέπταρον:⟩ ἐπῆλθον, ἐπὶ κακῷ ἔπεσον καὶ ἐγένοντο· ἢ ἐπὶ καλῷ.*

---

s Serv. Verg. Buc. VII 21 (Varro); X 9 Philarg. Verg. Buc. II 46; VII 21 sch. Bern. Verg. Buc. VII 21 Hesych. Phot. Suid. *νύμφαι* Steph. Byz. *Τόρρηβος*

---

s omisso *οὕτως* post *ἀκούει* interpungunt **LUEAT** 6 *ἦγουν οὐρανοῦ* $U^{S}E^{S}$ 7 *τὸ δὲ ἐκ πάντων ἀντὶ τοῦ* praem. **LUEAT** *φησί* omittentes 11 *οἱ μὲν ὠφελοῦσιν, οἱ δέ εἰσι βλαβ.* iidem 12 *καὶ γ. φησιν αὐτὸς—ἐρᾶν* **K**: *καὶ γ. αὐτὸς—ἐρᾷ* cett.: del. Ahrens 14 *ἔπταρεν* codd. Theocr. 17 *ἑαυτοῦ* **KP**: *αὐτοῦ* cett. *ᾄδει ὁ π.* **P** *τῷ* **K**: *τὸ* **P**: *ὁρᾷ τὸ* cett. 19 *κατὰ τὸν καιρὸν* prima manus add. in **K**, deest una cum *τοῦ* in cett. *τὸν δὲ* seqq. om. **P**

98—102 a. *Ἄρατος: ὁ δὲ φιλαίτατος τῷ Σιμιχίδᾳ* KLUEAQPT *Ἄρατος ἐρᾷ παιδός· ἐπίσταται δὲ αὐτοῦ τὸν ἔρωτα Ἄριστις, ὄνομα δὲ τοῦ παιδὸς Φιλῖνος.*

b. *οἶδεν Ἄριστις: οὗτος κιθαρῳδός. τοῦτον δέ, φησί,* KLUEAT *τὸν Ἄριστιν οὐδὲ ὁ Ἀπόλλων ἐν Πυθοῖ παρὰ τοῖς ἰδίοις τρίποσι κιθαρῳδοῦντα ἰδὼν ἀποστραφήσεται οὐδὲ φθονήσει αὐτῷ ᾄδειν ἐκεῖ.*

[c.] *⟨μεγαίροι:⟩ κωλύοι ἀποτρεπόμενος.* $L^{E}U^{E}E^{E}$

d. *οἶδεν Ἄριστις: τὰ περὶ Ἀρίστιδος διὰ μέσου κεῖ-* LUEAQPT *ται. τὸ δὲ ἑξῆς· οἶδεν Ἄριστις, ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.*

103 a. *τόν μοι Πάν: ἐπικαλεῖται τὸν Πᾶνα ⟨ὡς παιδε-* KLUEAT *ραστήν⟩, ἐπεὶ καὶ αὐτὸς τοιοῦτός ἐστιν. καὶ Καλλίμαχος* (fgm. 412 Schneider, II 585)· *'Πὰν ὁ Μαλειήτης τρύπανον αἰπολικόν.' Ὁμόλη δὲ Θετταλίας ὄρος, ὡς Ἔφορος* (fgm. 71 Mueller *Fgm. hist. gr. I 256*) *καὶ Ἀριστόδημος ὁ Θηβαῖος ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωΐων* (fgm. 2 Mueller *Fgm. hist. gr. III 309*) *καὶ Πίνδαρος ἐν τοῖς Ὑπορχήμασιν* (fgm. 113 Schroeder *Poet. lyr. gr.*^{5} *I 1, 432*).

---

15 Paus. IX 8, 6. 7 Steph. Byz. *Ὁμόλη* sch. Eur. Phoen. 1119 Phot. Suid. *Ὁμολώϊος* cf. Radtke *Herm. 36, 1901, 44*

---

1 *ὁ δὲ φιλ. τῷ Σιμ. Ἄρ.* **K**: *ὁ δὲ τοῦ Σιμιχίδου ἑταῖρος Ἄρ.* **LUE(A)**: *Ἄρ. δὲ τοῦ Σιμιχίδα φίλος ὢν (ἦν* **G***)* cett. 2 *ἤρα* **GPT** *ἤδει δὲ* **GP**, *ἤδει δὲ καὶ ἠπίστατο* **T** *ὁ κιθαρῳδός* post *Ἄριστις* add. **GPT** 3 *τῷ ἐρωμένῳ* **GP**, *τῷ ἐρωμένῳ παιδὶ* **T** 4 *Ὁμόλας* (sic)· *οἶδεν* (*εἶδεν* **L**) *ὁ ἀγαθὸς Ἄριστις. οὗτος δὲ κτλ.* **LUEA** 5 *Πυθοῖ* scripsi: *Πύθῳ* **K**: *Πυθῶνι* cett. 6 *ἰδὼν ἀποστραφήσεται* **K**: *βλέπων ἀποστρέφεται* cett. *φθονήσει αὐτῷ* **K**: *φθονεῖ αὐτὸν* cett. 8 *κωλύει* codd. 9 *εἶδεν* bis **L** *τὰ περὶ — κεῖται* desunt in **LUEA** 10 *τὰ δὲ ἑξῆς* **GPT** 11 *ὑπ' ὀστέον* seqq. om. iidem *αἴθετ'* Ahrens: *ἔθεγ'* **L**: *ἐθέλγετ'* **UEA** 12 addidi e sch. b 13 *καὶ Καλλ.* cum verbis poetae om. **K** 14 *ὁμαλιητης* vario accentu codd., recte divisit coll. Steph. Byz. s. *Αἴγιναν* Toup (II p. ult.) 17 *Ὁμολωΐων* Meurs *Graec. feriat. 1619, 218*: *Ὁμόλων* **K**: *Ὁμόρων* **U**: *Ὁμήρων* cett.

GPT b. *Ὁμόλου ἐρατὸν πέδον*: *ὁ Ὅμολος ὄρος ἐστὶ τῆς Θετταλίας, ἔνθα τιμᾶται ὁ Πάν. εὔχεται δὲ αὐτῷ ὡς παιδεραστῇ.*

LUEA 104. *ἄκλητον κείνοιο*: *ἤγουν καὶ πρὸ τοῦ καλεσθῆναι αὐτὸν παρ' ἐμοῦ ἐμβιβάσαις μου ταῖς χερσὶν αὐτόν, τὸν Φιλῖνον.*

KLUEAGPT 105. *ὁ μαλθακός*: *τρυφερός, ἁπαλός, ἐκ τῆς μάλθης. αὕτη γάρ ἐστι κηρὸς ἀμόργῃ συνηψημένος· χρίουσι δὲ αὐτῇ τὰς τῶν σανίδων γομφώσεις. ἀφ' οὗ διὰ τὴν ἔκλυσιν καὶ τὸ ἐν τῷ βίῳ λοιδόρημα λέγεται.*

106—108 a. *Ἀρκαδικοί*: *οἱ Ἀρκάδες ἐπὶ θήραν ἐξιόντες, ἂν μὲν εὐτυχήσωσι, τιμῶσι τὸν Πᾶνα, εἰ δὲ τὸ ἐναντίον, σκίλ-*

KLUEAT *λαις ἐμπαροινοῦσι,* b. *παρόσον ὄρειος ὢν τῆς θήρας ἐπιστατεῖ. Μουνάτιος δέ φησιν ἑορτὴν Ἀρκαδικὴν εἶναι, ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις βάλλουσι, [Χῖοι δὲ] ὅταν οἱ χορηγοὶ λεπτὸν ἱερεῖον θύσωσι καὶ μὴ ἱκανὸν ᾖ τοῖς ἐσθίουσι. διό φησι· κρέα τυτθὰ παρείη.*

$L^{E}U^{E}E^{E}P^{E}$ c. *⟨μαστίσδοιεν:⟩ ὑβρίζοιεν, ὅταν τύχωσι θήρας ὀλίγης.*

LUEAT d. *τῶν ἐφήβων [ἐν Σικελίᾳ] γίνεται ἀγὼν ἐν σκίλλαις· καὶ οἱ νικήσαντες ταῦρον τὸν ὑπὸ τῶν γυμνασιαρχῶν τιθέμενον λαμβάνουσιν ἔπαθλον.*

---

6 Hesych. Harp. Phot. Suid. *μάλθη* Bekk. An. 278, 23 Poll. X 58 Herodian. I 311, 30 Lentz Et. M. *574, 34

---

6 *συνηψημένος* T: *συνεψημένος* KGP: *συμμεμιγμένος* cett. *αὐτῇ* Call.: *αὐτῷ* (L)UEA: *αὐτὸ* K: *τῇ μάλθῃ* GPT 7 *ἤλων* pro *σανίδων* GPT *ἀφ' οὗ* seqq. in GP inter *συνεψημένος* et *χρίουσι*, in T utroque loco *ἔκλυσιν* KGPT¹: *ἐκλησίαν* cett. 8 *γίνεται* pro *λέγεται* GPT¹ 10 *εἰ μὲν εὐθηρίας ἔτυχον, ἐτίμων* GPT *μὴ* pro *τὸ ἐναντ.* GP *σκίλλαις ἐμπαροινοῦσι* KUEA: *σκίλλαισι παροινοῦσι* L: *σκίλλαις εἰς αὐτὸν παρώνουν* (*-οίνουν* T) cett. 11 *ὄρειος ὢν* Toup: *ὡρίων* codd. Toupii coniecturam cod. Barocciano 109 confirmari refert Gaisford 12 *Μουνάτιος* Ziegler: *Μούνατος* codd. 13 *παῖδες* Jacobs (p. XXXVIII): *παίονες* KUEAT: *παίοντες* L: *παίδων ⟨χοροὶ⟩* Buecheler *Rhein. Mus. N. F. 39, 1884, 276* verbis *Χῖοι δὲ* simul deletis K ante *ὅταν* add. *τοῦτον βάλλουσι σκίλλαις*, quibus verbis receptis *ἄλλοι* pro *Χῖοι* restitui vult Wilamowitz 14 *ἱκανῶς* et *κρέατα* K 17 del. Wilamowitz. fort. *ἐν Ἀρκαδίᾳ*

109/110 a. εἰ δ' ἄλλως: εἰ δὲ ἄλλως τελέσειας, ὦ Πάν, KQPT
τὰ κατὰ Φιλῖνον καὶ μὴ βούλει συνελθεῖν αὐτὸν τῷ Ἀράτῳ, ἐπὶ κνιδῶν κοιμηθείης.

b. τὸν Πᾶνά φασι γεννηθῆναι ἐκ τῆς Πηνελόπης συλλα- UEAT
βούσης ἐκ τῶν μνηστήρων· διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσι τὸν Ἑρμῆν εἰς τράγον μεταβληθέντα, καὶ τούτου ἐρασθεῖσα ἡ Πηνελόπη καὶ ἐξ αὐτοῦ ὀχευθεῖσα ἔτεκε τὸν Πᾶνα· ἔστι δὲ ὁ Πὰν τραγόπους.

[c.] Πηνελόπη γυνὴ γέγονεν Ὀδυσσέως. τούτου πλανω- L
μένου τὴν πλάνην, ἣν ἐπλανήθη μετὰ τὸν Τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μὲν μνηστευόμενοι τὴν Πηνελόπην, ἡ δὲ ἡμέρας καὶ ἡμέρας ἀνεβάλλετο μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ περιμένειν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν ⟨συμ-⟩φραξάμενοι συγγεγόνασιν αὐτῇ, καὶ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα. διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσιν, ὅτι πάνυ εὐμορφοτάτη καὶ σωφρονοῦσα ἡ Πηνελόπη, διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς καὶ μετεβλήθη εἰς τράγον. καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ, ἠράσθη τοῦ τράγου καὶ ὠχεύθη ὑπ' αὐτοῦ καὶ συνέλαβεν ἐξ αὐτοῦ καὶ ἔτεκε τὸν Πᾶνα. οὗτος δέ ἐστι Πὰν ὁ τραγόπους.

d. κνίδη ὑφ' ἡμῶν, ἀκαλήφη δὲ ὑπ' Ἀττικῶν. ἔστι δὲ KLUEAT
καὶ ἀγρία κνίδη, ἧς τὸν καρπὸν συλλέγουσιν, ὅταν τὸν πυρὸν ἁλοῶσιν. [ἔστι δὲ καὶ ἄγριον λάχανον.]

---

4 sch. I 3/4 c—f cum loc. sim. 9 Nonnus Abbas ad Greg. Naz. Orat. I contra Iulianum n. 40 *Migne, Patrol. graec. 36, 1008* 21 *Galeni Pergameni de Atticissantium studiis testimonia, coll. Guil. Herbst, 1911, 73 sq.*

---

2 εἰς ante τὰ add. K αὐτὸν om. K 4 συλλαβούσης Reiske: συλλαβοῦσαν T: συλλαμβάνων cett. 8 ὁ ante τραγ. addi vult Ahrens 11 μὲν μνηστευόμενοι scripsi: μεμνηστευόμενοι L: μνηστευσόμενοι Nonn. 12 ἡμέραν ἐξ ἡμέρας Nonn. 13 συμφραξάμενοι Ahrens: συμφρασάμενοι Nonn.: φραξάμενοι L 16 εὔμορφος καὶ σώφρων ἦν ἡ Π. καὶ διὰ Nonn. 18 αὐτὴν Nonn.: αὐτὸς L 19 συνέλαβεν Nonn.: -λαχεν L 21 δὲ ὑπ' Ἀττικῶν A: δι' ὑπατικῶν K: δὲ ἀπὸ Ἀττ. U: δὲ ὑπὸ τῶν Ἀττ. cett. 23 ἁλοῶσιν Ahrens: ἁλοῶσιν Reiske: ἁλῶσιν codd. delevi ut repetita e praecedentibus

111 a. *εἴης δ' Ἠδωνῶν: ἔθνος Θρᾴκης. οὕτως δὲ ψυχροτάτη ἐστὶν ἡ Θρᾴκη, ὡς τρόπον τινὰ ἐργαστήριον ἀνέμων κληθῆναι. Ὅμηρος (I 5)· 'Βορέης καὶ Ζέφυρος, τώ τε Θρῄκηθεν ἄητον'.*

GPT b. *εἴης δ' Ἠδωνῶν μέν: οἱ Ἠδωνοὶ ἔθνος Θρᾳκικόν, ἔνθα ψῦχος πολὺ γίνεται· δυσχείμερον γάρ ἐστι. παρὸ καὶ τοὺς ἀνέμους ἐν αὐτῷ κατοικεῖν ἐμυθεύοντο.*

KLUEA 112 a. *Ἕβρον: Ἀλκαῖός* (fgm. 109 Bergk *Poet. lyr. gr. III⁴ 183*) *φησιν, ὅτι Ἕβρος κάλλιστος ποταμός, Διοκλῆς* (ὁ *Πεπαρήθιος*? fgm. 5 Mueller *Fgm. hist. gr. III 79*) *δὲ καταφέρεσθαι αὐτὸν ἀπὸ Ῥοδόπης καὶ ἐξερεύγεσθαι κατὰ πόλιν Αἶνον.*

K [b.] *⟨τετραμμένος:⟩ γράφεται κεκλιμένος.*

KLUEAGPT¹·² 114 a. *Βλέμυες ἔθνος Αἰθιοπικὸν μελανόχρουν· οἱ αὐτοὶ δὲ τοῖς Τρωγλοδύταις.*

b. *οὐκέτι Νεῖλος ὁρατός: οὐ πάνυ ἐπαληθεύει ἀθέατον τὸν Νεῖλον εἰπών. ὑπὲρ γὰρ τοὺς Βλέμυας οὐκέτι γινώσκεται ὁ Νεῖλος πόθεν ἔχει τὰς πηγάς.*

KLUEAT c. *Νεῖλος ἀπὸ Νείλεω, ὃς ἔκτισε ⟨. . .⟩ Ναύκρατιν μετὰ μάχην· ἢ ἀπὸ τοῦ νάειν λείως, ὅ ἐστι ⟨μὴ⟩ κατὰ συστροφήν· ἢ παρόσον νέαν ἰλὺν φέρει· ἢ ὅτι κατ' ἔτος πλημμυρῶν ὡρισμένον χρόνον νεάζειν δοκεῖ.*

---

19 sch. XVII 98 Strab. XVII 801 Steph. Byz. *Ναύκρατις* Eust. Dion. Per. 222 21 Serv. Verg. Georg. IV 291: novum enim semper limum trahit, qui efficit fecunditatem; unde et Nilus dictus est quasi *νέαν ἰλύν* trahens. id. Aen. IX 30 Isid. Etym. XIII 21, 7 (e Servio) sch. Lyc. 60, 20 Scheer

---

2 *τρόπον* K: *τόπον* cett. 9 *φησιν ὅτι* om. K 14 *μελανόχαιτον* GP *οἱ αὐτοὶ* seqq. om. GPT¹ 16 *οὐ—εἰπών* desunt in GPT¹ 17 *ὑπὲρ γὰρ τ. Βλ. οὐκέτι* GPT¹: *ἢ τ. Βλ. οὐκέτι γὰρ* K: *ἢ τ. Βλ. οὐκέτι* LUEA: *καὶ τ. Βλ. οὐκέτι* T² 19 *Νείλεω* Ahrens e sch. XVII 98: *Νειλέως* K: *Νείλου* cett. *ἔκτισε Ναύκρατιν* Reiske: *ἔκτισεν Εὔκρατιν* codd. lac. indicavi, cum *Νείλεως* non Naucratim, sed Miletum condidisse dicatur *μετὰ μάχην* inter *ὃς* et *ἔκτισε* in LUEAT 20 *⟨μὴ⟩* add. Ahrens *συστροφὴν* vorticem significare monens

115—118 a. *ὕμμες δ' Ἠετίδος: ποιησάμενος τὸν λόγον πρὸς τὸν Πᾶνα ἀπέστρεψε πρὸς τοὺς Ἔρωτας ἐπικαλούμενος αὐτούς.*

b. *Ἠετὶς δὲ καὶ Βυβλὶς ὄρη καὶ κρῆναι Μιλήτου.* KL$^{1.2}$U$^{1.2}$E$^{1.2}$A$^{1.2}$ *Μιλήτου γάρ, φασίν, ⟨τοῦ Ἀπόλλωνος⟩ καὶ Ἀρείας ἐγένοντο παῖδες Καῦνος καὶ Βυβλίς,* c. *ἧς ἐρασθεὶς ὁ Καῦνος ἀπ-* KLUEAT *έλιπε Μίλητον. ἐκείνη δὲ μὴ φέρουσα ἀπήγξατο. ταύτης ἡ κρήνη ὁμώνυμος.*

d. *τὸ ἑξῆς· ὑμεῖς, ὦ μήλοισιν ἐρευθομένοις ὅμοιοι Ἔρωτες, Ἠετίδος καὶ Βυβλίδος νᾶμα λιπόντες καὶ τὰ ἑξῆς, ἐρασθῆναι ποιήσατε τὸν Φιλῖνον.*

e. *Οἰκεῦντα: ἐν Μιλήτῳ τόπος, ⟨ἔνθα⟩ ἱερὸν Ἀφρο-* K *δίτης.*

f. *ὕμμες δ' Ἠετίδος καὶ Βυβλίδος: πρὸς τοὺς Ἔρω-* GPT *τας τὸν λόγον ἀπέστρεψε καί φησι· ὦ μήλοις ὅμοιοι Ἔρωτες, τουτέστιν ἐρυθροί. Ἠετὶς δὲ καὶ Βυβλὶς κρῆναι Μιλήτου, ἔνθα καὶ ἱερὸν Ἀφροδίτης.*

[119.] *⟨ὁ δύσμορος:⟩ ὁ δυσμόρους ἄλλους ποιῶν.* L^{5}U^{5}E^{5}P^{5}

[120.] *πεπαλτερος ἀντὶ τοῦ ἀσθενέστερος, ἀπὸ μετα-* L^{m}U^{m}E^{5} *φορᾶς τῶν παρὰ τὸ δέον πεπανθέντων καρπῶν καὶ σηπομένων.*

122—124 a. *μηκέτι τοι φρουρέωμες: ἀπέστρεψε* KLUEAGPT *τὸν λόγον πρὸς τὸν Ἄρατον καί φησι· μηκέτι αὐτὸν φυλάσσωμεν ἐπὶ προθύρῳ τοὺς πόδας κατατρίβοντες.*

---

sch. Opp. Hal. I 620 Choer. Orth. (Cram. An. Ox. II 240, 27) Et. M. 602, 9 (cf. Gen.) Et. Gud. 350, 51; 404, 27. 31. 39 Sturz Et. Or. 108, 23

5 sch. Apoll. Rhod. I 185 sch. Dion. Per. 825 Steph. Byz. *Καῦνος* Apoll. Bibl. III 5 Parthen. Narr. am. 11 Conon. Narr. 2 Nonn. Dion. XIII 548 sqq.

---

2 *τὸν λόγον* iterum post *ἀπέστρ.* in **K** 5 suppl. Ahrens e locis sim. *καὶ Ἀρείας* et *παῖδες* om. **KL^{1}U^{1}E^{1}A^{1}** 6 prim. *Καῦνος* Brub. in marg.: *Δαῦνος* codd. sec. *Καῦνος* **LEA**: *Δαῦνος* cett. 9 *ὦ μάλ(λ)οισιν ἐρευθομένοισιν ὅμοιοι* verbis *ὑμεῖς* et *Ἔρωτες* omissis **LUEAT** 12 addidi e sch. f, *ἱερὸς* Ziegler 22 *ἀποστρέφει* **GPT** 24 *ἐπὶ τῶν προθύρων* **GPT**

b. *ἄλλον ἀλέκτωρ κοκκύσδων*: ὡς ἅμα ⟨τῷ⟩ τοὺς ἀλεκτρυόνας ᾄδειν παραγενόμενον καὶ φρουροῦντα τὸν Φιλῖνον.

LU^{E}E^{E}A c. *ὁ νοῦς τοιοῦτος· ἡμεῖς μὲν μέχρι καὶ τοιᾶσδε τῆς νυκτὸς φυλακῆς τοῖς αὐτοῦ προθύροις ἐπεμείναμεν· κατὰ δὲ τὸν ὄρθριον ἀλέκτορα καὶ ἄλλος ἐραστὴς τοῖσδε τοῖς προθύροις ἐπιμείνῃ.*

KLUEAT 125 a. *εἷς δ' ἀπὸ τᾶσδε: ἡμῶν, φησίν, εἷς καὶ μόνος Μόλ ων ἐπὶ ταύτης τῆς παλαίστρας ἀπολέσθω. λέγει δὲ ἢ τὴν παλαίστραν κυρίως, ἐν ᾗ ἐγυμνάζετο ὁ Φιλῖνος προσλιπαρούντων αὐτῶν, ἢ μεταφορικῶς ὡς καὶ ἡμεῖς φαμεν παλαίστραν τὴν ὀρθρίαν.*

b. *Μόλων — ὡς Σίμων — Ἀράτου ἀντεραστής. παλαίστραν δὲ λέγει τὸν ἔρωτα τοῦ παιδός, τὴν κακοπάθειαν.*

c. *δύναται δὲ καὶ μολὼν μετοχὴ εἶναι ἀντὶ τοῦ ἐπερχόμενος.*

d. *Μόλων: ἔξωθεν τοῦτο ἐπιφωνεῖ· εἷς δὲ ἀπὸ ταύτης τῆς παλαίστρας ἀπαγχέσθω. ὁ δὲ Μόλων ὀνομαστικῶς εἴρηται. τὴν δὲ προσκαρτέρησιν παλαίστραν εἶπεν.*

GPT e. *ἀλλ' εἷς ἐξ ἡμῶν, ὁ Μόλων — ἢ μολών — ἐπὶ ταύτης τῆς παλαίστρας τῇ φυλακῇ κακοπαθείτω. παλαίστραν δὲ εἶπε τὴν προσκαρτέρησιν, ἤτοι τὴν πρὸς τὸν ἔρωτα πάλην.*

G^{P} [f.] *ἄρχοιτο παλαίστρας: ἀντὶ τοῦ· ἐπιτηροῖτο τὴν παλαίστραν.*

---

1 *ἄλλον ἀλ. κοκκ.* **LEA**: *ἀλ.* **K**: *καὶ ὁ ἀλ. λυπεῖ ἡμᾶς* **GPT**: *ἄλλον ἀλ. κοκκ. λυπεῖ ὑμᾶς* **U** *ἅμα τῇ ᾠδῇ· τῶν ἀλεκτρυόνων* **GPT** suppl. Ahrens 2 *παραγενόμενον* Ahrens: *παραγενομένων* **KLUEA**: *ἐγειρομένων* cett. *φρουροῦντα* Ahrens: *φρουρούντων* codd. 4 *ἐπεμείναμεν* Ahrens: *ἐμείνομεν* codd. 6 *ἐπιμείνει* codd., corr. Gail 8 *ταύτης τῆς παλαίστρας* **T**: *ταύτην τὴν παλαίστραν* cett. *ἀπολέσθω* **K**: *ἀπαρχέσθω* cett. 10 *αὐτῶν*, ut Geel voluit, **K** ante corr.: *αὐτόν* **K** corr.: *αὐτῷ* cett. *ὁ. τὴν παλ.* codd., transposui 11 *ὀρθρίαν* (scil. *ὥραν*) **K**: *ὀρθίαν* cett. 12 *ἢ Σίμων* codd., corr. Wilamowitz *Herm. 40, 1905, 141* *Ἄρατος* **K** *ἀντεραστής* **K**: *-αί* cett. 14 *εἶναι* om. **K** *ἐπερχ.* **K**: *μετερχ.* cett. 16 *ἐπιφωνοῦσιν* codd., correxi 17 *ἀπαγχ.* **K**: *ἀπαρχ.* cett. 20 *παλαίστραν* scripsi: *πάλην* codd. 23 *ἀγάπης* in fine add. **G**

126. *γραία τε παρείη*: *παρὰ Δωριεῦσι ἡ μὲν πρώτη* LUEA *συλλαβὴ ὀξύνεται, ἡ δὲ δευτέρα μηκύνεται.*

127 a. *ἅτις ἐπιφθύζουσα*: *ἥτις ἐπῳδαῖς περὶ ἡμᾶς* KLUEAT *ἀποδιοπομπήσαιτο. φθύζειν δὲ τὸ πτύειν Δωρικῶς· εἰώθασι γὰρ αἱ γραῖαι, ὅταν ἐπᾴδωσιν, ἐπιπτύειν. τινὲς δέ· ὀλίγον χρόνον συμπαροῦσα· φθύδιον γὰρ τὸ ὀλιγοχρόνιον κατὰ γλῶσσαν.*

b. *ἥτις ἐπιφθύζουσα*: *ἐπιπτύουσα Δωρικῶς· εἰώθασι* GP *γὰρ αἱ γραῖαι, ὅταν ἐπᾴδωσιν, ἐπιπτύειν.*

128/129 a. *ὡς πάρος*: *ὡς πρότερον, φησίν, ἐπηγγελ-* KK^{E}L^{E}U^{E}E^{E} *λατο.* ⟨*ἐκ Μοισᾶν*:⟩ *διὰ τὴν μουσικήν.* ⟨*ξεινήϊον*:⟩ *δωρεάν.*

b. *λαγωβόλον, ἣν ἄνωθεν* (v. 43) *κορύνην εἶπε — 'τάν* K *τοι, ἔφα, κορύναν δωρήσομαι' — παρὰ τὸ βάλλειν τοὺς λαγωούς.*

c. *ἀδὺ γελάσας ὡς πάρος*: *ὡς καὶ πρὸ τούτου ἡδὺ* GPT *γελάσας. τὸ ἐκ Μουσῶν ἀντὶ τοῦ διὰ τὴν μουσικὴν ᾠδήν, ἣν ἦσα.* ⟨*ξεινήϊον*:⟩ *δῶρον.*

130/131 a. *Πύξας*: *οἱ μὲν τὸν ἐν Κῷ δῆμον· οἱ δὲ τόπον,* KUEAT *ἐν ᾧ ἱερὸν Ἀπόλλωνος, ἀφ' οὗ Πύξιος λέγεται.*

b. *τὴν ἐπὶ Πύξας φέρουσαν ὁδὸν ἐβάδιζεν.*

c. *Πύξα ὄνομα πόλεως, ἀφ' ἧς καὶ Φύξιος Ἀπόλλων* UEAT *καὶ Πάν.*

d. ⟨*Πύξα δῆμος τῆς Κῶ*⟩ *φύξα τις ὤν· ἐκεῖθεν γὰρ ἔφυγεν Ἡρακλῆς αἴφνης ἐπιθεμένων αὐτῷ τῶν Κῴων.*

---

6 Hesych. *φθύδιον* 12 sch. IV 49 c 20 Philostr. Heroic. X 4 22 Plut. Aet. gr. 58, 304 c—e Apoll. Bibl. II 137 sq.

---

3 *ἐπ' ἀοιδαῖς* **LUEAT** *περὶ ἡμᾶς* **K**: *τὰ καθ' ἡμῶν* cett. 5 *γὰρ* scripsi: *δὲ* codd. *ὀλίγον χρόνον* **K**: *ὀλίγω χρόνῳ* cett. 6 *φθύδιον* Ahrens ex Hesychio, cui Schmidt pro tradita voce *φθίδιον* reddidit: *ἀμφίβιον* codd. 9 *ὡς πρότερον φ. ἐπηγγείλατο* **K**: *ὡς πρώην ἐπηγγείλατο* **K^{E}**: *λείπει ἐπηγγέλλετο* cett. 10 lemmata inserui *ἔδωκεν* pro *δωρεάν* **K** 16 *δῶρον*, cui lemma peculiare dedi, in libris inter *διὰ* et *τὴν* legitur 18 *Φύξιος* Call. 19 *Πύξας* **K**: *-αν* cett. 20 *ἀφ' ἧς* **U**: *ἐξ οὗ* cett. *Πύξιος* **T** 22 suppl. Ahrens *γὰρ* om. **UEA**

GPT e. *τὰν ἐπὶ Πύξαν ἦρχ' ὁδόν: Πύξα δῆμος τῆς Κῶ ἢ τόπος οὕτως ὀνομαζόμενος* [ἢ] *παρὰ τὴν φύξιν τοῦ Ἡρακλέους τὴν ὑπὸ τῶν Κῴων γενομένην.*

KUEAT 133/134 a. *ἀδείας: ἔξωθεν δεῖ προσλαμβάνειν τὸ παραγενόμενοι. ἐπὶ στιβάδος κατεκλίθημεν ἀπὸ σχοίνου γεγενημένης καὶ ἀπὸ φύλλων ἀμπέλου.*

KUEAGPT b. *οἰναρέοισι: κυρίως τὰ φύλλα τῆς ἀμπέλου.*

KUEAT c. *Φανίας* (fgm. 37 Mueller *Fgm. hist. gr. II 301*) *δέ φησιν οἰναρίζειν τὸ περιαιρεῖν τῶν οἰνάρων καὶ τρυγᾶν· δεῖ γὰρ καὶ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες.*

K^{E} [137.] *⟨κελαρύζειν:⟩ τὸ μετὰ κελάδων τὴν ῥύσιν ποιεῖσθαι.*

KUEAT 138 a. *τοὶ δὲ ποτὶ σκιαραῖς: σκιὰν ποιούσαις, πολυφύλλοις. ὀροδαμνίδας δὲ παντὸς δένδρου τοὺς κλάδους λέγουσι. Μουνάτιος δὲ ἐτυμολογεῖ 'οἷον οἱ ἐν ὄρεσι θάμνοι'.* b. *αἰθαλίωνες δὲ οἱ αἰθαλώδεις διὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου.*

GP c. *τοὶ δὲ ποτὶ σκιαραῖς ὀροδαμνίσιν: παντὸς δένδρου κλάδοι ὀροδαμνίδες λέγονται.*

KUEAGPT d. *αἰθαλίωνες: τέττιγες παρὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου· καὶ γὰρ ὅταν ἐστὶ νότος καὶ καῦμα, τότε φθέγγονται.*

---

7 sch. Nic. Alex. 55 sch. Ar. Pac. 1147 Hesych. Phot. Suid. *οἴναρα* Tim. Lex. Plat. *οἴναρα* 12 sch. BT Φ 261

---

2 [ἢ] recte praeterm. Call. 5 *κατεκλίθημεν* Call.: *-ηαν* K: *-ησαν* AT: *-ησα* U: *-η* E *ἀπὸ* ante *σχοίνου* om. K 6 *ἀμπέλων* K 7 *κυρίως* om. GP 8 de auctoris nomine dubitat Wilamowitz, conicias *Ἀμερίας* 9 *οἰνάρων* Ahrens: *οἰναρέων* codd. inde a *καὶ τρυγᾶν* ipsius Phaniae verba agnosci vult Ahrens 16 *λέγουσι* K: *λέγει* cett. *Μουνάτιος* K: *Μούνατος* cett. *ἐτυμολογῶν* K 17 *οἱ αἰθαλώδεις* om. K 22 *ἡλίου* K: *καύματος* cett. *καὶ γὰρ* seqq. om. GP *καὶ—τότε* K: *ὅταν γὰρ νότος ἐστίν, μᾶλλον* cett.

139 a. *ὀλολυγών*: *ἀπὸ τοῦ ὀλολύξειν. ὁ γὰρ Ἀριστο-* KUEAT
τέλης φησίν, ὅτι πάνυ ὀλολύζει τὸ ζῷον, μάλιστα ἐν τοῖς ἑλώδεσι τόποις καὶ κατὰ νύκτα. b. [*λαλαγεῦντες*:] *πολλὰ τῶν ζῴων ἀπὸ φωνῆς τὴν κλῆσιν ἔσχηκεν· ὀλολύζω ὀλολυγών,* [*στάζω σταγών,*] *ἀείδω ἀηδών,* [*πλάσσω πλαγγών,*] *τρύζω τρυγών, κοκκύζω κόκκυξ καὶ τὰ τοιαῦτα.*

c. *ἃ δ' ὀλολυγών*: *ὀλολυγὼν εἶδος ὀρνέου. οἱ δὲ ζῷόν* QPT
τι ἐν βορβορώδεσι τόποις μάλιστα διάγον. ἢ ἡ ἀηδών.

141 a. *τὸ δὲ ἀκανθίδες ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν.* KUEA
τούτων τὸ αἷμα καὶ τὸ τῶν αἰγιθάλλων μὴ μίσγεσθαί φασιν, ἀλλὰ ταῦτα διαφωνεῖν.

---

1 Serv. Verg. Buc. VIII 55: ululae aves *ἀπὸ τοῦ ὀλολύζειν*, id est a fletu, nominatae. Eust. 643, 32 2 immo Arist. Hist. an. IV 9, 536 a 11: *καὶ τὴν ὀλολυγόνα τὴν γιγνομένην ἐν τῷ ὕδατι οἱ βάτραχοι οἱ ἄρρενες ποιοῦσιν, ὅταν ἀνακαλῶνται τὰς θηλείας πρὸς τὴν ὀχείαν.* Aelian. Nat. an. IX 13 (cf. VI 19) Plut. De sollert. an. 34, 982 e Plin. Hist. nat. XI 172 sq. Hesych. *ὀλ.* sch. Arat. 517, 27 Maass 3 Herodiano dat Egenolff *Philol. 61, 1902, 101* 9 Serv. Verg. Georg. III 338: acalanthis, quam alii lusciniam esse volunt, alii vero carduelim, quae spinis et carduis pascitur, ut inde etiam apud Graecos *ἀκανθὶς* dicta sit ab acanthis id est spinis, quibus pascitur. Isid. Etym. XII 7, 74 (e Servio) Et. M. 45, 9 (cf. Gen., ex Oro) Arist. Hist. an. VIII 3, 593 a 1: *ταῦτα γὰρ πάντα ἐπὶ τῶν ἀκανθῶν νέμεται.* ib. IX 1, 610 a 5: *πολέμιοι — καὶ ἄνθος καὶ ἀκανθὶς καὶ αἴγιθος· λέγεται δ' ὅτι αἰγίθου καὶ ἄνθου αἷμα οὐ συμμίγνυται ἀλλήλοις* (diversa est scholiastae sententia!). Aelian. Nat. an. X 32 Antig. Car. 106 Plin. Hist. nat. X 205 Plut. De inv. et odio 4, 537 b. c

---

1 *Ἀριστοφάνης* K 2 *ὅτι* et *μάλιστα* om. UEAT 3 *λαλαγ.* K: *ἔχον πόνον* cett. delendum esse vidit Adert 4 *τὴν κλῆσιν ἔσχηκεν* K: *ἔχει τὴν χρῆσιν* (*κλῆσιν* Call.) cett. 5 exempla inepta Duebner eiecit *πλάσσω* Call.: *πλήσσω* codd. verba *τρύζω τρυγών* post *σταγών* sunt in UEAT 6 *καὶ τὰ τοιαῦτα* sumpsi e scholio 141 a 9 *τὰ δὲ* K post *ἀκανθίδες* codd. exhibent verba *καὶ τὰ τοιαῦτα*, quae scholio 139 b adieci. *κατὰ τὸν αὐτὸν* scil. Aristotelem coni. Ahrens 10 *τὸ αἷμα* Ahrens: *αἱ μὲν* K: *τὰ μὲν* cett. *μίσγεσθαι* K: *γάγεσθαι* EA: *γάγεσθαι* cum *μι* superscr. U 11 *διαφωνεῖν* Ahrens *καὶ* ante *ταῦτα* addens: *ἄφωνα* codd.

KUEAT b. *ἀκανθίς*: *τὸ ὄρνεον τοῦτο ποικίλον καὶ λιγυρόν. καλεῖται δὲ καὶ ποικιλὶς διὰ τὴν χροιάν.* Ἀριστοτέλης (v. locos ad sch. a cit.) *δὲ καὶ Ἀλέξανδρός* (*Περὶ ζῴων* fgm. 22 Wellmann *Herm. 26, 1891, 552*) *φασι διατρίβειν ἐπ' ἀκανθῶν. τοῦτο γοῦν Θεόκριτος ἀκανθίδα εἶπε.*

BPT c. *καὶ ἀκανθίδες*: *αἱ ἀκανθίδες ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν. λέγονται δὲ καὶ ἀκανθυλλίδες. εἰσὶ δὲ ποικίλαι τὴν χροιάν, ὅθεν λέγονται καὶ ποικιλίδες. φησὶ δὲ Ἀριστοτέλης* (v. locos ad sch. a cit.) *αἷμα αἰγίθου καὶ ἀκανθίδος μὴ μίγνυσθαι.*

KUEAT 143 a. *θέρεος μάλα πίονος*: *μεγάλως λιπαροῦ ἢ λαμπροῦ.* ⟨*ὥσδεν*:⟩ *μεταφορικὸν τὸ ῥῆμα ἀπὸ τῶν εἰς αἴσθησιν πιπτόντων ὀσφραντικήν.*

UEAT b. *πίονα εἶπε τὸν καιρὸν τοῦ θέρους διὰ τὸ ἐν αὐτῷ συλλέγεσθαι τοὺς καρπούς.*

144. *παρὰ πλευρῇσι δὲ μῆλα*: *καλῶς ἔφη τὰ μῆλα ταῖς πλευραῖς περικρεμάννυσθαι. τὸ γὰρ μῆλον τῆς Ἀφροδίτης καὶ τὸ ἐπιθυμητικὸν περὶ τὰ σπλάγχνα εἶναι* ⟨*δοκεῖ*⟩, *τὰ δὲ σπλάγχνα παρὰ ταῖς πλευραῖς.*

K 146 a. *βράβιλα τὰ κοκκύμηλα, ἤτοι Δαμασκηνά.*

UEA b. ⟨*βραβίλοισι*⟩ *καταβρίθοντες*: *κοκκυμήλοις, ἤγουν Δαμασκηνοῖς.*

KUEA 147 a. *ἑπτάενες*: *οἱ Ἀττικοὶ τὸ ἔτος ἕνος λέγουσιν, ἄλειφαρ δὲ τὴν ἀλοιφήν.*

UE^{s} [b.] *ἄλειφαρ*: *ἤτοι ὁ ἐλαιώδης οἶνος.*

---

20 *Galeni Pergameni de Atticissantium studiis testimonia, coll. Guil. Herbst, 1911, 42 sq.* 23 Et. M. 177, 53 (cf. Gen.) al. Et. Gud. 95, 54 Sturz al. Lex. *Αἰμ.* 623, 47 Et. Or. 69, 20 al.

---

1 *τοῦτο ποικ.* K: *ποικ. ἐστὶ* UEA(T) 7 *ποικίλοι* PT 11 *μεγάλως* Ahrens: *μεγάλου* codd. *ἢ λαμπροῦ* praeterm. Amstel. 12 suppl. Ahrens *τὸ* UEAT: *δὲ* K 13 *ὀσφραντικῶν* codd., correxi 18 cum *εἶναι* neograecum in his scholiis ferri non possit, ⟨*δοκεῖ*⟩ add. Ahrens, *ἐστὶ* prop. Reiske 21 suppl. Ahrens 23 *οἱ Ἀττικοὶ* UEA: *Ἀττικὸν* K 25 *ἄλ.* om. U: *ἄλ. δὲ εἶπον ὡσανεὶ ἐλαιώδη οἶνον* E

c. *τετράενες δὲ πίθων*: *τετραετές· παρὰ Ἀττικοῖς τὸ ἔτος ἕνος.* E⁵GPT

148 a. *θαυμάσας τὴν πόσιν τοῦ οἴνου ἔστρεψε τὸν λόγον πρὸς τὰς Νύμφας καὶ πυνθάνεται αὐτῶν, εἰ αὐταὶ τὴν κρᾶσιν τοῦ οἴνου ἔχουσι.* KUEAT

b. *Νύμφαι Κασταλίδες*: *ἀπὸ Κασταλίας τῆς ἐν Δελφοῖς κρήνης, ἔνθα καὶ διατρίβουσι.*

149/150 a. *Φόλω κατὰ λάϊνον ἄντρον*: *οἱ μὲν τὸ Πήλιον, οἱ δὲ τὴν ἐν Ἀρκαδίᾳ Φολόην· ἐν ἀμφοτέροις γὰρ ᾤκησε Χειρων καὶ Φόλος, ὑφ' ὧν ξενισθέντα τὸν Ἡρακλέα φασὶ πολλά.* ⟨...⟩ *ὁ μέντοι οἶνος ὁ ἀοίδιμος ἐκεῖνος ὁ δοθεὶς ὑπὸ Διονύσου χαριστήριον, ἀνθ' ὧν αὐτῷ Νάξον προσένειμεν ὁ Φόλος κρινομένῳ παρ' αὐτῷ πρὸς τὸν Ἥφαιστον.*

b. *Φόλω*: *Φόλου· οἱ γὰρ Δωριεῖς τὴν ου εἰς ω τρέπουσι. ποιεῖ δὲ τὸν Χείρωνα συνυποδεχόμενον τῷ Φόλῳ τὸν Ἡρακλέα.*

c. *ἆρά γέ πᾳ τοιόνδε Φόλω*: *Φόλος ὄνομα Κενταύρου, ᾧ ἐπιξενωθεὶς ὁ Ἡρακλῆς οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα. συνῆν δὲ αὐτῷ καὶ Χείρων.* L^m U^s E^s AGPT

151/152 a. *Ἄναπος ποταμὸς ἐν Συρακούσαις· τὸν πρὸς τῷ Ἀνάπῳ ὄντα.* K

b. *τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ*: *Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας, οἱονεὶ ὁ ἄνευ πόσεως ὢν καὶ ἀβληχρὸν ἔχων ὕδωρ.* U^s E^s PT c. *ποιμένα δὲ [καὶ] Πολύφημον τὸν Κύκλωπα λέγει, ὃς ἀντὶ λίθων ὄρη ἔβαλλεν ἢ τοὺς ἐν τοῖς ὄρεσι λίθους.* E^s PT

---

1 Greg. Cor. Dial. dor. 90: *τὸ τετραετὲς τετράενες λέγουσι* (sequitur versus Theocriti). 8 Apoll. Bibl. II 83 sch. Lyc. 222, 11 Scheer 21 sch. I 68 c

---

1 *τετραετές* Call.: *τετράενες* GPT: *τετράχρονον* E 2 *ἔτος ἕνος* E: *ἓν ἔτος* cett. *ἐπεὶ αὗται* codd., corr. Wilamowitz 8 *κατὰ λάϊνον ἄντρον* om. K 9 *ἐν Ἀρκαδίᾳ* K: *Ἀρκαδίαν* cett. 11 lac. ind. Wilamowitz *ὁ ἀοίδ.* om. UEAT 13 *κρινομένῳ* Duebner: *κρινόμενος* codd. *παρ' αὐτῷ* Kiessling: *παρ' αὐτῶν* K: *παρ' αὐτὸν* cett.: *περὶ αὐτῆς* Duebnero placuit *εἰς* K 23 *καὶ* delevi, *τὸν Πολ.* Call. 24 *τοὺς—λίθους* scripsi: *τοῖς—λίθοις* codd.

KUEAT d. λᾶας ἔβαλλε: τοὺς ἐν τοῖς ὄρεσι λίθους, ὡς Δημήτριός φησι τοὺς πεπτωκότας οὐκ οἶδ' ὅπη †φιλότης†.

$L^{m}U^{m}E^{s}$ e. ⟨ὄρεσι λᾶας ἔβαλλε:⟩ ἀντιπτωτικῶς· τοὺς λᾶας τῶν ὀρῶν ἔβαλλε λιθάζων τὸν Ὀδυσσέα.

KUEAT 153 a. τοῖον νέκταρ: διὰ τὴν ἡδονὴν τὸν οἶνον εἶπε τοῦ Ὀδυσσέως.

UEAT b. τὸ δὲ χορεῦσαι: ἐξ Εὐριπίδου μετήνεγκε τὸ χορεῦσαι τὸν Κύκλωπα.

KUEAT 154 a. διεκρανώσατε: κατ' ἀντίφρασιν ἀντὶ τοῦ ἐκερράσατε, μᾶλλον ἐμεθύσατε.

b. διεκρανώσατε: ἀποκαλυφθῆναι ἐποιήσατε.

UEAT c. ῾ὦξαν καὶ θύρας, ἀπὸ δὲ κρήδεμνον ἔλυσαν᾽ καθ᾽ Ὅμηρον (γ 392).

E^{s}BP d. διεκρανάσατε: διεπληρώσατε, διετελειώσατε ἢ διεκεράσατε.

$L^{m}U^{s}E^{s}$ 155/156 a. ⟨Δάματρος ἀλῳάδος:⟩ τῆς τὰς ἀλωὰς ποιούσης· λέγεται δὲ καὶ ἀλωΐς.

BPT b. πὰρ Δάματρος ἀλωΐδος: ἡ Δημήτηρ παρὰ τὴν ἅλωνα ἀλωΐς λέγεται.

---

9 Et. Gen. (Et. M. 273, 38): διεκρανώσατε· διεκαρανώσατε (διεκραν. B; in libris legitur post κάρα, unde huc traxi, cum Ahrens post διακαρανῶ transposuisset)· σημαίνει τὸ ἀνεῴξατε. παρὰ τὸ κάρα καρανῶ (κρανῶ B) καὶ διακαρανῶ (διακρανῶ AB)· δοκεῖ γὰρ τῶν πίθων ἡ (ἡ τῶν πίθων B) καλυφὴ (cod. Voss., cf. περικαλυφή Plat. Leg. XII 942 d; ἁλοιφή AB) κάρα εἶναι. οὕτως Ἀμάραντος ὑπομνηματίζων τὸ εἰδύλλιον Θεοκρίτου, οὗ ἡ ἐπιγραφὴ Λυκίδας ἢ Θαλύσια.

---

1 ὡς om. **UEAT** fort. Δ. φησι τοὺς πεπτωκότας οὐκ οἶδ' ὅπη ⟨λίθους Πολυ⟩φή⟨μου⟩ βολάς. Demetrii Phalerei esse videtur, sed vereor, ut Kiessling recte haec verba rettulerit ad locum De elocut. 115 7 Cycl. v. 156 *Silenus* saltasse dicitur, sed conferas v. 503 sqq. 9 κατὰ περίφρασιν—διεκεράσατε **T** 11 ἀνακαλυφθῆναι Ahrens 12 δὲ pro καὶ Call. Hom.: ὦιξεν ταμίη καὶ ἀπὸ κρήδεμνον ἔλυσεν 14 ἢ διεκερ. **E**: ἢ ἐκερ. **P**: om. **G** 15 κατὰ μετάθεσιν in fine add. **E**

c. ἃς ἐπὶ σωρῷ: ὅταν δὲ λικμῶντες σωρεύωσι τὸν πυ- KUEAT
ρόν, κατὰ μέσον πηγνύουσι τὸ πτύον. Καλ⟨λίμαχος⟩· 'τὴν θρινάκην κατέθεντο'. τὴν δὲ αἰτίαν εἶπεν ἐκ Τριπτολέμου.

d. πάξαιμι μέγα πτύον: εἰώθεισαν γάρ, ὅτε ἐξέτριψαν E^{E}GPT
τοὺς καρπούς, σωροὺς ποιήσαντες πτύον πήσσειν.

e. ἡ δὲ γελάσαι, ἤγουν ἡ Δημήτηρ. K

f. ἃ δὲ γελάσσαι: γελάσειεν, ἱλαρὰ γένοιτο. $L^{m}U^{E}E^{E}$PT

157 a. δράγματα: τὴν Δήμητράν φησι μὴ μόνον KUEAT
ἀστάχυς, ἀλλὰ καὶ μήκωνας ἔχειν. διὰ τοῦ ἐν ἀμφοτέραις
χερσὶ τὸ δαψιλὲς ἐμφαίνει.

b. δράγματα: τὰ τῶν χειρῶν πληρώματα. K

c. μήκωνας: τοὺς σωρούς φησιν ἢ τοὺς θημῶνας. E^{E}GPT

d. λέγεται καὶ μήκων ἡ κωδία. G

e. ἀμφοτέραισιν: λείπει τὸ χερσίν· μὴ γὰρ τῇ μιᾷ KL^{E}U^{E}E^{E}
χειρί.

---

11 sch. B Σ 552 Et. M. 285, 51 (cf. Gen.) sch. X 44 a. b cum loc. sim. 12 Hesych. μύκων· σωρός, θημών. Greg. Cor. Dial. dor. 168: τοὺς σωροὺς τῶν ἀχύρων μύχωνας λέγουσι.

---

1 λικμῶντες Ahrens: λικμῶνται καὶ codd. (in K aberravit καὶ inter πυρόν et κατὰ) σωρεύει K 2 Καλλίμαχος Buecheler *Rhein. Mus. N. F. 39, 1884, 276* restituit, cum Callimachi Aetiis novum hemistichium adderet: καὶ codd. 3 θρίνακα ἦν Buecheler 4 εἰώθασι EG ὅτε T: ὅταν cett. 7 γελάσειεν, quod L om., in codd. finem facit 9 διὰ τοῦ—ἐμφαίνει Call.: διὰ τὸ—ἐμφαίνειν codd. (sed litterae ultimae evan. in K) ἐν om. K ἀμφοτέροις UEA 12 cum interpretem μήκωνας et μύκωνας permutasse e locis sim. appareat, μύκωνας scribi vult Ahrens 13 καρδία cod. 14 ἀμφοτέραις K, corr. tacite Ziegler λείπει χερσίν ceteris omissis LUE

III. *Αἰπολικὸν ἢ Ἀμαρυλλίς*

KGUEAPT a. *Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον τοῦτο Αἰπολικὸν ἢ Ἀμαρυλλίς. ἐπικωμάζει δέ τις Ἀμαρυλλίδι τοῦ ὀνόματος μὴ δηλουμένου. εἰκάσειε δ' ἄν τις τὸν ἐπικωμάζοντα Βάττον εἶναι· τοῦτον γὰρ αἰπόλον ὄντα δι' ἑτέρου ποιεῖ προσδιαλεγόμενον Κορύδωνι καὶ τὸν ἔρωτα, ὃν ἔσχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα* (IV 38—40). *τὸ μὲν γὰρ τοῦ ποιητοῦ πρόσωπον οὐκ ἂν εἴη, ὡς ὁ Μουνάτιός φησιν ἐκ τοῦ λέγειν τὸν ἐπικωμάζοντα 'ἦ ῥά γέ τοι σιμός'* (III 8). *πλανᾶται δὲ καὶ περὶ τοὺς χρόνους* ⟨. . .⟩ *τὰ δὲ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας περὶ τὴν Κρότωνα* [*Κρότων γὰρ πόλις Ἰταλίας*]· *ὅθεν καὶ τὴν Ἀμαρυλλίδα ὑποτίθεται. φέρει δὲ ὁ ἐπικωμάζων μῆλα καὶ στεφάνους δῶρα τῇ Ἀμαρυλλίδι χάριν τοῦ προστεθῆναι. ἡ δὲ οὐδὲ λόγου αὐτὸν ἀξιοῖ· διὸ καὶ δυσθυμεῖ, ὅτι οὐχ ὑπακούει, καὶ τὸν βίον οὕτω καταλῦσαι προῄρηται.*

KGUEA b. *τὸ δὲ εἶδος ἐπικωμαστικόν.* | c. *λέγει δὲ ὁ Βάττος.*

---

4 sch. IV 38/39 d 10 arg. IV a. b

Tit.: *Αἰπολικὸν* (*Αἰπόλος* Ziegler, traditum defendit Ahrens *Philol. 33, 1874, 399*) *ἢ Ἀμ.* **K** et in tit. et in argum.: *Αἰπόλος ἢ Ἀμ.* arg. **GUEA**: *Ἀμ. ἢ αἰπόλος ἢ κωμαστής* arg. **PT**, tit. **GP**: *κῶμος δωρίδι. Ἀμ. ἢ αἰπ. ἢ κωμ.* tit. **UET**: *κῶμος δωριστί* tit. **A** 2 *μὲν* om. **K** *τοῦτο* om. **KP** de verbis *Αἰπ. ἢ Ἀμ.* v. supra 3 *Ἀμαρυλλίδι* **KPT**: *τῆς Ἀμαρυλλίδος* cett. 4 *εἰκάσειε* **KPT**: *εἰκάση* cett. 6 *ἔσχε* **K**: *εἶχε* cett. 7 *τὸ μὲν — χρόνους* desunt in **P** 8 *Μουνάτιος* Ziegler: *Μουνάτος* codd. 10 post *χρόνους* aliqua intercidisse vidit Wuestemann *Theocr. Rell. 1830, XIX*; cf. arg. IV c—e 11 *περὶ τὴν Κρ.*, *Κρ. γὰρ* (*δὲ* **GUEA**) *πόλις Ἰταλίας* **KGUEA**: *περὶ Κρότωνα τῆς Σικελίας* **PT**. delevi glossam *ὅθεν* seqq. in **P** hoc modo truncata leguntur: *ὅθεν καὶ τὴν Ἀμαρυλλίδα ὑποτίθησι φέρων αὐτῇ δῶρα καὶ δυσθυμῶν ὅτι οὐχ ὑπακούει.* conicias *ὅπου* 14 *οὐδὲ* Call.: *οὐ* codd. *δυσθυμίᾳ τὸν βίον καταλ. πρ.* **GUEAT** 15 *προῄρηται* **A** corr., Apogr. Barb.: *προείρηται* cett. 16 *κωμαστικόν* **PT** *Βάττος* scripsi Ahrensio auctore: *Κορύδων* codd. falso nomine ex id. IV illato

1 a. *κωμάσδω: τὸ πρόσωπον οὐκ ἔστι φανερὸν τὸ* KGUEAT
λέγον. καὶ οἱ μέν φασιν αὐτὸν τὸν Θεόκριτον εἶναι διὰ τὸ σιμὸν καταφαίνεσθαι (v. 8 cum sch.)· *οἱ δὲ Βάττον αἰπόλον τινά, ὃν ἐν τῷ Αἴγωνι εἰσάγει τῆς Ἀμαρυλλίδος ἐρῶντα* (IV 38—40)· *ἀπρεπὲς γὰρ Θεόκριτον τῆς ἀγρῴας ἐρᾶν, ὥστε καὶ ἐν ἀγρῷ διάγειν.*

b. *τὸ κωμάζειν λέγεται ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς* GUEAPT
ἐρωμένας ἀπερχομένων. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ (v. 1040)· *'ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν.'*

[c.] *⟨κωμάσδω:⟩ μετὰ ᾠδῆς καὶ μετὰ κώμου συν-* $U^{E}E^{E}$
διάγω, ἀπέρχομαι.

2 a. *καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει: Τίτυρος ὄνομα* KGUEAT
κύριον. τινὲς δέ φασιν, ὅτι τοὺς Σειληνοὺς οὕ⟨τως⟩ οἱ Σικελιῶται· ἄλλοι δὲ τοὺς τράγους, ἕτεροι δὲ τοὺς Σατύρους, ἔνιοι ὄνομα πόλεως Κρήτης καὶ ἄλλοι τοὺς προπόλους τῶν θεῶν· τινὲς δὲ καὶ κάλαμον.

b. *οὐκ ἔστι δὲ ἄλλο ἢ ὄνομα αἰπόλου τινός.* UEAT

c. *καὶ ὁ Τίτυρος: τοὺς τράγους τιτύρους λέγουσι·* νῦν PT
δὲ ὄνομά ἐστιν αἰπόλου κατὰ ἐμφέρειαν τοῦ χαρακτῆρος.

---

12 sch. VII 72 c. d sch. Bern. Verg. Buc. I 1: Tityrus apud veteres Latinos et Graecos intellegitur Satyrus. tityrus Siculorum lingua hircus dicitur vel tityrus lingua Laconica villosus aries appellatur Serv. Verg. Buc. Prooem. 4, 7 Thilo: Laconum lingua tityrus dicitur aries maior, qui gregem anteire consuevit. Iun. Phil. Verg. Buc. I, 14 b 19 Hagen: tityrum arietem vel hircum Siculi dicunt. Prob. Verg. Buc. Prooem. 329, 1 Hagen: hircus Libyca (Laconica *prop.* O. Kern *Herm. 48, 1913, 319*) lingua tityrus appellatur. Hesych. *τίτυρος. τράγους* Phot. *τιτυρίδες* Strab. X 466. 68. 70 Aelian. Var. hist. III 4 Eust. 1157, 39 ad Artemidori librum *Περὶ Δωρίδος* refert Wendel *Jahrb. f. class. Phil., Suppl. 26, 1901, 20 n. 46*

---

1 *τὸ κωμάζω πρόσ.* **K** *τὸ λέγον* **UEA**: *τὸ λεγόμενον* **T**: om. **KG** 2 *τὸν* om. **GUEAT**, iidem *αὐτὸν* post *σιμὸν* repetunt 3 *Βάττον* **UEAT**: *Βάττου υἱὸν* **KG** 4 *τῷ Αἴγωνι* Ahrens: *τῇ αἰγῶνι* codd. 12 l. om. **KT** *κύρ. ὄν.* **K** 13 *ὅτι τις Σειληνός, οὐ Σικελιώτης* libri. dubitanter emendavi 15 *προπόλους* **K**: *προσπ.* cett. 18 *τράγους* Reinesius: *ἀργοὺς* codd.

d. *τὸν δὲ Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ Σάτυρον εἶναί φασιν.*

KGUEAT 3 a. *ἐμὶν τὸ καλόν: διὰ τὸ κάλλος ἐμοὶ πεφιλημένε.*

UEAT *ἢ καλῶς ἀγαπώμενε, ὅ ἐστιν ἄξιε ἀγαπᾶσθαι.* b. *ἢ τὸ καλὸν ἀντὶ τοῦ λίαν.*

PT c. *ἐμὶν τὸ καλὸν πεφιλαμένε: ἡμῖν διὰ τὸ κάλλος πεφιλημένε. ἢ τὸ καλὸν ἀντὶ τοῦ καλῶς. ἢ διὰ τὸ καλὸν* [*ἢ διὰ τὸ καλὸς*] *εἶναι.*

KGUEA 4 a. *καὶ ποτὶ τὰν κράναν: οὐκ ἔλαττον τῆς τροφῆς ὀνίνησι τὰ θρέμματα τὸ πιεῖν. Ὅμηρος* (*N* 493)*· 'πιόμεν' ἐκ βοτάνης.'*

KGUEAPT b. *καὶ τὸν ἐνόρχαν: ἢ τὸν τέλειον ἢ ἡμιτομίαν. Ὅμηρος* (*Ψ* 147)*· 'πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι.'*

PT [c.] *ἢ λάγνον.*

K^{E}GUEAT 5 a. *κνάκωνα φυλάσσεο: λευκὸν ἢ πυρρὸν ἀπὸ τῆς κνήκου τοῦ σπέρματος.*

PT b. *κνάκωνα: τὸν λευκὸν τράγον ἀπὸ τῆς κνήκου τοῦ σπέρματος λευκοῦ ὄντος.*

U^{E}E^{E} c. *κνῆκος εἶδος φυτοῦ, οὗ ὁ καρπὸς πυρρακίζων.*

KGUEAT d. *μή τι κορύψῃ: οὐ περισπᾶται. τὰ γὰρ ὑποτακτικὰ ὁμοίως ἡμῖν οἱ Δωριεῖς προφέρουσι.*

e. *τὸ δὲ κορύψῃ ἀντὶ τοῦ κερατίσῃ. τὸ γὰρ κερατίζειν*

---

22 sch. Lyc. 196, 22—26 Scheer: *ἐγκορύψεται δὲ ἀπὸ μεταφορᾶς τῶν κριῶν· οἱ δὲ κριοὶ εἰώθασιν ἐν τῷ μάχεσθαι τοῖς κέρασι πλήττειν καὶ τοῦτο κυρίως ἐστὶ τὸ κορύπτειν, ὡς καὶ Θεόκριτος 'φυλάσσεο μή τι κορύψῃ'.*

---

3 *κάλλος ἐμοὶ* K: *κάλλος* G: *καλὸν εἶναι* cett. 4 *ἦγουν* pro *ἢ καλῶς* Ahrens 8 delevi 10 *πίωμεν* KGE 11 *βοτανῶν* K 12 *ἡμιτομίαν* ad *ἐνόρχαν* spectare Heinsius (316) animadvertit 13 *Ὅμηρος* seqq. om. P *ἐνόρχα* K: *ἐνόρχους* (*-ας* GE) cett. 14 sch. 4 c, quod in libris scholio 5 b adhaeret (unde *λάγνον* in P) huc pertinere Duebner vidit 15 *κνηκὸν* pro *λευκὸν* K *τῆς κνήκου* Duebner: *κνήκου* K: *τῆς κνήκης* T: *τοῦ κνήκους* cett. 17 *κνήκου* Duebner: *κνήκης* codd. 20 *τὰ—ὑποτακτικὰ* K: *τὸ—-ὸν* cett. 21 *προφέρ.* Apogr. Barb.: *προσφέρ.* KGUEAT 22 *γὰρ* pro *δὲ* K altero *γὰρ* omisso *κερατ. κορ.* Call.: *κορ. κερατ.* codd.

κορύπτειν οἱ Ἀττικοὶ λέγουσι διὰ ⟨τὸ⟩ συντρέχοντας ἀλλήλοις τοὺς κριοὺς [καὶ] ταῖς κορυφαῖς πλήττειν τε καὶ ῥήγνυσθαι.

f. κορύψῃ: κερατίσῃ. ⟨κερατίζειν⟩ γὰρ κορύπτειν ⟨οἱ⟩ P
Ἀττικοὶ λέγουσι διὰ ⟨τὸ⟩ τοὺς κριοὺς ἀλλήλους ταῖς κορυφαῖς τύπτειν.

7. τὸν ἐρωτύλον: τὸν ἐρωτικὸν ὑποκοριστικῶς, οὐχ KGUEAT ὥς τινες κυρίως. παροξύνονται δὲ τὰ τοιαῦτα πλὴν τοῦ Ὄξυλος καὶ τοῦ ‘παῖδ’ ὀλοφυρομένη Ἴτυλον’ (τ 522)· οἷον ἐρωτύλος, Αἰσχύλος, Δριμύλος, Σιμύλος.

8/9 a. ἦ ῥά γέ τοι σιμός: τινὲς διὰ τὸ σιμὸς τὸν KGUEAP Θεόκριτόν φασι ⟨κωμάζειν⟩, ἐπεὶ καὶ ἐν τοῖς Θαλυσίοις (VII 21 al.) Σιμιχίδας ὠνόμασται. πλὴν οὐκ αἰπόλος ὁ Θεόκριτος οὐδὲ Σιμιχίδας δύναται ἀπὸ τοῦ σιμὸς εἶναι, ἀλλ’ ἀπὸ Σιμίχου πατρωνυμικῶς.

b. τινὲς δὲ διὰ τὸ σιμὸς τὸν Θεόκριτον οἴονται κωμά- PT ζειν, Σιμιχίδην καλοῦντες.

c. προγένειος: ὁ πολλὰς καθειμένας τρίχας ἔχων τοῦ KU^{5}E^{5} πώγωνος, ἤτοι ὁ πολυγένειος.

d. ἆρα σιμὸς καὶ πολυγένειός σοι καταφαίνομαι, ὦ νύμφη; K

10 a. ἠνὶ δέ τοι: ἀντὶ τοῦ ἰδού. δασύνεται τὸ η̄ KGUEAPT ⟨...⟩ μετὰ ὀξέος τόνου· καὶ γὰρ παρὰ Ἀττικοῖς οὕτω προφερόμενον.

---

7 Herodian. I 163, 14 sqq. Lentz 10 Prol. Aa cum loc. sim. 17 Hesych. προγένειος 20 Suid. ἠνί

---

1 διὰ ⟨τὸ⟩ scripsi e scholio f: ὡς codd. συντρεχόντων—τῶν κριῶν—πληττόντων καὶ ῥηγνυμένων GUEAT 2 delevi 3 supplevi quae uncis inclusa leguntur γὰρ scripsi: ἢ cod. 7 κύριον K 8 Ὄξυλος Schaefer *Greg. Cor. 290*: ὄξυλος Hemsterhuys et Toup *Cur. post. 10*: ὄξυνος codd. 10 τὸ σιμὸς, quod Meineke^{3} (7) coniecit, E: τοῦ σιμὸς G: τοῦ σιμοῦ cett. 11 add. Ahrens 12 ὠνόμαστο P 13 δύναται et εἶναι om. KP, γίνεται pro δύναται G Σιμίχου KUA: Σιμιχίδου E: τοῦ Σιμιχίδου P: τοῦ Σιμιχίδης G 14 πατρωνυμικόν K 15 τοῦ σιμοῦ codd. 18 ἤτοι ὁ πολ. om. UE 20 ἠνὶ pro η̄ Call. 21 lac. indicavi ὀξέος τόνου scripsi: ὀξυτόνου K: τοῦ ὀξυτόνου cett. οὕτω Call.: τοῦτο codd. προφερόμενον G: προσφερόμενον P: προφερόμεθα K: προσφερόμεθα UEAT: προφέρεται Call.

b. *τηνῶθε*: *ἐξ ἐκείνου τοῦ τόπου. οἱ γὰρ Δωριεῖς τὸ ἐκεῖνος τῆνός φασιν.*

GUEAPT 11. *ἐκέλευ*: *ἐκέλευσας ἦν καὶ κατὰ ἀποκοπὴν ἐκέλευ. ἢ κέλω λέγεται τὸ προστάσσω, ὁ παρατατικὸς ἐκελόμην ἐκέλου καὶ Αἰολικῶς ἐκέλευ· οἱ γὰρ Αἰολεῖς τὴν ου εἰς ευ τρέπουσιν.*

KGUEAPT 12 a. *θᾶσαι μάν*: *θέασαι δὴ τὴν λύπην, ἥτις τὴν ψυχήν μου ἀλγεῖν ποιεῖ. ἡ μεταφορὰ ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ νοούμενα. Ὅμηρος (α 115)· 'ὀσσόμενος πατέρ' ἐσθλόν.'*

UEAT [b.] *ἢ θᾶσαί μιν ἀντὶ τοῦ ἐμοῦ.*

KGUEAT 13 a. *ἃ βομβεῦσα*: *εὔχεται γενέσθαι μέλισσα, ἢ ἵνα κεντρίσας ἀντοδυνήσῃ ἢ ὑπὲρ τοῦ λαθεῖν εἰσελθών.*

b. *μέλισσα*: *παρόσον ἐπὶ τῶν μήλων ἵζάνει· μῆλα δὲ πάντα τὰ ἄκρα τῶν δένδρων. Ὅμηρος (I 542)· 'αὐτῇσι ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.'*

c. *Ῥοῖκός τις Κνίδιος τὸ γένος ἐν Νίνῳ τῇ Ἀσσυρίων ἰδὼν δένδρον εὐφυὲς κεκλιμένον, ἀπὸ δὲ τοῦ χρόνου πίπτειν*

---

12 sch. A *I* 542 Et. M. 577, 34 (cf. Gen.) Et. Gud. 384, 13; 385, 10. 55; 386, 7 Sturz Et. Or. 102, 29 Eust. 773, 50; 1735, 48 15 sch. Apoll. Rhod. II 477: *Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην. ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυΐ Νύμφη ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅ τι βούλοιτο. ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν, ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. καί ποτε πεσσεύοντος αὐτοῦ παρίπτατο ἡ μέλισσα. πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν Νύμφην, ὥστε πηρωθῆναι αὐτόν.* sch. Lyc. 172, 20 Scheer Et. M. 75, 26 (cf. Gen.)

---

1 *ἐκεῖνος γὰρ ἦν* post *τόπου* add. **GUEAPT** *οἱ δὲ Δ.* iidem 3 *ἀποβολὴν* **P** ante corr. *Δωρικὴν* post *ἀποκοπὴν* add. **T** 4 *κέλλω* libri, corr. Call. 5 *τὴν* **G** Call.: *τὸ* cett. 6 *δὲ* **UEA**, om. **G** *ἥτις* **K**: *ἢ* vel *ἤ* cett. 7 *ἡ μεταφ.* seqq. om. **P** 11 *ἀντιδονήσῃ* **K** ante corr., *ἀντιδυνήσει* **G** *εἰσελθών* Reiske: *εἰσελθεῖν* **K**: *εἰσέλθῃ* cett.: ⟨*ἵν'*⟩ *εἰσέλθῃ* Toup 14 *αὐτοῖς* Hom.: *αὐτοῖσι(ν)* **GUEAT**: *αὐτῆσιν* **K** 15 *τὸ γένος* et *κεκλιμ.* om. **GUEAT** 16 *καὶ ἀπὸ* Call. *καταπίπτειν* **UEAT**

μέλλον, κάμαξιν ἐνστηρίξας ἐπὶ πλέον μένειν ἐποίησεν. ἡ δὲ Νύμφη θεασαμένη χάριν αὐτῷ ὡμολόγησεν· ἡλικιῶτις γὰρ ἔφη εἶναι τοῦ φυτοῦ. καὶ ἐκέλευσεν αὐτόν, ὅ τι ἂν ἐθέλῃ, αἰτεῖν. ὁ δὲ τὴν συνουσίαν αὐτῆς ᾐτήσατο. ἡ δὲ ἔφη αὐτῷ, ὅτι τὸν καιρὸν τῆς μίξεως ἀφικνουμένη σοι μέλισσα προερεῖ. μήποτε οὖν μέμνηται ὁ Θεόκριτος τᾶς ἱστορίας ταύτης διὰ τὸ τὴν μέλισσαν διακονῆσαι πρὸς τὰ ἐρωτικά.

[14 a.] ⟨τὸν κισσόν:⟩ ἀγροικικῆς γὰρ οὔσης τῆς Ἀμα- U^{E}E^{E}P^{m}
ρυλλίδος οἰκίας εἰκὸς καὶ κισσὸν ἔχειν ἐν ἑαυτῇ.

b. πτέρις εἶδος βοτάνης ὁμοίας πτερῷ στρουθοκαμή- KGUEAPT
λου, ἀφ' ἧς στιβάδες ἐπὶ κλίνης τῶν ἀγροίκων γίνονται διὰ τὴν μαλακότητα καὶ διὰ τὸ ἀποδιώκειν τῇ ὀσμῇ τοὺς ὄφεις.

c. καλεῖται δὲ καὶ βλῆχρον. KPT

[d.] ⟨πτέριν:⟩ βοτάνη συγκαμπτή. K^{E}

15. ἦ ῥα λεαίνας: οὐκ ἀφ' ἱστορίας, ἀλλὰ διὰ τὸ KGUEAT
ἄγριον. καὶ γὰρ Ἀχιλλεὺς Θέτιδος καὶ Πηλέως, ἀλλὰ διὰ τὸ ἀγριόν φησιν Ὅμηρος (Π 34)· 'γλαυκὴ δέ σ' ἔτικτε θάλασσα'.

[17 a.] ⟨κατασμύχων:⟩ λεπτύνων, καίων, ξαίνων, U^{E}E^{E}
τήκων.

---

13 Diosc. Mat. med. IV 184 Plin. Hist. nat. XXVII 78 Hesych. *βλῆχρον* sch. Nic. Ther. 39 sch. V 55 a

---

1 τὸ φυτόν post μέλλον add. GUEAT εὖ στηρίξας Geel 3 ὅ τι Geel, cf. sch. Apoll.: εἴ τι codd. 4 αἰτεῖσθαι UEAT post ᾐτήσατο add. K ὑπὸ μελίσσῃ προγωῶς (προαγωγός Apogr. Barb.), quae corrupta mihi videntur e verbis ἀφ⟨ικνουμένη⟩ μέλισσα προσερεῖ falso iteratis ἔφη δὲ αὐτῷ (-ῇ K) KG 5 τῆς μίξεως et σοι om. KG προερεῖ scripsi: προσερεῖ KG: om. cett.: ἐρεῖ Call. 6 οὖν Call.: γοῦν codd. 7 τὰ ἐρωτικά scripsi: τοὺς ἐρωτικούς KG: τοὺς ἔρωτας cett. 10 στρουθίου P post στρουθοκ. in K insertum est sch. c 11 ἀφ' ἧς—μαλακότητα desunt in P καὶ ante στιβάδες add. UEAT τῶν ἀγροίκων γίνονται K: ἐγένοντο ἐπὶ (ὑπὸ G) τῶν ἀγροίκων GUEAT 12 καὶ διὰ τὸ ἀποδιώκειν KGUEA: ἢ ἀποδιώκει PT τὴν ὀσμὴν GUEA 13 βλῆχνον Reinesius 17 φησὶν Ὅμηρος post ἔτικτε in K δέ σ' ἔτικτε K: δέ σ' ἐγείνατο A: δ' ἐγείνατο cett. 19 κατατήκων E

KPT 18 a. τὸ πᾶν λίθος: ὅλη λευκὴ οἷον ἄγαλμα μαρμάρινον. ἢ σκληρὰ καὶ ἄτεγκτε ἢ μόνον οὐχὶ ἀπολιθοῦσα τοὺς ὁρῶντας τῷ κάλλει, οἷόν τί φασι καὶ περὶ Γοργόνος.

GUEAT b. τὸ πᾶν λίθος: ἤγουν σκληρὰ καὶ ἀδαμάντινε διὰ τὸ ἀνηλεὲς καὶ ἀνένδοτον ἢ μόνον οὐχὶ τοὺς προσορῶντας ἀπολιθοῦσα διὰ τὴν πρὸς τὸ κάλλος ὑπερβολὴν οἷον τὸ περὶ τὰς Γοργόνας.

KGUEAT c. εἰ δὲ γράφεται διὰ τοῦ π λίπος, νοητέον οὕτως· εἰς ἣν ὀλισθαίνουσι πολλοὶ διὰ τὸν ἔρωτα· ὀλισθηρὰ γὰρ τὰ λιπαρά. ἢ ἡ βλέπουσα λιπαρόν τι καὶ λευκόν· Ὅμηρος (γ 408)· ‘λευκοί, ἀποστίλβοντες ἀλοιφῇ’.

PT d. ἐὰν δὲ γράφηται λίπος, ἔσται· εἰς ἣν ὀλισθαίνουσι πολλοὶ τῷ ἔρωτι· ὀλισθηρὰ γὰρ τὰ λιπαρὰ χωρία.

[e.] γράφεται καὶ τὸ πᾶν ἔπος.

KGUEAPT 21. τὸν στέφανον τῖλαι: τὸ ἐξῆς· ἤτοι κατατῖλαι τὸν στέφανον εἰς λεπτά. στεφάνοις γὰρ ἐχρῶντο ἐν τῷ συμποσίῳ, ὥς φησιν Ἀριστοτέλης (fgm. 108 Rose, 1495 b 4), εὐετηρίαν καὶ ἀφθονίαν αἰνιττόμενοι τροφῶν· στέψαι γὰρ τὸ πληρῶσαι, ὡς Ὅμηρος· ‘κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο’.

$U^{5}E^{5}P^{5}$ [23.] ⟨καλύκεσσι:⟩ τοῖς τοῦ κισσοῦ κορύμβοις.

GUEAT 24 a. ὁ δύσσοος: ὁ δυσχερῶς διωκόμενος. λαοσσόος

---

18 sch. ABT *A* 470 Eust. 1138,47 21 Et. Gen. (Et. M. 292, 38): *δύσσοος· Θεόκριτος ‘ὦμοι ἐγώ, τί πάθω, τί ὁ δύσσοος’. παρὰ τὸ σόος, οἷον ‘σόον δ’ ἀνένευσε μάχης ἐξαπονέεσθαι’ (Π 252), ἵν’ ᾖ ὁ κακῶς σωθησόμενος. ἢ παρὰ τὸ σοῶ, ὃ σημαίνει τὸ διώκω, ὁ*

---

1 ὅλη — μαρμ. K: ἢ γλαυκὴ ὅλη ἢ μαρμ. ἄγ. PT in fine scholii 2 ἢ ἄτεκτος PT 3 οἷον περὶ Γοργόνης λέγουσιν PT 8 εἰ δὲ — οὕτως K: ἐὰν γὰρ γράφ. τὸ πᾶν λίπος, ἔσται cett. 10 χωρία post λιπαρὰ add. UEAT 11 ἀλοιφῇ KE: τ’ ἀλοιφῇ GUAT: ἀλείφατος Hom. 12 ἔσται T: λείπει P 14 ἔπος ex *ΑΙΠΟΣ*, hoc ex *ΛΙΠΟΣ* ortum esse Duebner adnotavit 15 κατατ. τὸν στέφ. εἰς λεπτά K: κατατ. με ἢ (leg. καὶ, om. G) εἰς τὰ λεπτὰ ποιεῖς τὸν στέφ. GUEA: τὸν στέφ. κατακόψαι (εἰς add. T) λεπτὰ (με add. T) ποιήσεις PT 16 στεφάνοις PT: -ῳ cett. ἐν τῷ συμπ. om. P 18 πλ. παρ’ Ὁμήρῳ PT 19 poetae verba om. P, δὲ om. KG ποτοῖο in fine add. GUEAT

γὰρ ἡ Ἀθηνᾶ ἡ λαὸν διώκουσα ἢ σῴζουσα. δύσσοον δὲ οἱ μὲν τὸν κακοδαίμονα, οἱ δὲ τὸν δυσχερῶς σῳζόμενον παρὰ τὸ σόος. καὶ Ὅμηρος (*A* 344)· ‘ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί’.

b. ⟨ὁ δύσσοος:⟩ ὁ δυσχερῶς σῳζόμενος. K^{E}

c. ⟨ὁ δύσσοος:⟩ ὁ δυσκίνητος ἀπὸ τοῦ δυς καὶ τοῦ σεύω τὸ ὁρμῶ. U^{E}E^{K}P^{K}

25/26 a. Ὄλπις: ἤτοι ἐκεῖθεν ἁλοῦμαι, ὅθεν ὁ ἁλιεὺς Ὄλπις. KGUEA

b. βαλτα δὲ ἡ μηλωτή. ἐτυμολογεῖται δὲ παρὰ τὸ βία καὶ τὸ αἴτης ὁ πτωχός· ἡ διὰ βίας αἱρεθεῖσα τοῦ αἴτου. B

c. ⟨τὰν βαλταν:⟩ τὴν μηλωτήν· ἡ διὰ τῆς βίας τῶν αἰτῶν αἱρεθεῖσα. U^{E}E^{E}

d. τὰν βαλταν: τὴν μηλωτὴν ἢ τὴν διφθέραν, φησίν, ἀπορρίψας εἰς τὴν θάλασσαν ἐκεῖθεν ἁλοῦμαι, ὅ ἐστι πηδήσω, ὅθεν ὁ Ὄλπις ὁ ἁλιεὺς ἀγρεύει τοὺς ἰχθῦς. PT

e. Ὄλπις δὲ ἀπὸ τοῦ λέπω λόπις ὑπερθέσει τοῦ ō· KGUEAPT

κατ’ ἐπένθεσιν τοῦ β̄ γίνεται σοβῶ, ἵν’ ᾖ ὁ κακῶς διωκόμενος. οὕτως δὲ καὶ τὸ δορυσσόος καὶ τὸ λαοσσόος τινὲς ἐτυμολογοῦσι (inde ab ὁ κακῶς σωθησόμενος desunt in A). sch. IV 45 c sch. T *N* 128 sch. BT *T* 48 sch. Pind. Pyth. XII 42 Hesych. Phot. Suid. λαοσσόος Lex. Bachm. 288, 8 Et. M. 556, 33 (cf. Gen.) Eust. 1111, 60; 1780, 48

6 Eust. 62, 45 14 sch. V 14/16 e. f Greg. Cor. Dial. dor. 103: βαίτην τὴν διφθέραν λέγουσι. Hesych. Suid. βαίτη Poll. X 175 Et. M. 193, 2 (cf. Gen.) Herodian. I 344, 3; II 426, 14 Lentz 17 Greg. Cor. Dial. dor. 104: ὄλπις λέγεται παρ’ αὐτοῖς ὁ ἁλιεύς, ὁ τοὺς λεπιδωτοὺς ἀγρεύων ἰχθῦς. ἀπὸ τοῦ λέπω λεπὶς καὶ ὑπερθέσει τοῦ ē ἕλπις καὶ τροπῇ τοῦ ē εἰς ō ὄλπις. sch. I 42 b cum loc. sim.

---

8 ἀπὸ τούτου, ἐκ. ἁλ. GUEA ὅπου K 11 τοῦ αἴτης cod. βίαν cod. αἱρεθεῖσα scripsi et hic et in glossa subsequente: εὑρεθεῖσα codd. 12 τὴν βίαν libri 17 λέπις cum Gregorio E καὶ ἐν ὑπ. GUEAT, καὶ ὑπ. P inter τοῦ et ō suppl. Ahrens e Gregorio: ⟨ē ἕλπις καὶ τροπῇ τοῦ ē εἰς⟩

Ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων ἢ ὁ τοὺς ἕλλοπας ἀγρεύων. ἔστι δὲ πεποιημένον ἢ κύριον.

GUEAT f. Ὄλπις δὲ τὸ ὄνομα τοῦ ἁλιέως, ἤγουν παρὰ τὴν λεπίδα τῶν ἰχθύων. ἢ παρὰ τὴν τοῦ σώματος σχέσιν· ὄλπην γάρ φασι τὴν λήκυθον, ὡς εἶναι παρὰ τὴν σμικρότητα τὸ ὄνομα.

g. Ὄλπις ὁ τοὺς ἕλλοπας ἀγρεύων, ἵν' ᾖ ἐπίθετον τῶν ἁλιέων. ἢ κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων· εἰσὶ γὰρ καὶ ἕτεροι, οἱ περὶ τὰ ὄστρεα ἀσχολούμενοι.

KGUEA 27 a. καἴκα μὴ 'ποθάνω: καὶ ἐὰν μὴ ἀποθάνω, φησίν, ὅμως εὐφρανθήσῃ, ὅτι ἔρριψα ἐμαυτόν.

K b. τό γε μὰν τεόν: ἤγουν τό γε σὸν μέρος, ἤτοι κατὰ τὸ σὸν θέλημα, ἡδὺ τὸ θανεῖν μέ ἐστί σοι. ἢ ὅτι ὅσον περὶ σοῦ ἡδὺ τὸ θανεῖν ἐστί μοι.

GUEAT c. τό γε μὰν τεόν: τό γε σόν, ἤγουν περὶ σοῦ, ἡδὺ τὸ θανεῖν ἐστί μοι. ἢ ὅτι ἡδύ σοί ἐστι τὸ θανεῖν με· ἠσθήσῃ γάρ, ὅτι ἐκινδύνευσα.

KGUEAT 29 a. τηλέφιλον: τὸ φύλλον τῆς μήκωνος, ὅπερ τύπτοντες ἐσημειοῦντο τὸν ἔρωτα, εἰ ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων, οἱ ἐρῶντες.

b. βοτάνιον δέ ἐστιν ἐν τῇ πλήξει φωνοῦν, σημαῖνον φιλεῖσθαί τινα ὑπὸ τοῦ ἐρωμένου ἢ τῆς ἐρωμένης. εἴρηται δὲ κατὰ κοινωνίαν ⟨τοῦ τ̄⟩ πρὸς τὸ δ̄, οἷον δηλέφιλόν τι ⟨ὄν⟩, τὸ δηλοῦν τὴν φιλίαν.

c. ἔστι δὲ φυτάριόν τι, ὅ τινες τῶν ἐρωτικῶν τιθέντες ἐπὶ τῶν ὤμων ἢ τῶν καρπῶν ἐπικρούουσι. καὶ ἐὰν μὲν

4 sch. II 156 Athen. XI 495 c Hesych. Suid. ὄλπ.
21 Hesych. τηλέφιλον· φυτόν τι. τινὲς ἀείζωον ἄγριον.

1 ἢ ὁ—ἀγρεύων om. GUEAPT 2 PT add. ὄνομα post πεποιημένον et ὄνομα τοῦ ἁλιέως post κύριον 15 περὶ σοῦ scripsi: παρὰ σοί codd. 16 ἢ ὅτι—θανεῖν με in codd. post ἐκινδύνευσα, transposui ᾐσθῆς codd., corr. Ahrens 21 βοτάνιον K: βοτάνη GUEA: βότανον T 22 ἢ Ahrens e cod. Genev.: καὶ codd. nostri τῆς om. K 23 ⟨τοῦ τ̄⟩ suppl. Ziegler e sch. e 24 ⟨ὄν⟩ suppl. Call. 25 φίλτρον UEAT 26 τὸν καρπὸν GUEAT

ἐρυθρὸν ⟨γένηται⟩, καλοῦντες αὐτὸ ῥόδιον νομίζουσιν ἀγαπᾶσθαι ὑπὸ τῶν ἐρωμένων, τοῦ χρώματος δ' ἐμπρησθέντος ἢ ἐλκωθέντος μισεῖσθαι.

d. τηλέφιλον: ῥιζίον τι θαμνῶδες, κάτωθεν δὲ ἀνα- BUEAT
βαίνει τρίκλωνον, τοὺς δὲ κλῶνας ἔχει δοχμῆς μείζονας σπιθαμιαίας. τὰ δὲ φύλλα ἔοικε τῷ σπειρομένῳ λωτῷ. λοβὸν δὲ ἀφίησιν ἑλικοειδῆ, ἐν ᾧ τὸ σπέρμα· οὗ ἐπιχριομένου ὁ χρὼς ἐξαιμάττεται καὶ τύπους τινὰς λαμβάνει. οὐ μόνον δὲ ἐπὶ τὰς χεῖρας τὸ τηλέφιλον, ἀλλὰ καὶ ἐπὶ τὸν ὦμον τιθέντες, ἔσθ' ὅτε καὶ ἐπὶ τὸν πῆχυν, ἀπεπειρῶντο τοῦ ψόφου.

e. τηλέφιλον: τηλέφιλόν ἐστι τὸ φύλλον τῆς μήκωνος. PT
ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν εἶναι τὸ τηλέφιλον. εἴτε δὲ τοῦτο εἴτε ἐκεῖνό ἐστιν, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πληττόμενον εἰ ψόφον ἀπετέλει, ἐδίδου αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων. εἴρηται δὲ τὸ τηλέφιλον κατὰ κοινωνίαν τοῦ $\bar{\tau}$ πρὸς τὸ $\bar{\delta}$, οἱονεὶ δηλέφιλον, τὸ δηλοῦν τὸν φίλον.

f. ποτεμάξατο: προήκατο τὸν ἐξ αὐτοῦ γινόμενον ψόφον, KU^{5}E^{5}
διὰ τὸ μὴ κτύπον ποιῆσαι πρὸς τὸν πῆχυν.

g. πλατάγημα: τὸ πλαταγώνιον. ἔστι δὲ τὸ τῆς μήκω- KQUEAT
νος φύλλον, ὃ τιθέντες κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον τύπτουσι τῇ δεξιᾷ, ὥστε πλατάσσειν.

30. ἀλλ' αὖτως ἁπαλῶ: τοὺς δακτύλους καλεῖ μεταφορικῶς ⟨πῆχυν — κυρίως γὰρ πῆχυς τὸ⟩ ἀπὸ τοῦ ἀγκῶ-

---

20 sch. XI 57 b. c Hesych. *πλαταγώνιον· τὸ τῆς μήκωνος καὶ ἀνεμώνης φύλλον.* id. *ἐπλατάγησεν* Phot. *πλαταγώνιον* Suid. *πλαταγώνιον* et *πλατυγίζει* sch. Ar. Equ. 830 Poll. IX 127

---

1 suppl. Call. 5 *δοχμῆς* Geel: *δραχμῆς* codd. *σπιθαμιαίους* prop. Geel, ⟨καὶ⟩ *σπιθαμιαίους* Ahrens 7 *ἐπιχειρουμένου* G 14 *καὶ πληττ.—τηλέφιλον* desunt in P 18 *προήκατο* Geel: *προσήκατο* codd. *τὸν* et *διὰ* seqq. om. K 22 *πλατάσσειν* cod. Genev. teste Ahrensio: *πατάσσειν* codd. nostri 24 Ahrens e Suidae glossa *πῆχυς* supplevit

νος — καί φησι· πρὸς τὸν πῆχυν ἐξεμαράνθη ψόφον μὴ ποιῆσαν.

31 a. *Γροιώ*: τινὲς ὄνομα κύριον τὸ *Γροιώ*· οὐδέποτε γὰρ τὴν γραῖαν οὕτως φασί. τινὲς δὲ ⟨*ἀγροιώ*,⟩ τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην.

P b. *ἀγροιώ*: ἡ ἐπὶ τῶν ἀγρῶν. ἢ κύριον ὄνομα.

KGUEAT 32 a. *ποιολογεῦσα*: ἀναλεγομένη τοὺς στάχυας. *ποίαν* δὲ ἴσως τὸν πυρὸν κατ' ἐξοχήν, ἀφ' οὗ καὶ τὸν ἐνιαυτὸν *ποίαν* ἐκάλεσαν.

UEAT b. *ποία* κυρίως ὁ πυρός. ἢ ἀπὸ τοῦ *ποία* ἡ βοτάνη.

K c. ἡ πρὶν καλάμην συλλέγουσα καὶ σταχυολογοῦσα.

P d. *ποιολογεῦσα*: ἀσταχυολογοῦσα. κυρίως δὲ *ποία* ὁ πυρός.

KGUEAT e. *παραιβάτις*: ἢ ὄνομα κύριον ἢ ἡ παροδῖτις.

GUEAT f. ἢ ⟨ἡ⟩ παραπορευομένη [θεὸς ἢ] ἔριθος.

KGUEAT 35 a. *ἐριθακίς*: μισθώτρια ὑποκοριστικῶς. ἢ ὄνομα κύριον. ἔστι δὲ καὶ ὄρνεον, ἀφ' οὗ τὸ ὄνομα.

PT b. *ἐριθακίς*: ἢ ἔριθος καὶ μισθία ἢ ὄνομα κύριον.

$U^{E}E^{E}$ [c.] ⟨*ἐριθακίς*:⟩ ἡ περὶ τὰ ἔρια θακοῦσα.

GUEAT 36 a. *ἐνδιαθρύπτῃ*: ἀπονοῇ, ἐμβλακεύῃ, σπαταλᾷς, τρυφᾷς.

K^{E} b. ⟨*ἐνδιαθρύπτῃ*:⟩ ἀκκίζῃ, κενοδοξεῖς, σπαταλᾷς.

U^{E} c. ⟨*ἐνδιαθρύπτῃ*:⟩ ἀποσεμνύνῃ μοι ἤτοι κενοδοξεῖς.

---

8 sch. Eur. Tr. 20 Hesych. Suid. *ποία* Et. M. 677, 50 (cf. Gen.) Et. Gud. 472, 17 Sturz Et. Zon. 1563 Eust. 1851, 50 15 Eust. 412, 41: ὅτι δὲ Θεόκριτος τὴν παρ' αὐτῷ *ἐριθακίδα* ἤτοι μισθώτριαν παραιβάτιν λέγει καὶ διὰ τί, ζητητέον ἐκεῖ. id. 1162, 23

---

1 πρὸς τὸν π. om. GUEAT *ἐξεμαλήθη* (leg. -μαλάχθη) ET 2 *ποιήσας* K 3 *Γροιώ* bis K: *Ἀγροιώ* cett. *οὐδέποτε* K: *οὐδέπω* cett. 4 supplevi 5 *τρεφομένην* om. GUEAT 8 *τὸν π. κατ' ἐξοχήν* K: *διὰ τὸ τὸν π. κατέχειν* cett. 12 *ποιὸς* cod. 15 ⟨ἡ⟩ add. Ahrens, idem vocem θεὸς del. ut dittographia ortam ex ἔριθος. θεὸς ἢ ἔρ. om. G 16 ἢ ὄνομα κύριον om. KG 17 ⟨*ἐρίθακος*⟩ ante ὄρνεον suppleri vult Ahrens *ἐφ' οὗ* Brubach. in marg. 18 post l. add. T: ἡ δούλη ἀπὸ τοῦ ἔριθος ἡ ἀκόλουθος 22 κενοδ. etiam P^{E}

37. *ἄλλεται ὀφθαλμός μευ: δοκοῦσιν ὄψεσθαί τινα* KGUEAT *τῶν οἰκείων, ἂν ἄλλωνται οἱ ὀφθαλμοί* [*μου*].

38. *ἀσεῦμαι: Ἰωνικῶς λυπηθήσομαι, ἀδημονήσω· ἄση* K *γὰρ ἡ ἀδημονία. τινὲς δὲ ἀντὶ τοῦ πλησιάσω.*

[40—42 a.] *ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς.* $U^{E}E^{E}$

b. *Ἱππομένης: Ἱππομένης ὁ υἱὸς* ⟨*Μεγ*⟩*αρέως τῆς* KGUEAT *Σχοινέως Ἀταλάντης τῆς δρομαίας ἐρασθεὶς Ἀφροδίτης συνεργούσης ἔδραμεν ἐπὶ τὸν ἀγῶνα. ἦ γὰρ ἔδει τὸν ἀγωνιζόμενον τῷ δρόμῳ ἡττηθέντα θνήσκειν ἢ παρελθόντα δρόμῳ λαμβάνειν τὴν κόρην. ἔχων οὖν παρὰ τῆς θεᾶς* ⟨*παραγενομένης*⟩ *τῷ δρόμῳ μῆλα χρυσᾶ* ⟨*ἐκ*⟩ *τοῦ τῶν Ἑσπερίδων κήπου ἔρριπτεν ἕκαστον αὐτῶν. οὕτως* ⟨*δὲ*⟩ *ἀσχολουμένης τῆς κόρης περὶ τὴν τῶν μήλων συλλογήν, ἐλείφθη. λαβὼν δ' αὐτὴν γυναῖκα μετεμορφώθη εἰς λέοντα ἐν ἱερῷ τόπῳ συνελθὼν αὐτῇ*

---

6 Prob. Verg. Buc. VI 61: Atalantam Schoenei filiam virginem velocissimam multi petebant. praescriptum est a patre, ut is haberet, qui cursu superasset, et victus interiret. tunc indignata Venus esse aliquam, quae foedera ipsius nesciret, hortata est Hippomenem, ut eam peteret uxorem, deditque tria mala aurea lecta de arbore, quam Hesperides trans Oceanum servabant. cum his malis cursum Hippomenes intendit et ita, ut erat a Venere demonstratum, in latus unum abiecit, longius item aliud et prope finem tertium. haec dum virgo colligere desiderat universa, victa tradita est uxor Hippomeni. sed cum impatientius virginitatem eius Hippomenes voluisset

---

2 *οἱ ὀφθαλμοί μου* post *δοκοῦσιν* est in codd., transp. Duebner *μου* simul deleto 4 interpretes illi *ἄσσω* = *ἀΐσσω* in animo habuisse videntur 6 ⟨*Μεγ*⟩*αρέως* scripsi suadente Duebnero vulgatam fabulae formam secutus: *Ἄρεος* codd. 7 *Ἀφροδίτη συνεργοῦσα* K 9 *ἡττηθέντα θνήσκειν* K: *ἡττηθέντα καὶ τῆς ζωῆς στερηθῆναι* U: *ἡττηθῆναι* cett. *παρελθόντα* K: *παρα* (vel *περι*) *γενόμενον* cett. 10 supplevi e scholio gemino d verbis *τῷ δρόμῳ*, quae post *κήπου* in codd. sunt, simul huc translatis 11 *μῆλα — αὐτῶν* K: *χρυσᾶ μῆλα λαβὼν τοῦ τῶν Ἑσπ. κήπου τῷ δρόμῳ ἔφθασε τρέχειν* U: *μῆλα ἔφθασε τρέχειν* cett. ⟨*ἐκ*⟩ supplevi e sch. c 12 *οὕτως* om. K ⟨*δὲ*⟩ suppl. Call. 13 *περὶ τὴν — συλλογήν* K: *ἐπὶ τὴν — συλλογήν* GUEA: *ἐπὶ τῇ — συλλογῇ* T *ἐλείφθη* et *γυναῖκα* om. GUEAT

UEAT c. ἐγκρατὴς ἐγένετο Ἱππομένης ὁ ⟨Μεγ⟩αρέως τῆς Ἀταλάντης μῆλα χρυσᾶ λαβὼν παρ' Ἀφροδίτης ἐκ ⟨τοῦ⟩ τῶν Ἑσπερίδων κήπου.

KGUEAPT d. ἃ δ' Ἀταλάντα: δύο Ἀταλάνται εἰσίν, ἡ μὲν Ἀρκαδίας, ἡ δὲ Βοιωτίας. ἡ Σχοινέως τοίνυν θυγάτηρ Βοιωτικὴ οὖσα καὶ δρομαία προέθετο τὸν γάμον αὐτῆς, εἴ τις νικήσει αὐτὴν δρόμῳ. καὶ πολλοὺς θελήσαντας λαβεῖν αὐτὴν νικήσασα ἀνεῖλεν. Ἱππομένης οὖν λαβὼν χρυσᾶ μῆλα ἐξ Ἀφροδίτης [καὶ] παραγενομένης τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν εἰς τοὐπίσω. ἡ δὲ εὐθέως περὶ τὸν ἵμερον τῶν μήλων ἐγένετο καὶ ἡττήθη, ὁ δὲ δι' αὐτῶν ἐνίκησεν. ἡ δὲ Ἀρκαδικὴ Ἀταλάντη ἦν τοξότις δεινή.

KGUEA e. ὡς εἶδεν: ὅτε εἶδε ⟨. . .⟩ τῶν μήλων αὐτοῦ ἐρασθεῖσα.

PT f. ὡς ἴδεν, ὡς ἐμάνη: ἀντὶ τοῦ εὐθέως. καὶ Ὅμηρος (*T* 16)· 'ὡς ἰδεν, ὥς μιν μᾶλλον ἔδυ χόλος'.

---

eripere, secesserunt in lucum (locum *codd., corr. Keil*) Matris Deum ibique demutati sunt in leones. Philarg., sch. Bern., Serv. ib. Serv. Verg. Aen. III 113 cf. Robert *Herm. 22, 1887, 448* *Papiri greci e lat. pubbl. d. Soc. Ital. 2, 1913, n. 130*
4 sch. Eur. Phoen. 150 sch. Apoll. Rhod. I 769 sch. Stat. Theb. VII 267 Apoll. Bibl. III 109

---

1 ⟨Μεγ⟩αρέως scripsi ut supra: Ἄρεος codd. 2 ⟨τοῦ⟩ suppl. Ahrens 5 post θυγάτηρ PT inserunt verba de fine scholii petita: ἡ μὲν οὖν Ἀρκαδικὴ Ἀταλάντη τοξότις ἦν (δεινή add. T)· ἡ δὲ 6 οὖσα καὶ δρ. UEA: οὖσα δρ. K: δρ. οὖσα GPT 7 verba λαβεῖν αὐτὴν (τοῦ λαβ. αὐτ. K, om. P), quae in libris post δρόμῳ leguntur, huc transp. Ahrens νικήσασα Reiske: νικῆσαι GUEAPT: νικᾶν K 8 λαβὼν χρ. μῆλα ἐξ Ἀφροδίτης KGUEA: συνεργὸν ἔχων Ἀφροδίτην καὶ λαβὼν παρ' αὐτῆς μῆλα χρ. PT καὶ παραγ.— ὁ δὲ om. P del. Ahrens 9 παραγενομένης scripsi: περιγενόμενος codd.: προγενόμενος Ahrens ἐκ τοῦ δρόμου K ἔρριψεν K rescriptus, sed Apogr. Barb. ἔρριπτεν exhibet cum cett. 11 ἡττήθη K: ἐλείφθη cett. verbis ἡ δὲ Ἀρκαδικὴ seqq. hoc loco omissis PT add. καὶ γυναῖκα αὐτὴν ἔλαβεν 13 ὅτε Adert: ὅτι codd. lac. ind. Ziegler τῶν μήλων K: τὰ μῆλα cett. ἐρασθεῖσα K: ἠράσθη UEA: om. G 16 ὡς εἶδ' Hom.

[g.] ἐπιμονὴ τὸ σχῆμα καὶ ἐπανάληψις καὶ ἔστι τῆς γλυ- U^{s}E^{s}P^{m}
κύτητος.

43—45a. τὰν ἀγέλαν χὠ μάντις ⟨ἀπ' Ὄθρυος KΘ$^{1.2}$U$^{1.2}$E$^{1.2}$A$^{1.2}$
ἄγε⟩ Μελάμπους: Νηλεὺς ὁ Τυροῦς καὶ Κρηθέως τὴν
θυγατέρα Πειρὼ ἐκείνῳ δώσειν ἔφη γυναῖκα τῷ ἐξάξοντι τὰς
βοῦς αὐτοῦ ἀπὸ Ἰφίκλου | ἐκ Φυλάκης. Βίας δὲ ὁ Μελάμ- KΘ^{1}U^{1}E^{1}A^{1}
ποδος ἀδελφὸς ἤρα αὐτῆς σφόδρα. ὁ οὖν Μελάμπους ἐλθὼν
εἰς τὴν Ἰφίκλου χώραν διὰ τὰς βοῦς ἐδεσμεύθη παρ' Ἰφίκλου.
μέλλοντος δὲ τοῦ δωματίου, ἐν ᾧ ἦν, πίπτειν μάντις ὢν
προεμήνυσεν. ἐφ' ᾧ καταπληχθεὶς ὁ Ἴφικλος ἔλυσεν. ἄγονον
δὲ ὄντα τὸν Ἴφικλον ποιήσας γόνιμον ἔλαβε τὰς βοῦς τρόπῳ
τοιῷδε (sequitur sch. c).

b. τὰν ἀγέλαν χὠ μάντις ἀπ' Ὄθρυος: Νηλεὺς ἔχων PT
θυγατέρα Πειρὼ οὐκ ἐδίδου αὐτήν τινι γυναῖκα εἰ μὴ τῷ συν-
τιθεμένῳ ἀγαγεῖν αὐτῷ τὰς Ἰφίκλου βοῦς. Μελάμπους δὲ
θέλων τῷ οἰκείῳ ἀδελφῷ Βίαντι τὴν κόρην δοῦναι τὸν κίν-
δυνον ὑπέστη. συλληφθεὶς δὲ ὑπὸ τῶν βουκόλων τοῦ Ἰφί-
κλου ἐν φυλακῇ ἐβλήθη. καὶ ἐκεῖ ὢν ἤκουσε λεγόντων τῶν
σκωλήκων ἐλάχιστον εἶναι τὸ περιττεῦον τῆς δοκοῦ εἰς διά-
βρωσιν καὶ προμηνύσας τῷ Ἰφίκλῳ τὴν τοῦ δόμου πτῶσιν
ἐθαυμάσθη ὑπ' αὐτοῦ. καὶ ἤρετο αὐτὸν ὡς μάντιν, πῶς ἂν
παῖδας ποιήσῃ. ἄτεκνος γὰρ ἦν ἐκ τοιαύτης αἰτίας (sequi-
tur sch. c).

c. Φυλάκῳ τῷ πατρί, ἀφ' οὗ καὶ ἡ χώρα Φυλάκη ἐκα- KΘUEAPT

---

3 sch. Apoll. Rhod. I 118 sch. λ 287. 290 Apoll. Bibl. I 98—102 24 Eust. 1685, 37: *ἐν ὑπομνήματι Θεοκρίτου φέρεται καὶ ὅτι ἐκτέμνοντί ποτε τῷ Φυλάκῳ ζῷα παρειστήκει παῖς ὢν Ἴφικλος. ὃν ἐκπλῆξαι θέλων ὁ πατὴρ καὶ ἀνατείνας ἦν κατ-*

---

5 *ἐξάξοντι* K: *ἐξαγαγόντι* G^{2} (om. G^{1}): *ἐξάγοντι* cett. 9 *δωματίου* K: *δώματος* cett. 10 *ἄγονον—τοιῷδε* K: *καὶ ἀπέστειλε (ἀπέλυσε* GEA) *σὺν τοῖς βουσὶ καὶ ἔγημε Βίας τὴν Πειρώ* cett. 13 post *Νηλεὺς* add. *ὁ Τυροῦς καὶ Κρηθέως* T 14 *Πηρὼ* P 24 *Φυλάκῳ—ἐκαλεῖτο, τέμνοντι* [*δένδρον*] K: *ἐκτέμνοντι δέ ποτε τῷ Φυλάκῳ* GUEA: *ἐκτέμνοντι τῷ πατρὶ Φυλάκῳ ποτὲ* PT. *δένδρον* in cod. K ex sequentibus irrepsisse patet. *ζῷα* ex Eustathio addi vult Jacobs *Spec. emend. in aut. vet. 1786, 41*

λεῖτο, ἐκτέμνοντι ὁ Ἴφικλος παῖς ὢν παρίστατο· ὃν ἐκπλῆξαι ὁ πατὴρ θέλων ἣν εἶχε μάχαιραν εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι ὥρμησε, καὶ συνέβη ἐπενεγκεῖν αὐτὴν τοῖς μορίοις τοῦ παιδός. ἐπεὶ δὲ ἄγονος ἦν ὁ Ἴφικλος, εὑρὼν ὁ Μελάμπους τὴν μάχαιραν ἐκέλευσε τὸν ἰὸν ἀποξέσαντα πίνειν. καὶ οὕτως αὐτὸν πατέρα ἐποίησε καὶ λαβὼν τὰς βοῦς διὰ τούτων τῷ ἀδελφῷ Βίαντι τὸν τῆς Πειροῦς γάμον περιεποιήσατο.

PT d. ἡ ἱστορία παρὰ Ἀπολλωνίῳ (Argon. I 118—121 cum sch.).

GUEAT e. χὠ μάντις ἀπ' Ὄθρυος: καὶ ὁ Μελάμπους ἦγε τὴν Ἰφίκλου ἀγέλην Νηλεῖ εἰς Πύλον, ἵνα ἄγηται τῷ ἀδελφῷ τὴν Πειρώ, ἥτις ἔτεκεν Ἀλφεσίβοιαν, μητέρα Μελάμποδος ἴσως ἑτέρου.

PT [f.] ἀπ' Ὄθρυος: οἱ μὲν πόλεως ὄνομά φασιν εἶναι τὸ Ὄθρυς, οἱ δὲ τὴν φυλακήν. ἤγουν· ἀπὸ τῆς φυλακῆς, ἐν ᾗ ἐφυλάσσοντο οἱ βόες, ἢ ἀπὸ τῆς πόλεως, ἐν ᾗ ἦσαν.

KGUEAT g. Μελάμπους δὲ ἐκλήθη, ὅτι γεννηθεὶς ἐξετέθη παρὰ

εἶχε μάχαιραν, εἶτα εἰς τὸ πλησίον δένδρον ἐμπῆξαι θελήσας, ἐπήνεγκεν αὐτοῦ τοῖς μορίοις οὕτω συμβάν. Μελάμπους δὲ αὐτὴν ἀνευρὼν ἐκέλευσε τὸν Ἴφικλον ξέσαντα τὸν ἰὸν πίνειν. καὶ αὐτὸς ποιήσας οὕτω γίνεται παίδων πατήρ. Steph. Byz. Φυλάκη

17 sch. Apoll. Rhod. I 121: μήτηρ δὲ Μελάμποδος Δωρίππη, ὡς Διευχίδας. φησὶ δὲ καὶ τὴν αἰτίαν τοῦ ὀνόματος,

---

1 παρίστατο K: παρειστήκει cett. 2 θέλ. ὁ πατὴρ PT εἰς τὸ πλησίον—παιδός K: ταύτην εἰς τὸ πλ. δένδρον ἐκπλῆξαι ὁρμήσας συνέβη αὐτῷ ἐπεν. (μετεν. G) τοῖς μορ. GUEA: ἐπήνεγκεν αὐτοῦ τοῖς μηρίοις καὶ ταύτην εἰς τὸ πλ. δένδρον ἔπηξε PT 4 ἐπεὶ—Ἴφικλος om. GUEAPT post ἄγονος Call. suppl. ἐκ τοιαύτης αἰτίας εὑρὼν ὁ Μ. τὴν μάχαιραν K: ταύτην οὖν (ὁ add. PT) Μ. ἀνευρὼν cett. 5 τὸν ἰὸν ἀποξ. K: τὸν Ἴφικλον ἀποξ. τὸν ἰὸν cett. 6 ἐποίησε καὶ λαβὼν τὰς βοῦς K: ποιήσας παίδων ἔλαβε τὰς βοῦς καὶ GUEA: παίδων ποιήσας ἔλαβε τὰς βόας καὶ τῷ Νηλεῖ ταύτας διδοὺς PT 7 Πηροῦς P περιεποίησεν PT in fine add. ἦρα γὰρ αὐτῆς σφόδρα (οὕτος add. G) GUEA 8 haec verba, quae in libris una cum scholiis 2 d et 8/9 a idyllii argumento adhaerent, ad Melampodis fabulam pertinere vidit Bethe *De Theocriti edit. antiquiss., Ind. schol. Rostoch. 1896, 11* 15 Φυλάκην Wilamowitz

τῆς μητρὸς Ῥοδόπης ἐν ὑλώδει τόπῳ, παντὸς δὲ τοῦ σώματος σκεπομένου μόνους ἦν γυμνὸς τοὺς πόδας καὶ ἐξεκαύθη ὑπὸ τοῦ ἡλίου. διὰ τοῦτο Μελάμπους ἐκλήθη.

h. Ἀλφεσιβοίης: Αἰόλου τοῦ Ἕλληνος Σαλμωνεύς, KQUEAPT ἐξ οὗ Τυρώ, ἐξ ἧς καὶ Κρηθέως Νηλεύς, ἐξ οὗ Πειρώ, ἐξ ἧς Ἀλφεσίβοια.

[46.] ⟨Κυθέρειαν:⟩ τὴν Ἀφροδίτην παρὰ τὸ αἰτίαν U$^{E^5}$ εἶναι τοῦ κύειν.

48 a. ὥστ' οὐδὲ φθίμενόν νιν: ὥστε οὐδὲ τελευ- KQUEAT τήσαντα τὸν Ἄδωνιν τοῦ ἰδίου αὐτῆς μαστοῦ χωρίζει, ἀλλ' ἀεὶ αὐτῷ καὶ τελευτήσαντι συμπάρεστι. δοκεῖ δὲ ὁ Ἄδωνις ἓξ μῆνας παρὰ Περσεφόνῃ ποιεῖν, ὁμοίως δὲ καὶ παρὰ Ἀφροδίτῃ.

b. ⟨ἄτερ μαζοῖο:⟩ ἄνευ τοῦ συγκαθεύδειν καὶ προσστερνίζεσθαι.

c. ὥστ' οὐδὲ φθίμενόν νιν: δοκεῖ γὰρ ὁ Ἄδωνις ἓξ P μὲν μῆνας παρὰ Περσεφόνῃ, ἓξ δὲ παρὰ Ἀφροδίτῃ εἶναι.

d. λέγεται δὲ περὶ τοῦ Ἀδώνιδος, ὅτι καὶ ἀποθανὼν ὁ QUEAPT Ἄδωνις ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τῆς Ἀφροδίτης, ὥσπερ καὶ ἐν ταῖς ἀγκάλαις τῆς Περσεφόνης. τοῦτο δὲ τὸ λεγόμενον τοιοῦτόν ἐστιν ἀληθῶς· ὅτι ὁ Ἄδωνις ἦγουν ὁ σῖτος ὁ σπειρόμενος ἓξ μῆνας ἐν τῇ γῇ ποιεῖ ἀπὸ τῆς σπορᾶς καὶ ἓξ μῆνας ἔχει αὐτὸν ἡ Ἀφροδίτη, τουτέστιν ἡ εὐκρασία τοῦ ἀέρος· καὶ ἔκτοτε λαμβάνουσιν αὐτὸν οἱ ἄνθρωποι.

49—51 a. ὁ τὸν ἄτροπον: ἄτρεπτον, ἀμετακίνητον, KQUEAT

ὅτι τεκοῦσα αὐτὸν ἡ μήτηρ εἰς σύνδενδρον ἐξέθετο τόπον. συνέβη δὲ τοὺς πόδας αὐτοῦ ὑπὸ ἡλίου μελανθῆναι ἀσκίους ὄντας.

4 sch. Apoll. Rhod. 532, 34 Keil sch. Pind. Pyth. IV 190
25 Hesych. ἄτροπον· ἄτρεπτον.

---

1 ὑλώδει scripsi a scholiasta Apollonii edoctus: ὑψηλῷ codd.: ψιλῷ Ahrens 2 μόνον K, μόνος G 4 Αἰόλου καὶ Ἕλλ. Σάλμων PT 5 Πηρώ KP 12 ἓξ μῆνας—ὁμοίως δὲ K: καὶ μῆνας ἓξ—ὡς cett. 14 l. suppl. Ahrens 18 λέγεται G: λέγει UEAT: λέγουσι P 25 verbis ἄτρεπτον — ὡς omissis GUEAT incipiunt a τοῦ Ἐνδυμίωνος

αἰώνιον καθεύδων ὕπνον. φασὶ γάρ, ὡς Ἐνδυμίωνος ἠράσθη ἡ Σελήνη κατὰ τὸ Λάτμιον ὄρος τῆς Καρίας κυνηγετοῦντος. φιλοκύνηγος δὲ ὢν ἡμέρας ὕπνωττε, κατὰ τὰς νύκτας δὲ λαμπούσης τῆς Σελήνης ἐθήρευε διὰ τὸ τὰ θηρία κατὰ τοῦτον

1 sch. Apoll. Rhod. IV 57: *Λάτμος ὄρος Καρίας, ἔνθα ἔστιν ἄντρον, ἐν ᾧ διέτριβεν Ἐνδυμίων, ἔστι δὲ καὶ πόλις ἡ λεχθεῖσα Ἡράκλεια. τὸν δὲ Ἐνδυμίωνα Ἡσίοδος μὲν Ἀεθλίου τοῦ Διὸς καὶ Καλύκης, παρὰ Διὸς εἰληφότα τὸ δῶρον ἵν* (Schaefer, ἐν cod.) *αὐτῷ ταμίαν εἶναι θανάτου, ὅτε θέλοι ὀλέσθαι· καὶ Πείσανδρος καὶ Ἀκουσίλαος καὶ Φερεκύδης καὶ Νίκανδρος ἐν δευτέρῳ Αἰτωλικῶν* (fgm. 6 Schneider p. 25) *καὶ Θεόπομπος ὁ ἐποποιός* (Meineke, *ἐν ἐποποιοῖς* cod.). *ἐν δὲ ταῖς Μεγάλαις Ἠοίαις λέγεται τὸν Ἐνδυμίωνα ἀνενεχθῆναι ὑπὸ τοῦ Διὸς εἰς οὐρανόν· ἐρασθέντα δὲ Ἥρας εἰδώλῳ παραλογισθῆναι* [*τὸν ἔρωτα* del. Keil] *νεφέλης καὶ ἐκβληθέντα κατελθεῖν εἰς Ἅιδου. περὶ δὲ τοῦ τῆς Σελήνης ἔρωτος ἱστοροῦσι Σαπφὼ καὶ Νίκανδρος ἐν δευτέρῳ Εὐρωπείας* (*Εὐρώπης* cod., fgm. 24 Schneider p. 35). *λέγεται δὲ κατέρχεσθαι εἰς τοῦτο τὸ ἄντρον τὴν Σελήνην πρὸς Ἐνδυμίωνα. Ἐπιμενίδης δὲ αὐτὸν παρὰ θεοῖς διατρίβοντα ἐρασθῆναί φησι τῆς Ἥρας, διόπερ Διὸς χαλεπήναντος αἰτήσασθαι διαπαντὸς καθεύδειν. Ἴβυκος δὲ ἐν πρώτῳ Ἠλιδος αὐτὸν βασιλεῦσαί φησι. τινὲς δὲ διὰ πολλὴν δικαιοσύνην ἀποθεωθῆναί φασιν αὐτὸν καὶ αἰτήσασθαι παρὰ Διὸς ἀεὶ καθεύδειν. φασὶ δὲ αὐτὸν οἱ μὲν Σπαρτιάτην, οἱ δὲ Ἠλεῖον. ἔνιοι δὲ ἀναιροῦσι τὸν ἐπὶ τῷ Ἐνδυμίωνος ὕπνῳ μῦθον. φιλοκύνηγον γὰρ αὐτὸν γενόμενον νύκτωρ πρὸς τῇ σελήνῃ κυνηγεῖν διὰ τὸ ἐξιέναι τὰ θηρία κατὰ τοῦτον τὸν καιρὸν ἐπὶ τὰς νομάς, τὰς δὲ ἡμέρας ἐν σπηλαίῳ αὐτὸν ἀναπαύεσθαι, ὥς τινας οἴεσθαι πάντοτε αὐτὸν κοιμᾶσθαι. οἱ δὲ ἀλληγοροῦσι τὸν μῦθον λέγοντες ὡς ἄρα Ἐνδυμίων πρῶτος ἐπεχείρησε τῇ περὶ τὰ μετέωρα φιλοσοφίᾳ, παρασχεῖν δὲ αὐτῷ τὰς ἀφορμὰς τὴν σελήνην ἔν τε φωτισμοῖς καὶ κινήσεσι, δι' ὃ καὶ νύκτωρ σχολάζοντα τούτοις ὕπνῳ μὴ χρῆσθαι, κοιμᾶσθαι δὲ μεθ' ἡμέραν. τινὲς δὲ τῷ ὄντι φίλυπνόν τινα γεγονέναι τὸν Ἐνδυμίωνα, ἀφ' οὗ καὶ παροιμία "Ἐνδυμίωνος ὕπνος' ἐπὶ τῶν πολὺ κοιμωμένων ἢ ἀμελῶς τι πραττόντων, ὡς δοκεῖν κοιμᾶσθαι. καὶ Θεόκριτος μέμνηται· 'ζαλωτὸς μὲν ἔην ὁ τὸν ἄτροπον ὕπνον ἰαύων Ἐνδυμίων'.* de allegorica fabulae interpretatione: Germ. sch. Arat. Phaen. p. 201 Breysig Plin. Hist. nat. II 43 Myth. vat. I 229 Fulg. Myth. II 16

2 *κατὰ—Καρίας κυνηγετοῦντος* K: *ἦν δὲ οὗτος κατὰ—Καρίας* cett. 3 *φιλοκύνηγος—ἐξιέναι* ut supra K: *φιλοκύνηγος ὢν καὶ τὰς νύκτας λαμπούσης τῆς Σελ. ἐξῄει πρὸς θήρας διὰ—ἐξιέναι· τῇ δὲ ἡμέρᾳ ἐκάθευδε* cett.

τὸν καιρὸν ἐξιέναι. οὕτως Νίκανδρος (cf. fgm. 24 Schneider in sch. Apoll. infra cit.). μακαρίζω, φησί, διὰ τὸ ἐκεῖνον μὲν φιλεῖσθαι ὑπὸ Σελήνης, ἐμὲ δὲ ὑπὸ σοῦ μισεῖσθαι.

b. Ἐνδυμίων παρὰ τοῖς θεοῖς διατρίβων ἠράσθη Ἥρας. ἐφ' ᾧ χαλεπήνας ὁ Ζεὺς ἐποίησε διαπαντὸς καθεύδειν ἀθάνατον. τὸ δὲ ἄντρον, ἐν ᾧ ἐκάθευδεν, ἐν Λάτμῳ τῆς Καρίας.

c. ζαλωτὸς μέν: Ἐνδυμίωνος ἠράσθη Σελήνη καὶ κατὰ PT τὸ ὄρος τὸ Λάτμιον τῆς Καρίας κυνηγετοῦντι ἐμίγη· καὶ ἀλληγοροῦσιν, ὡς ⟨. . .⟩ φιλοκύνηγος ὢν τῇ Σελήνῃ συνεθήρα νυκτός, ἡμέρας δὲ ὕπνωττεν.

d. Ἰασίωνα: Ἰασίων ὁ Κρής, Κρήτης βασιλεύς, υἱὸς KGUEAPT ἦν Μίνωος καὶ Φρονίας νύμφης. τούτῳ ἐν λειμῶνι κοιμωμένῳ ἡ Δημήτηρ συνῆλθε καὶ ἔτεκε τὸν Πλοῦτον.

e. βέβαλοι: ἀμύητοι, ἀμυστηρίαστοι, μυστήρια μὴ KGUEAT ἔχοντες. παρεμφαίνει δὲ μυστικὸν τὸν ἔρωτα Ἰασίωνος καὶ Δήμητρος.

52. τὰν κεφάλαν: ὡς ἡμέραν. πολλὰ γὰρ ⟨Αἰολικὰ⟩ σῴζεται παρὰ Συρακουσίοις.

54 a. ὡς μέλι τοι: ὅπως τοῦτό σοι ὡς μέλι γλυκὺ KGUEAPT κατὰ βρόχθοιο, τουτέστι τοῦ φάρυγγος, γένηται.

[b.] ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γέ- PT νοιτο: βρόχθος λέγεται τὸ ἐπίλακκον μέρος, τὸ μετὰ τὸν τράχηλον, ποιὸν ἦχον ἀποτελοῦν.

---

11 Hes. Theog. 969 sqq. sch. ε 125

---

1 Nicandri nomen, quod in codd. ad sch. 52 delapsum invenitur, huc pertinere vidit Buck (38); cf. notam ad sch. 52 2 μακαρίζων K 8 Λάτμον codd., corr. Call. 9 lac. indicavi, cum interpretationem allegoricam ipsam interiisse Apollonii scholia satis doceant 11 ὁ Κρής et υἱὸς—νύμφης om. KGP 13 Πλοῦτον Tricl.: Πλούτωνα codd. nostri 15 post ἔχοντες add. βέβηλα K μυστικὸν K: μυστηριακὸν cett. 17 ὡς ἡμέραν. οὕτως Νίκανδρος K: Νίκανδρος κεφαλὰν ὡς ἡμέραν cett. cf. O. Schneider *Nicandr. 135.* Buck verba codicis K οὕτως Νίκανδρος ad Endymionis fabulam suo iure revocavit, v. sch. 49—51 a πολλὰ seqq. om. K ⟨Αἰολικὰ⟩ vel simile quid intercidisse monuit Geel

IV. *Νομεῖς*

KGUEAPT a. ⟨*Ἐπιγράφεται*⟩ *τὸ εἰδύλλιον τοῦτο* ⟨*Αἰπολικὸν καὶ*⟩ *Βουκολικόν. ἔστι Βάττος μὲν αἰπόλος, Κορύδων δὲ βουκόλος, οἳ πρὸς ἀλλήλους διαλέγονται ἀμοιβαίως. ὑποτίθεται δὲ τὸν Κορύδωνα βοῦς νέμοντά τινος Αἴγωνος, ὃν φησιν εἰς Ὄλυμπίαν ὑπὸ Μίλωνος τοῦ παλαιστοῦ ἁπαχθῆναι λίαν ἰσχυρὸν ὄντα, ὅπως ἀγωνίσηται· τὸν δὲ Βάττον ταῦτά τε πυνθανόμενον καὶ λέγοντα, ὅτι κακοῦ ἔτυχον αἱ βόες βουκόλου καί εἰσι λεπταί. τὰ δὲ πράγματα ἐν Κρότωνι τῆς Ἰταλικῆς ὑπόκεινται.*

KGUEA b. *Βάττος αἰπόλος καὶ Κορύδων βουκόλος ἀμοιβαίως πρὸς ἀλλήλους διαλέγονται. τὰ δὲ πράγματα ἐν Κρότωνι τῆς Ἰταλικῆς. αἱ δὲ βόες Αἴγωνος· οὗτος πεπόρευται Ὀλύμπια μετὰ Μίλωνος ἀγωνιούμενος.*

Tit.: *Νομεῖς. Βάττος αἰπόλος Κορύδων βουκόλος* **K**^{r} super scholiis: *Νομεῖς B. καὶ K.* **G**: *ἐπιγραφὴ* (om. **E**) *τῶν εἰς Κορύδωνα ἢ νομεῖς B. καὶ K. ἢ φιλαλήθης ἢ* (ἢ om. **E**) *B.* **UE**: *βουκολιασταὶ ἢ νομεῖς. B. K. ὑπόθεσις τῶν εἰς Κορύδωνα. φιλαλήθης ἢ B.* **P**: *ἡ ὑπόθεσις τῶν εἰς Κορύδωνα ἢ νομεῖς B. καὶ K. ἢ φιλαλήθης ἢ B.* **T**: *Αἴγων* sch. III 1 a: ⟨*Αἰπολικὸν καὶ*⟩ *Βουκολικόν* arg. a: deest in **A**. super verbis poetae **K**^{r} falso posuit titulum id. V: *ὁδοιπόροι. αἰπολικόν, ποιμενικόν. βουκολιασταὶ δωρίδι. αἰπόλος Κομάτας* 2 ⟨*ἐπιγρ.*⟩ *τὸ εἰδ. τοῦτο* ⟨*αἰπ. καὶ*⟩ *βουκ.* scripsi: *τοῦτο τὸ εἰδ* ⟨*αἰπ. καὶ*⟩ *βουκ.* Ahrens: *τοῦτο τὸ εἰδ. βουκ.* **GUEA**: *τοῦτο τὸ βουκ.* **PT**: *τοῦτο βουκολιακόν* **K** 3 vulgo post *ἐστί* interpungitur, quod Ahrens mutavit. *ἐστι. Βάττος μὲν αἰπόλος, Κορύδων δὲ βουκόλος* **GUEA**: *ἐστι. Βάττου μὲν αἰπόλος, Κορύδωνος δὲ βουκολικός* **K**: *ἐστι. Βάττου μὲν αἰπόλου, Κορύδωνος δὲ βουκόλου* **PT**: *ἐπεὶ Βάττος μὲν αἰπόλος, Κορύδων δὲ βουκόλος* Ahrens in ed.: *ἐπὶ Βάττου μὲν αἰπολικόν, Κορύδωνος δὲ βουκολικόν* idem *Philol. 33, 1874, 399* 4 *ὑπὲρ* pro *πρὸς* **K** *ἀμοιβ.* om. **P** 5 *βουκόλου* ante *τινὸς* add. **PT** 6 *ἀχθῆναι* **GPT** 8 *οἱ β.—λεπτοί* **KGE** 9 *ἐν Κρ. τῆς Ἰταλικῆς* (*τῇ Ἰταλικῇ* **GUEA**) *ὑπόκεινται* **KGUEA**: *διάκεινται ἐν Κρ. τῆς Σικελίας* **PT** 10 *B.* [*μὲν*] *αἰπ. καὶ K. βουκ.* **G**: *K. αἰπ. καὶ B. βουκ.* cett. *ἀμοιβαίως πρὸς ἀλλ.* scripsi: *ἀλκεσίδου πρὸς ἀλλ.* **UEA**: *ἀλκεσίδαι* (αι rubro) **K**: *πρὸς ἀλλ.* **G** 11 *Ἰταλικῆς* **K**: *Σικελίας* cett. 12 *οἱ* **G** *οὗτος—ἀγωνιούμενος* **K**: *οὗτος δὲ πεπ. εἰς τὴν Ὀλυμπίαν διὰ* ⟨*τὸ*⟩ *ἀγωνίσασθαι μ. M.* **G**: *πεπ. οὗτος εἰς τὰ Ὀλύμπια ἀγωνίσασθαι μ. M.* cett.

c. οὐ πάντως δὲ ὁ Θεόκριτος γέγονε κατὰ τοὺς αὐτοὺς K¹·²GUEAT
χρόνους τῷ Μίλωνι, ἐπεὶ μέμνηται αὐτοῦ, ἀλλ' d. ἔστι KGUEAT
πολὺ νεώτερος, εἶγε ὁ Μίλων τὴν ξ′ πάλην νικᾷ παίδων, ὁ
Θεόκριτος δέ, ὥσπερ ἐδείξαμεν (cf. arg. III a cum adn.), κατὰ
τὴν ρκδ′ Ὀλυμπιάδα ἤκμαζεν.

e. ἀρχαιότερος οὖν ὁ Μίλων· μέμνηται δὲ αὐτῶν τῶν KGUEAPT
πραγμάτων.

3 a. ἦ πᾴ ψε: τὸ ψε οἱ Δωριεῖς ἀντὶ τοῦ σφε· ἤτοι KGUEA
ἦπού σφε, τουτέστιν ἦπου αὐτὰς ἐφ' ἑσπέρας πάσας ἀμέλγεις;

b. εἰώθασι γὰρ οἱ νομεῖς μετὰ τὸ τοῖς δεσπόταις ἀμέλξαι τὸ KGUEAT
γάλα ὕστερον καὶ ἑαυτοῖς λάθρα ἀμέλγειν.

c. ἦ πᾴ ψε: ἦπου αὐτάς· τὸ γὰρ ψε ἀντὶ τοῦ σφε PT
Δωρικῶς.

4 a. ὑφίητι τὰ μοσχία: πῶς, φησί, δύναμαι ἀμέλγειν KGUEAT
λάθρα, ὅπου γε ὁ πατὴρ τοῦ Αἴγωνος ὑποβάλλει τὰ ἴδια;

b. ἀλλ' ὁ γέρων ὑφίητι: ὑφίησιν, ὑποβάλλει. ὁ δὲ PT
γέρων οὗτος τάχα ἂν εἴη ⟨ὁ⟩ πατὴρ τοῦ Αἴγωνος.

[c.] ⟨ὑφίητι:⟩ καλλίστως τέθειται τὸ ὑφίησιν ἀντὶ τοῦ P^{m}
ὑποκάτω βάλλει.

[d.] μοσχία τοὺς ὑπομαζίους μόσχους φησί. U^{g}E^{g}

3 Paus. VI 14, 5 8 Greg. Cor. Dial. dor. 65: τὸ σφᾶς ψὲ λέγουσιν. ὡς Θεόκριτος· 'ἦπά ψε κρύβδαν τὰ ποθέσπερα πᾶσας ἀμέλγες;' τουτέστιν ἦπου αὐτάς, τὰς βόας, ἐφ' ἑσπέρας πάσας ἀμέλγεις. ib. 66: τὸ ὁμοῦ ἀμᾶ λέγουσι τρέποντες τὸ ου εἰς α καὶ τὸ ο εἰς α, ὡς ἐν τῷ ἦπα ἀντὶ τοῦ ἦπου. Apoll. Dysc. Pron. 101, 2 Schneider

1 πάντα K¹ ὁ et τῷ om. K² γέγονε K²: λέγει K¹: γεγονὼς cett. 2 αὐτοῦ ἀλλ' GUAT: αὐτῷ ἀλλ' K²E: ἀντ' ἄλλων K¹ ante corr.: αὐτοῦ ἄλλῃ K¹ rubro corr. 3 ξ′ K: ἑβδόμην (i. e. ζ′) cett. παίδων om. GUEAT 5 τὴν ρκδ′ K: ρδ′ cett. 6 οὖν ὁ GUEAT: καὶ K: δὲ P Θεοκρίτου post Μίλων add. PT μέμνηται seqq. om. P 9 ἦπού σφε Duebner: ποῦ σφε codd. ἦπου KU: ποῦ GA: om. E πάσας om. GUEA 10 ab εἰώθασι novum scholium incipit in GUEAT, cui lemma praefigunt τὰ ποθέσπερα πάσας εἰώθασι KT: εἴθισαν cett. τοῖς δεσπόταις Ahrens: τοὺς δεσπότας codd. 11 ἑαυτοῖς K: αὐτοὶ cett. λάθρα KGU: γάλα cett. 12 l. πα ψέ P καὶ ἆρα post ἦπου add. T

KGUEAT 5. *αὐτὸς δ' ἐς τιν' ἄφαντος*: *ὁ δὲ βουκόλος, φησίν, εἰς τίνα χώραν ᾤχετο ἀφανὴς γενόμενος ἤδη;*

6a. *οὐκ ἄκουσας*: *οὐκ ἀναγέγραπται ὁ Αἴγων νενικηκὼς Ὀλύμπια.*

KGUEAPT b. *ἐπ' Ἀλφειόν*: *ἀντὶ τοῦ ἐπὶ τὴν Ὀλυμπίαν· παραρρεῖ γὰρ αὐτὴν ὁ Ἀλφειός.*

GUEAT c. *Μίλων*: *τὸν Κροτωνιάτην Μίλωνά φησιν, ὃν καὶ Ἀριστοτέλης* (fgm. 477 Rose, 1556b 3—9) *πολυφάγον φησί. λέγουσι δὲ αὐτὸν εἶναι καὶ ἀνδρεῖον. ἐβρώθη δὲ ὑπὸ κυνῶν· ἐλθὼν γὰρ εἰς ὄρος καὶ εὑρών τινας δένδρον σχίζοντας, σφῆνα δὲ βαλόντας μέσον τοῦ ξύλου, θέλων ἐκβαλεῖν αὐτὸς τὸν σφῆνα ἐκρατήθη ἐκεῖ καὶ οὕτως ἐτελεύτησε.*

KGUEAT 7a. *καὶ πόκα τῆνος*: *καὶ πότε ἐκεῖνος ἔλαιον εἶδεν, ὃ κατὰ τὰ γυμνάσια ἀλείφονται; ἥκιστα γὰρ οἱ ἀγροῖκοι ἐλαίῳ χρῶνται. οὐχ ὥς τινες ἀναγινώσκουσιν ἐλαιόν, ὡς ἀραιόν, ἵν' ᾖ σημαῖνον τὸ ἀγριέλαιον, ἐξ οὗ ὁ Ὀλυμπιακὸς στέφανος σύγκειται. ἀγνοοῦσι γάρ, ὅτι ὁ Ὀλυμπιακὸς στέφανος ἐκ τῆς καλλιστεφάνου ἐλαίας λεγομένης δίδοται, ἥτις* ⟨. . .⟩ *ἀπέχει σταδίων ὀκτώ, ὥς φησιν Ἀριστοτέλης* (De mir. ausc. 51, 834a 12).

---

5 Serv. Verg. Georg. III 19 7 Athen. X 412e—413a 17 Paus. V 15, 3 sch. Ar. Plut. 586 Suid. *κοτίνου στεφάνῳ*

---

1 l.: *αὐτός ἐστιν ἄφαντος* K: *ωὐτὸς δ' ἐς τίν' ἄφαντος* G: *ωὐτὸς δ'* UEA: *αὐτὸς δέ* T 4 *Ὀλυμπιακά* K 5 l. om. KGUEA *ἀντὶ—Ὀλυμπίαν* PT: *Ὀλύμπια* K: om. cett. *παρ. γὰρ αὐτὴν* K: *παρ. γὰρ ἐκεῖσε* PT: *τὴν δὲ Ὀλυμπιάδα· παρ.* cett. 13 *ἔλαιον εἶδεν, ὃ* K: *ἐλαίῳ ἐχρήσατο* (*-ίσατο* ET), *ὡς* (*ᾧ* G) cett. 15 *ὡς ἀραιόν* om. GUEAT 17 *γάρ, ὅτι ὁ Ὀλυμπ. στέφανος ἐκ τῆς καλλιστεφάνου* K: *δέ, ὅτι οὗτος ἐκ τῆς καλλιστέως* (*-οῦς* T) cett. 18 *λεγομένης* Ahrens: *λεγόμενος* K: *γενόμενος* cett. haud pauca excidisse haec quae Aristotelis putantur verba docent: *ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν . . . . ἀπὸ ταύτης φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπίασιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. ἔστι δὲ αὕτη* (h. e. oliva initio commemorata) *παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα* (legas *ὀκτὼ* cum sch. Theocr.)

b. *τινὲς ἐλαιὸν ὀξυτόνως ἐκδεχόμενοι τὸν ἐξ ἀγριελαίας στέφανον οὕτως καλοῦσι.* GUEAT

c. *ἔλαιον ἐν ὀφθαλμοῖσιν: ἔλαιον, [ἐν] ᾧ οἱ ἀγωνιζόμενοι ἀλείφονται. ἢ ἐλαιόν τὸ ἀγριέλαιον, ὅ ἐστι κότινον, ᾧ οἱ νικήσαντες στεφανοῦνται.* PT

8. *κάρτος ἐρίσδεν: γράφεται κάλλος, καὶ ἔστι κάλλιον, ἵνα μὴ διττολογήσῃ βίην καὶ κάρτος λέγων.* KGUEAT

9. *ἔφαθ' ἁ μάτηρ: τοῦτο ἀμφίβολον· ἢ τὸν Αἴγωνα ἔφη κρείττονα εἶναι τοῦ Πολυδεύκους ἢ ἐμέ.* K

10a. *σκαπάναν: δίκελλαν ἢ ἄμην· οἱ γὰρ γυμνασταὶ τούτοις ἐχρῶντο ὑπὲρ γυμνασίας, τῇ σκαπάνῃ σκάπτοντες καὶ τὰ ἄνω μέρη τοῦ σώματος ἀναρρωννύντες [οἱ ἀθληταί].* KGUEAT

b. *κῴχετ' ἔχων σκαπάναν: σκαπάνη ἐστὶ σκαφίον, ὃ οἱ Ἀττικοὶ ἄμην λέγουσι. χρῶνται δὲ αὐτῷ πάντες μὲν οἱ ἀθληταί, μάλιστα δὲ οἱ πύκται.* PT

c. *εἴκοτι τουτόθι μῆλα: θρέμματα. λέγει δὲ τούτων τὰ κρέατα, ἵνα ἔχῃ κρεωφαγεῖν. ὅτι δὲ μῆλα οὐ μόνον τὰ* KGUEAT

---

10 Hesych. Phot. Suid. *σκαπάνη* Lex. Bachm. 365, 20 Bekk. An. gr. 301, 25 Phot. *σκαφεῖον* 17 sch. T *P* 550; AT

τοῦ ποταμοῦ ἀπέχουσα κτλ. Hercules igitur secundum Mirabilium auctorem e Pantheo loco quodam sacro prope Ilissum in Attica sito olivae *καλλιστεφάνου* malleolum Olympiam deportavit, ita ut Olympica illa oliva et Olympicum Pantheum (sch. Pind. Ol. III 60; VIII 12 a) originem ducerent ab Attica. quae narratio, licet satis multum a vulgata fabulae forma differat, cum per se bene intellegatur, reicio cum Ernesto Maass *Deutsche Lit. Zeit. 16, 1895, 682* quae vel ad Aristotelis vel ad scholiastae locos emendandos prolata sunt (cf. Hemsterhuys *Ar. Plut. 1744, 185*; Lud. Weniger *Der heil. Oelbaum in Olympia, Progr. Gymn. Vimar. 1895, 17*).

2 *οὕτως καλοῦσι* scripsi: *οὐ καλοῦσι* codd.: *οὐ καλῶς* Duebner 3 del. Wilamowitz 6 *γρ. καὶ κάλλος* (ὃ add. T) *καὶ κάλλιον* **GUEAT** 10 *δίκ. ἢ ἄμην* **K**: *ἢ δίκ. ἢ λισγάριον* **G**: *ἤγουν δίκ. ἢ λισγάριον ἢ σκαφίον, ὃ οἱ Ἀττικοὶ* (ὃ Ἀττικῶς **U**, ὃ Ἀττ . . . **A**) *ἄμην λέγουσι* cett. 11 *γυμνασίαν* **K** 12 *ἀναρρωννύντες* **K**: *ἀναδύοντες* cett. extrema praeterm. Call., cf. sch. b 17 *κρεωφαγεῖν* Apogr. Barb.: *κρεωσφαγεῖν* **G**: *κρέα φαγεῖν* **UEAT**: *κρεωσασχεῖν* **K**: *κρέως ἔσθειν* vel *ἐσθίειν* caute prop. Ahrens

πρόβατα, ἀλλὰ καὶ πάντα τὰ θρέμματα, λέγει Ὅμηρος (*P* 550)· 'ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει'· οἱ γὰρ ἀρχαῖοι βοείοις ἐχρῶντο κρέασιν.

PT d. μῆλα δὲ τὰ πρόβατα. ἐκ δὲ τούτου τὰ κρεατά φησιν, ἵν' ἔχῃ τρώγειν.

KQUEAT e. τουτόθι μᾶλα: ἐντεῦθεν μῆλα. αὐτὸν δὲ τὸν καρπὸν τῶν μήλων λέγει, καθὰ καὶ Μίλων ῥοιὰν ἔχων ἠγωνίζετο.

11 a. τὸ λυσσᾶν ἴδιον τῶν κυνῶν· ἀλλ' ἴσως λέγει, ὅτι πείσει καὶ τοὺς λύκους τὸ παρὰ τὴν συνήθειαν ὑπομεῖναι. φησὶν οὖν, ὅτι καὶ τοὺς λύκους ἐκμήναι ἂν ὁ Μίλων, ὅπου γε καὶ τὸν Αἴγωνα τὸν ἀγροῖκον ἐπὶ τὸν ἀγῶνα ἀποδύσασθαι ἠνάγκασεν.

PT b. πείσαι τοι Μίλων: καὶ τοὺς λύκους τὰ τῶν κυνῶν ἤθη ἀπομάξασθαι καὶ λυσσᾶν πείσει ὁ Μίλων, ἐπεὶ ἐργάτην ἀθλῆσαι ἔπεισε.

$U^{E}E^{E}$ c. ⟨λυσσᾶν:⟩ ἤγουν τὰ τῶν κυνῶν ἤθη ἀναδέξασθαι.

KQUEA 12. δαμάλαι: αἱ νέαι βόες αἱ εἰς τὸ δαμασθῆναι ἐπιτήδειαι.

$KU^{E}E^{E}$ 13. ὡς κακὸν εὗρον τὸν βουκόλον, τὸν Αἴγωνα, διότι κατέλιπεν αὐτάς.

K 14. λῶντι νέμεσθαι: καὶ οὐκέτι θέλουσι νέμεσθαι, δηλονότι ζητοῦσαι τὸν Αἴγωνα.

KQUEAT 15. τᾶς πόρτιος: πόρτιας τὰς ἀκμαζούσας βοῦς, ἐφ'

Δ 476; A *K* 485 Apoll. Lex. Hom. 112, 17 Bekker Hesych. Phot. Suid. μῆλα Lex. Bachm. 300, 25 Et. M. 584, 3 Eust. 877, 51 cf. A. Roemer *Philol. 70, 1911, 333—37.*

---

2 οἱ γὰρ seqq. post κρεοφαγεῖν in libris leguntur, unde transposui 6 ἐντεῦθεν K: ἐνταῦθα cett. αὐτὸν δὲ om. GUEAT 10 ἐκμήναι ἂν Ahrens: ἐκμήνη ἂν K: ἐκμῆναι ἂν ποιήση cett. 11 ἀποδ. ἠν. K: κατην. ἀποδ. G: ἐπαποδ. κατην. cett. 13 καὶ τὼς λύκως pro lemmatis parte habet T καὶ iterum post λύκους in P 19 κακὸν K: σκαιὸν UE ἢ τὸν Κορύδωνα post Αἴγωνα add. UE 22 ζητῆσαι cod., corr. Call. 23 voce πόρτιας omissa τῆς ἀκμαζούσης βοός, ἐφ' ἧς (ἣν G) — ἢ τῆς—λούσης GUEAT

ὡς οἷόν τε τοὺς ταύρους πορεύεσθαι, ὅ ἐστιν ὀχεύεσθαι· ἢ τὰς ἐν τῷ πόρῳ, τουτέστιν ἐν τῇ ὁδῷ, ἰούσας.

16 a. πρῶκας: τὴν σταγόνα τῆς δρόσου. Καλλίμαχος (H. Apoll. 40 sq.)· 'ὥς κεν ἐκεῖναι πρῶκες ἔραζε πεσοῦσαι.' ⟨. . .⟩ '†προίκιον ἐκδακερος† εἶδαρ ἔδων' (Callimachi fgm. 542 Schneider, II 683).

[b.] μὴ πρῶκα σιτίζεται: πρὼξ εἶδος βοτάνης, ἥτις ἀναφύει ἅμα τῷ φανῆναι τοὺς τέττιγας. λέγεται δὲ πρὼξ καὶ ἡ δρόσος. PT

c. ⟨πρῶκας:⟩ πρωϊνὴν δρόσον. K^{s}

d. πρὼξ ἡ δρόσος ἀπὸ τοῦ πρωΐ πέμπεσθαι. E^{s}

[17 a.] ⟨οὐ Δᾶν:⟩ οὐ μὰ τὴν Γῆν· οἱ γὰρ Δωριεῖς τὸ ᾱ εἰς ᾰ τρέπουσιν. U^{s}E^{s}

b. Αἴσαρος ποταμὸς παραρρέων τὴν Κρότωνα. ἔστι δὲ καὶ ἄλλος, ποταμὸς Σικελίας. KGUEAT

---

1 sch. B *P* 4 2 Et. Gud. 476, 35 Sturz Et. Or. 125, 20 Et. M. 684, 1 3 Greg. Cor. Dial. dor. 93: *τὴν σταγόνα τῆς δρόσου πρῶκα λέγει ἡ Δωρίς.*

---

1 *πορεύεσθαι ὅ ἐστιν ὀχεύεσθαι* Wilamowitz: *πορεύεσθαι ὅ ἐστι στείχεσθαι* Jacobs (XXXV): *στείχεσθαι ὅ ἐστι πορεύεσθαι* K: *στείχεσθαι* cett. sensu diverso in scholio Homerico est *πορεύεσθαι καὶ βαίνειν* 4 *πεσοῦσαι* KGU: *πεσοῦνται* cett. apud Callimachum legitur: *ἐν ἄστεϊ δ' ᾧ κεν ἐκεῖναι πρῶκες ἔραζε πέσωσιν.* alterum versum ab altero primus seiunxit Heinsius (321). cum verba quaedam deesse manifestum sit, de posterioris versus auctore non constat; Toup enim non satis fecisse mihi videtur, cum lacunam una *καί* particula expleret 5 vox *προίκιον* (*προΐκαν* G), cum huic loco minime conveniat, multum a vv. dd. vexata est. sufficiat laudasse emendationem Ahrensii, qui, cum aliquam vocis *πρώξ* formam desideraret, *πρώκιον* adiectivum (*πρώκινον* maluit Schneider) ipse sibi finxit. conicias etiam scholiastam *προίκιον* falso derivasse a *πρώξ*, nisi forte in iis quae interciderunt de voce *προίξ* egerit. *ἐκδακερος* K(accentus evanuit, *ἐκ δ' ἄκες* Apogr. Ambr., *ἐκδάκες* Apogr. Barb.): *ἐκδικέρως* (*-νκ-* G) cett.: *ἐνδυκέως* Casaubon (249), quem vv. dd. omnes secuti sunt. suspiceris *ἐκ δάκρεος* coll. Epim. Hom. (Cram. An. Ox. I 121, 1) et Pind. fgm. 122, 3 Schroeder 12 *μὰ Γῆν* P^{s} 15 *δὲ* om. KG

PT c. *ἐπ' Αἰσάροιο: Αἴσαρος ποταμὸς διὰ μέσης τῆς πόλεως τῶν Κροτωνιατῶν ῥέων εἰς τὴν θάλασσαν.*

KGUEAT 18 a. *κώμυθα δίδωμι: κώμυς ἡ δέσμη, ὡς Κρατῖνος* (fgm. 299 Kock *Com. att. fgm. I 99*)· *'ὁ δὲ μετ' Εὐδήμου τρέχων κώμυθα τὴν λοιπὴν ἔχων τῶν †πρωων†'.*

PT b. *κώμυθα: τὸ δεμάτιον.*

KGUEAT 19 a. *σκαίρειν κυρίως τὸ σκιρτᾶν, ἀφ' οὗ καὶ σκάρις· νῦν δὲ τὸ νέμεσθαι. ἔνθεν καὶ σκαρθμὸς ὁ ποὺς παρ' Ἀράτῳ* (Phaen. 281).

KU^{E}E^{E} b. *Λάτυμνον: τῆς Λακωνικῆς ὄρος ⟨ἢ⟩ περὶ Κρότωνα.*

PT c. *Λάταμνον: ὄρος Κρότωνος. βαθύσκιον δὲ τὸ ἄγαν σύνδενδρον. γράφεται δὲ καὶ βαθύσχινον.*

KGUEAT 20—22 a. *ὁ πύρριχος: τινὲς παροξυτόνως πυρρίχος. ἔστιν οὖν ὑποκοριστικὸν Αἰολικόν· τὸ γὰρ καθ' ἡμᾶς, πύρ-*

---

3 Hesych. Phot. Suid. *κώμυθα* Georg. Choer. sch. Theod. Alex. Can. 224, 9; 331, 13 Hilgard sch. Luc. 215, 2 Rabe Et. M. 532, 6 (cf. Gen.) 7 Hesych. *σκαίρει* Athen. VII 324 d sch. AB *N* 31 Et. M. 398, 24 (cf. Gen.) Et. Gud. 502, 35 Sturz Et. Or. 148, 36 Eust. 352, 2; 1663, 35

---

3 *κώμυς* **K**: *κώμυθος* cett. post *δέσμη* **T** inseruit sch. b *Κρατῖνος* **K**: *Καρτῖνος* cett. 4 *Εὐδήμου — κώμυθα* Meineke *Fgm. com. graec., ed. min. I 75*: *εὐδήμου — κώμυθος* codd. 5 *λύπην* e coni. **G** *ἔχει* Call. *πρῶων*, id quod *πατρῴων* significare Adert suspicatur, **UEAT**: *Τρώων* e coni. **G**: in **K** perspicuae sunt litterae exeuntes *ων* nec praecedentium vestigia non quadrant in *πρω*. cum vero Apographi Ambrosiani auctor ultra *τ* primam articuli litteram progressus non esset, eiusdem libri corrector de suo arbitrio supplevit *ῶ στεφάνω*, unde ea quae vulgo leguntur in Apographum Barberinum et Calliergis editionem manarunt. 7 *σκαίρειν τὸ σκιρτᾶν* **K**: *σκαίρει ἀντὶ τοῦ σκιρτᾶ* cett. *κυρίως* cum Ahrensio recepi e verbis *κυρίως δὲ τὸ σκιρτᾶ*, quae in **GUEAT** post *νέμεσθαι* leguntur 8 *νέμεσθαι* **K**: *νέμεται* cett. *ἔνθεν* tacite Gaisford: *ἔνθα* **K**: *ὅθεν* cett. 10 *τῆς Λακωνικῆς ὄρος* **K**: *ὄρος Λακωνικὸν* **UE** et **K^{E}**: *τῆς Λευκανικῆς* vel *Λευκανίας ὄρος* Ahrens. malui addere *ἢ* 11 *Λάταμνος* **P** *βαθύσκιον — βαθύσχινον* scripsi e libris **UE**, qui lectioni *βαθύσκιον* adscribunt glossam *ἄγαν σύνδενδρον*: *-σχινον — -σκιον* **P**: *-σκιον — -σκιον* **T** 14 *Αἰολικόν* **KG**: *-ῶς* cett. *πύρριχος καθ' ἡμᾶς* Geel, *καθ' ἡμᾶς πυρρὸς* Ahrens

ριχος [ὀσκάριος]. τινὲς δὲ πύρριχον Ἠπειρωτικὸν ἤκουσαν ἀπὸ Πύρρου τοῦ ἐκεῖ βασιλεύσαντος· δοκοῦσι δὲ οἱ βόες ἐκεῖνοι λείψανον εἶναι τῶν Γηρυονείων.

b. πύρριχος δὲ κατά τινας ὁ εὐκίνητος ἀπὸ τοῦ πυρὸς BUEAT
εὐκινήτου ὄντος. τινὲς δὲ τὸν πυρρὸν κατὰ τὴν χροιὰν ὀνομάζουσιν.

c. κακοχράσμων γὰρ ὁ δᾶμος: τῶν Λαμπριαδῶν KUEAT
δηλονότι. ὡς δυσμενῶς ἔχων ὁ Βάττος πρὸς τοὺς φυλέτας τοὺς Λαμπριάδας φησίν· εἴθε, ὅταν θύωσι τῇ Ἥρᾳ οἱ δημόται τοῦ Λαμπριάδου καὶ κρέα νέμωνται, τοιοῦτον λαχόντες θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῆς θεοῦ — ἢ ἵνα μὴ προσδεχθῇ ὑπὸ τῶν φυλετῶν τὸ θῦμα — καὶ ζημιωθῇ [ὁ Λαμπριάδης] ὁ δῆμος, ὡς κακούργου ⟨καὶ⟩ λοιδόρου ὄντος τούτου τοῦ δήμου — ἢ ὁ Λαμπριάδης, ἐξ οὗ ὠνομάσθη ὁ δῆμος.

d. τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται: ὁ τῶν Λαμπρι- PT
αδῶν δῆμος ἀπό τινος Λαμπρίου. εἴθε, φησίν, ὅταν θύωσιν οἱ Λαμπριάδαι τῇ Ἥρᾳ, τοιοῦτον θύσαιεν, ἵνα μὴ προσδεχθῇ αὐτῶν ἡ θυσία ὑπὸ τῆς Ἥρας.

---

1 Arist. Hist. an. VIII 7, 595 b 18 Plin. Hist. nat. VIII 176
5 Greg. Cor. Dial. dor. 106: *πύρριχος ὁ πυρρὸς λέγεται παρ' αὐτοῖς.*

---

1 delevi vocem miram; *σκάρις* e scholio 19 a huc irrepsisse videtur *πύρριχον* Call.: *-ος* codd. *Ἠπειρωτικὸν* **K**: *-ὸς* (**G**): *-ῶς* cett. 3 adhaerent in codd. verba *τῶν Λαμπριαδῶν δηλονότι*, quae Geel post *οἱ βόες ἐκεῖνοι*, rectius Ahrens post lemma scholii c in **K** proxime subsequentis transponi iusserunt 5 *ὁ πυρρός* K^{E} 7 de verbis *τῶν Λαμπρ. δηλονότι* v. not. ad sch. a 9 *τοὺς Λαμπριάδας* **K**: *τοῦ Λαμπριάδου* cett. *οἱ δημ. τοῦ Λαμπρ.* om. **UEAT**, post *νέμωνται* transp. Ahrens 10 *τοῦτόν λοχοῦντες θύσουσιν* **K** 12 *ἢ ἵνα—θῦμα* om. **K** 13 *ὁ Λαμπριάδης ὁ δ.* **K**: *ὁ Λαμπριάδου δ.* cett. *ὁ Λ.* del. Wilamowitz *κακούργου λοιδόρου* **K**: *κακοῦ* cett. *καὶ* add. Wilamowitz 14 *ὁ Λαμπρ.* om. **K** duplici modo Theocriti locum explicari posse enarrator putat: aut Battum optare, ut Lampriadarum gens a Iunone puniatur, aut ut ipse Lampriades a gentilibus

KUEAT e. *κακοχράσμων*: ἢ ὁ ταῦρος ἢ ὁ δῆμος, ἀντὶ τοῦ κακὸς εἰς χρῆσιν· ἦν γὰρ τάχα κερατιστής. τοῦτο δέ φησι διὰ τὸ εἶναι αὐτὸν λεπτόν.

K^{E} f. ⟨*κακοχράσμων:*⟩ *πονηρός, δύστροπος.*

P g. *κακοχράσμων: δύστροπος, δύσχρηστος, δυσάρεστος.*

KBUEAT 23 a. *ἐς στομάλιμνον: τὰς εἰς θάλασσαν ἐστομωμένας λίμνας οὕτως φασί. καὶ τὴν ἐν Τροίᾳ δὲ Στομαλίμνην πιθανὸν διὰ τοῦτο ὠνομάσθαι.*

PT b. *ἐς στομάλιμνον: εἰς στόμα λίμνης ὃν περὶ τὴν Κρότωνα. λέγουσι δὲ καὶ τὰς εἰς θάλασσαν ἐστομωμένας λίμνας.*

KU^{E}E^{E} c. *ἔς τε τὰ Φύσκου: ὡς τοῦ Φύσκου ὄρους νομὰς ἐπιτηδείας τοῖς βουσὶν ἔχοντος.*

U d. [*τᾷ Ἥρᾳ τοιόνδε:*] *ἰστέον ὅτι νομὰς εἶχεν οὗτος ὁ τόπος καὶ βουσὶν ἐπιτηδειοτάτας.*

P e. *τὰ Φύσκω: Φύσκος ὄνομα τόπου.*

KBUEAT 24 a. *Νήαιθος ποταμὸς Κρότωνος. ὠνόμασται δέ, παρόσον ἐν αὐτῷ νῆάς ποτε λέγουσι κατακαῆναι Ἑλληνικάς.*

PT b. *Νήαιθος ὄνομα τόπου ἀπὸ τοῦ ναῦς καὶ τοῦ αἴθω τὸ καίω, ἐν ᾧ πολλαὶ νῆες τῶν Ἑλλήνων ἐφθάρησαν.*

KBUEAPT 25 a. *αἰγίπυρος: ἀκανθῶδες φυτόν.*

b. *κνύζα: κόνυζα· φυτὸν χορτῶδες, ὃ αἱ Θεσμοφοριάζου-*

---

4 Greg. Cor. Dial. dor. 107: *καὶ κακοχράσμων ὁ δύστροπος.* 6 Strab. XIII 595. 597 Eust. 1649, 58 16 sch. Lyc. 297, 10 Scheer Et. M. 598, 38 (cf. Gen.) 20 Hesych. *αἰγίπυρος· βοτάνης εἶδος [ἢ κάραβος].* 21 sch. VII 68 a cum loc. sim.

---

2 *κερατιστής* Jacobs (XXXV): *κεράστης* codd. 7 *τὸ ἐν Τρ.* Call. *Στομαλίμνην* Casaubon *Strab. Rer. geogr. ll. 1620 Comm. 86*: *στόμα λίμνης* codd. *πιθανὸν διὰ* Ahrens: *πιθανῶς δὲ* codd. 8 *ὠνομάσθαι* K: *ὠνόμαστο* GE(A?): *ὠνόμασται* T: evan. in U 9 *εἰς στ. λ.* P^{s}: *ὡς στ. λ.* PT *ὃν* T: *δν* P: *ὃ* tacite Ziegler (100) *τὴν* Call.: *τὸν* codd. 10 *λέγει* codd. *λίμνας* om. P 11 *Ταφύσκου* bis K 12 *τοῖς βουσὶν* om. UE *ἔχοντας* K 13 sch. recte ad hunc locum Adert rettulit 17 *Ἑλληνικάς* om. K 18 *ἀπὸ* seqq. om. T 21 *κόνυζα* K: *κνίζα* GUEAT: om. P *ᾧ* P

σαι διὰ τὴν ἁγνείαν στιβαδοποιοῦνται. δοκεῖ γὰρ ἡ βοτάνη ψυκτικὴ οὖσα ἐπέχειν τὰς πρὸς συνουσίαν ὀρέξεις.

72/73 a. *δρῇς φίλε τῶ Συβαρίτα*: *τὴν Θουρίαν ταυ-* GLEAT
τήν φασιν εἶναι τῇ Συβάρει, ἄλλοι ἑτέραν καὶ ἑτέραν.

---

13 Append. Prov. II 1: *δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται· γράφεται καὶ ξυλοχίσδεται Δωρικῶς.* Paroemiographi alii (Apost. VI 36) 23 sch. 1 c

---

1 [*ἐν*] *ἃ* scripsi: *ἐν ᾧ* codd.: *ἐν οἷς* Duebner. Toup ante *ἐν* suppl. ⟨*σκαφίς· ἀγγεῖον*⟩, Ahrens tradita interpretatur 'quo circumscribuntur *μελικηρίδες*'. 3 *λείπει χώραν* K^{E}, *λείπει* deest in scholio 11 *προσχρήζω* P: *χρήζω* cett. 12 *ξύλου* P 13 *γράφεται* G: *γράφει* K: om. cett. 16 *ξυλοχίζει* P 19 *περιΐδῃς* K: *παριδῃς* cett. 24 G add. in fine: *πλησίον μέντοι ἀλλήλων εἰσίν*

PT b. ἄδε τοι ἁ πολίμνα τῶ Θουρίω ἐστὶ Σιβύρτα, Εὐμάρα δὲ τὰς αἶγας ὀρῇς φίλε τῶ Συβαρίτα: ἄλλη Σύβαρις καὶ ἄλλη Θουρία· οὗτος γὰρ διΐστησι.

KGLEAT 74. μή τύ τις ἠρώτα: τοῦτο ὁ Λάκων φησὶν ἀγανακτῶν ἐπὶ τῷ προπετεῖ καὶ περιέργῳ τῆς γλώσσης αὐτοῦ.

78/79 a. [εἶα λέγ', εἴ τι λέγεις] ⟨τὸν ξένον ἐς πόλιν αὖθις ζῶντ' ἄφες:⟩ ἔτι καὶ νῦν τοῖς δι' ὄχλου τινὶ γινομένοις εἰώθαμεν τοῦτο λέγειν· ἄνες ποτὲ τὸν ἄνθρωπον. λέγει δὲ [τοῦτον] τὸν ξένον τὸν παρακληθέντα κρῖναι.

EAT b. ζῶντ' ἄφες: τοῦτό φησι θέλων σκῶψαι αὐτὸν τὸν αἰπόλον, ὡς ἀηδές τι μέλλει λέξαι καὶ ἴσως ἂν ἐκ τῆς ἀηδίας καὶ ὁ Μόρσων ἡμιθνὴς γενήσεται ἢ καὶ τέλος θάνῃ. ἢ ζῶντ' ἄφες ἀντὶ τοῦ ταχύν, ἀπὸ τοῦ ζέω· τοὺς γὰρ ταχεῖς ζέοντας καὶ θερμοὺς λέγουσι. ταῦτα δέ φησιν ὁ Λάκων ὡς διαλεγομένου τοῦ αἰπόλου τῷ Μόρσωνι.

PT c. καὶ τὸν ξένον ἐς πόλιν αὖθις ζῶντ' ἄφες: τουτέστιν, ἵνα μὴ ὑπὸ τοῦ μέλους ὥσπερ ὑπὸ τῶν Σειρήνων κρατηθεὶς ἀπόληται. τοῦτο δὲ εἰρωνικῶς φησιν.

P [d.] ὦ Παιάν: ὦ τοῦ θαύματος.

GLUEAPT 80/81. ταὶ Μοῖσαί με φιλεῦντι: ἀρχὴ τῆς ᾠδῆς Κομάτα. φησὶ δὲ αὐτὸν μᾶλλον ὑπὸ τῶν Μουσῶν φιλεῖσθαι ἢ τὸν Δάφνιν.

82. καὶ γὰρ ἔμ' Ὠπόλλων: εἶτα ὁ Λάκων λέγει· καὶ γὰρ ἐμὲ ὁ Ἀπόλλων φιλεῖ.

KGLUEAT 83 a. τὰ δὲ Κάρνεα: Πράξιλλα (fgm. 7 Bergk *Poet. lyr. gr. III*⁴ *568*) μὲν ἀπὸ Κάρνου φησὶν ὠνομάσθαι τοῦ

---

1 sch. 1 d 25 ad sch. a—d cf. Kalkmann *Pausanias der Perieget, 1886, 211—213;* Wentzel Ἐπικλ. θεῶν, *Diss. ph. Gott. 1889, VII 27. 36*

---

4 l.: ut supra **K**: τῶ Θουρίω ἐστὶ Συβάρτα cett. 5 περιέργῳ Reiske: παρέργῳ codd. αὐτοῦ om. **GLEAT** 6 rectum l. revocavi 7 τινὶ **K**: τινὸς cett. γενομένοις **K** 9 del. Wilamowitz 21 ἑαυτὸν **PT** μᾶλλον om. **GLUEA** 25 Πράξιλλα Hemsterhuys et Warton: Πραξίλλας codd. 26 Κάρνου **K**: Κάρνης **G**: Καρνίου (vel -είου) cett.

Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τοῦ Ἀπόλλωνος· Ἀλκμὰν (fgm. 103 Bergk *ib. 67*) *δὲ ἀπὸ Καρνέου τινὸς Τρωϊκοῦ· Δημήτριος* (fgm. 2 Gaede *Demetrii Scepsii quae supers., Diss. ph. Gryph. 1880, 18*) *δὲ ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστιν ἐπιτελέσαι. φησὶ γάρ, ὡς Μενέλαος στρατεύσας εἰς Ἴλιον ηὔξατο τιμῆσαι αὐτόν, ἐὰν κρηήνῃ.*

b. *Κάρνεα: Κάρνεια ἑορτὴ τελουμένη τῷ Καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔφησε τοῖς Ἡρακλείδαις· ἀπὸ δ' αὐτοῦ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ* (fgm. 321 Grenfell-Hunt *Hellenic. Oxyrh.*)*· ὅτι τὸν αὐτὸν καὶ Δία καὶ Ἡγήτορα καλοῦσιν Ἀργεῖοι διὰ τὸ κἀκεῖνον ἡγήσασθαι τοῦ στρατοῦ. τὸν οὖν Κάρνον οἱ Ἡρακλεῖδαι ἀπέκτειναν κατερχόμενοι εἰς Πελοπόννησον ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος· ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι.*

c. *οὗτος ὁ Κάρνος μάντις ὢν εἵπετο τοῖς Ἡρακλείδαις* KGLUEAPT *ἄσημα τούτοις μαντευόμενος· ὄντινα ἐκτραπεὶς εἷς τῶν Ἡρακλειδῶν, Ἱππότης ὄνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. δι' ὃν λοιμὸς ἐπεκράτησε τὴν Πελοπόννησον. ἀπελθόντες δὲ ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος τιμῆσαι Κάρνειον Ἀπόλλωνα· καὶ τοῦτο ποιήσαντες ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν*

---

1 τοῦ Ἀπόλλωνος K: τῷ Ἀπόλλωνι cett. 3 τραγικοῦ K 5 τελέσαι LEAT, τελειῶσαι U 6 κραῖνη Call., κράνῃ Ahrens 7 post ἑορτὴ add. *Δωρικῶς* (G)LUEA, *Δωρικὴ* T *Κρανίῳ* et *Κράνειον* LUEA 8 ἔχρησε T 10 Θεοπέμπτῳ KGE 11 ὡς *Δία* Ahrens 12 *κἀκεῖνον* KU: *Κρανεῖον* GLEA: *Κάρνον* T 13 *κατερχόμενοι* Ziegler pro *-ον* codicis K ut antea *ἀπερχόμενοι* Duebner pro *-ον* ceterorum 15 ultima inde ab ὃν post sch. 97 a habet G *λοιμοῦ* GLT: *λιμοῦ* cett. *φθειρόμενοι* KGT: *-ον* cett. 16 praem ἢ *μᾶλλον* KGLUEA: *τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει· ἑορτὴ Ἀπόλλωνος Καρνείου. Κάρνεα δὲ ἐλέγετο ἀπό τινος Κάρνου* P(T) *εἵπετο* PT: *εἶπε* cett. 17 *εὔσημα* PT 18 *διὸ* P *λιμὸς* K, T ante corr. 19 *ἐγίνετο* (*ἐγένετο* T) *ἐν τῇ Πελοποννήσῳ* PT post *ἐπεκράτησε* Ahrens haec fere intercidisse putat: ⟨*κατὰ τὸν στρατὸν τῶν Ἡρακλειδῶν καὶ ἠνάγκασεν αὐτοὺς ἀπολιπεῖν*⟩ 21 *λιμοῦ* K

μέχρι τοῦ παρόντος καὶ οὗτοι καὶ οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις διὰ τὸν λοιμὸν ἐπιτελοῦσιν.

GLUEAT d. τὰ δὲ Κάρνεα: ἔστιν ἑορτὴ Διὸς Κάρνεια ὀνομαζομένη. παρ' Ἕλλησι δὲ τελεῖται διὰ τὸ τὸν δούρειον ἵππον ἐκ κρανείου εἶναι ξύλου.

KGL^{E}U^{E}E^{E} 85 a. καί μ' ἃ παῖς ποθορεῦσα: ἡ Ἀλκίππη· αὕτη γάρ ἐστιν ἐρωμένη τοῦ Κομάτα.

KGUEAT b. ποθορεῦσα: Αἰολικόν· ὤφειλε γὰρ ὁρῶσα διὰ τοῦ ω̄ τῆς δευτέρας συζυγίας.

PT c. καί μ' ἃ παῖς ποθορεῦσα: καί με ἡ ἐρωμένη προσβλέπουσα.

KGL^{E}U^{E}E^{E} d. 'τάλαν' λέγει: ᾤκτειρε γὰρ ἰδοῦσα καὶ εἶπεν· ὦ τάλαν, πάσας μόνος ἀμέλγεις;

KGUEA 86/87 a. τὸ φεῦ φεῦ ἐπὶ θαύματι κεῖται.

GU^{E}E^{E}P b. φεῦ φεῦ: θαυμαστικὸν ἢ σχετλιαστικόν.

KGUEAPT c. ταλάρως δὲ καλαθίσκους, ἐν οἷς τυροῦται τὸ γάλα.

KGU^{E} d. περὶ αὐτοῦ δὲ τὸν λόγον ποιεῖται ὁ Λάκων τῇ κακοεννοίᾳ ἑαυτὸν παιδοπίπην εἰσάγων.

UEAT e. ἐν ἄνθεσι: ἐν ἄνθει τῆς ἡλικίας χαίρει. τοῦτο δὲ εἶπεν ὡς ὄντος αὐτοῦ παιδεραστοῦ.

---

16 Hesych. Phot. Suid. τάλ. Poll. X 125

---

1 μέχρι τοῦ παρόντος om. **PT** 2 ἑτέραν χώραν ἐπετέλουν διὰ τὸν λοιμόν **PT** λιμὸν **K** pro διὰ τὸν λοιμὸν coni. εἰς τὸ λοιπὸν Geel, ἀεὶ τὸ λοιπὸν Ahrens 3 fort. post ἑορτὴ supplenda: Ἀπόλλωνος ἀπὸ Κάρνου τοῦ. Ἀπόλλωνος pro Διὸς scribi vult Kalkmann l. l. 213 4 δούρειον **GT**: θούρειον (vel -ιον) cett. 7 ἐστιν om. **K** 8 ὤφειλε seqq. om. **K** ὁρῶσα **T**: ὥρησα **GUEA** 9 ω̄ Adert: η̄ codd. Ahrens praetulit: ὤφειλε γὰρ ω̄σα διὰ τὸ εἶναι κτλ. 12 καὶ εἶπεν seqq. om. **LUE** 13 μόνας **K** 14 θαύμα . . . ultimis evanidis **K**, θαύματος **K**^{E} 15 ἐπίρρημα σχετλ. sine θαυμ. **G** ἢ σχετλ. om. **P** 16 **G** in fine add. ἢ τὰ ἀγγεῖα ἐν οἷς πεπήγασι (leg. πηγνύασι) τὸν τυρόν 17 κακοεννοίᾳ **K**: κακονοίᾳ **U**: Λακωνικῇ **G**: κακῇ ἐννοίᾳ ut **Apogr. Barb.** tacite Ziegler 18 παιδοπίπην Ziegler: -πίπονα **K**: -πίπτειν **GU**

f. τὸ μὲν ἔξω· τοῖς ἄνθεσι τοῦ τυροῦ τὸν παῖδα τοῖς χείλεσι παραχρίει. τὸ δὲ ἔσωθεν· ἐν τοῖς ἀνθώδεσι τόποις τὸν ἄνηβον παῖδα μολύνει ἀντὶ τοῦ βινεῖ. GUEAT

88 a. βάλλει καὶ μάλοισιν: ἀντὶ τοῦ· πειρᾶται με εἰς ἔρωτα ἐπαγαγέσθαι· τὸ γὰρ μῆλα βάλλειν ἐπὶ τούτου ἔτασσον. KGUEAT

b. ἃ Κλεαρίστα: ἡ Ἀλκίππη ἡ ἐρωμένη αὐτῷ ὡς θυγάτηρ Κλεαρίστου. PT

[89 a.] ⟨ποππυλιάσδει:⟩ ἀπὸ τοῦ ποππύζω παραγωγόν. $U^{E}E^{E}P^{E}$

[b.] ποππυλιάσδει: ποππύζει. PT

[90.] λεῖος ὑπαντῶν: ἡδύς.

91 a. ⟨ἐκμαίνει:⟩ τουτέστιν ἀνάπτεσθαι ποιεῖ με ὑπὸ τοῦ ἔρωτος. L^{E}

b. ⟨ἐκμαίνει:⟩ ἐρᾷ· τὸ πολὺ δὲ τοῦ ἔρωτος δηλοῖ διὰ τοῦ ἐκμαίνει. $U^{E}E^{E}$

c. ἐκμαίνει: ἐκμαίνεσθαι ποιεῖ. PP^{m}

92 a. συμβλητὰ ἀντὶ τοῦ συγκρίσεως ἄξια. λέγει δὲ τὴν διαφορὰν τῆς θηλείας ἀπὸ τοῦ ἄρρενος. KGU^{E}E^{E}

b. οὐ συμβατά, οὐ συγκρίσεως ἄξια. P

c. κυνόσβατος: φυτάριον ὅμοιον ῥοιδίῳ ἔχον τὸν καρπόν. ἔστι δὲ μεταξὺ θάμνου καὶ δένδρων, παρόμοιον ταῖς ῥοιαῖς, ⟨τὸ δὲ φύλλον⟩ ἀκανθῶδες· οὕτως φησὶ Θεόφραστος (Hist. plant. III 18, 4). ἔστι δὲ ὁ κυνάκανθος. KGUEAT

---

3 Hesych. μολύνει· μιαίνει, ἀναφύρει, πίμπλησι. 4 Hesych. Phot. Suid. μήλῳ βαλεῖν sch. Ar. Nub. 996 Diogen. VI 63 16 Suid. συμβλητά 19 Athen. II 70 d Diosc. Mat. med. I 94

---

5 μῆλα K: μήλοισι G: μῆλον cett. τούτου Ahrens: τούτοις codd. 6 Ἀλκίππη T: λεύκη P ἡ ἐρωμένη, ὄνομα K^{E} 16 οὐ συμβεβλημένα, ἀσύγκριτα E 18 σύμβαντα cod., correxi 19 Theophrasti verba haec sunt: τὸ δὲ κυνόσβατον τὸν καρπὸν ὑπέρυθρον ἔχει καὶ παραπλήσιον τῷ τῆς ῥόας· ἔστι δὲ θάμνου καὶ δένδρου μεταξὺ καὶ παρόμοιον ταῖς ῥόαις, τὸ δὲ φύλλον ἀγνῶδες (v. l. ἀκανθῶδες). ῥοιδίῳ Ahrens: ῥοιᾷ ex Athenaeo Warton: ῥόδῳ (-ον T) codd. hoc defendit Duebner verbis ἔχον τὸν καρπόν post δένδρων traiectis; confundi enim, ut Salmasius *Exerc. de homonymis hyl. iatr. 1689, 24* recte observasset, κυνόρροδον et κυνόσβατον una descriptione 21 ῥοδέαις K suppl. Ahrens οὕτως K: ὡς cett. 22 ἔστι seqq. om. K

$E^{E}PT$ d. κυνόσβατος: ἄγριον ῥόδον.

KBUEAT e. ἀνεμώνα: τὴν ἀνεμώνην Νίκανδρός (fgm. 65 Schneider *p. 68*) φησιν ἐκ τοῦ Ἀδώνιδος αἵματος ῥυῆναι. Κρατεύας (cf. Wellmann *Abh. d. Ges. d. Wiss. zu Gött., Phil.-hist. Kl. N. F. 2, 1897, 30*) δὲ δύο φησί, τὴν μὲν ἄνθος ἔχουσαν μέλαν, τὴν δὲ φοινίκεον. Σωσίβιος (fgm. 21 Mueller *Fgm. hist. gr. II 629*) δὲ παρὰ Λάκωσι τὰς ἀνεμώνας φαινίδας καλεῖσθαί φησι.

PT f. ἀνεμώνα: ἄνθος ἄνοδμον, ὃ φασιν ἀναδοθῆναι ἐκ τοῦ αἵματος Ἀδώνιδος.

$U^{E}E^{E}$ [g.] ⟨ἀνεμώνα:⟩ ὁ πετεινὸς καλούμενος, ὃς ἐστι βοτάνη, ἤγουν ἡ κουτζουνάδα.

BUEAT 93 a. πρὸς ῥόδα: ῥόδον παρὰ τὸ θᾶττον ἀπορρεῖν· ῥοῶδες γάρ ἐστιν ἤτοι συντόμως φθειρόμενον. ἢ ⟨ἀπὸ τοῦ ῥεῖν⟩ ἀπ' αὐτοῦ τὴν ὀδμὴν ἢ ἀπὸ τοῦ ὄζω.

KBL^{E}UEAT b. τῶν ἄνδηρα: νῦν ἀντὶ τοῦ ἄκρα· τῶν γὰρ ῥόδων τὰ ἄκρα καὶ πρωτεύοντα φύονται ἐν ταῖς αἱμασιαῖς. κυρίως δὲ ἄνδηρα τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑγρῶν, ἤγουν τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω τῶν διερῶν εἶναι· διερὰ γὰρ τὰ δίυγρα.

PT c. τῶν ἄνδηρα παρ' αἱμασιαῖσι πεφύκει: ὤντινων, τῆς κυνοσβάτου καὶ τῆς ἀνεμώνης, τὰ ἄνθη ἢ τὰ φυτά. κυ-

---

13 Clem. Alex. Paed. II 71 15 Et. M. 705, 8 (cf. Gen.) Et. Gud. 493, 42 Sturz Et. Or. 140, 24 16 Hesych. Harp. Phot. Suid. *ἄνδ.* Et. M. 101, 39 (cf. Gen.) Et. Gud. 136, 7 De Stefani Et. Or. 15, 20 sch. Nic. Ther. 576 sch. Opp. Hal. IV 319 sch. Lyc. 210, 16 Scheer Herodian. II 476, 2 Lentz

---

3 *φυῆναι* Apogr. Barb. Call. *Κρατεύας* K: *Κρατίδας* cett. 8 *καλεῖ* sine *φησι* K 12 *ἤγουν* seqq. om. U 14 ἢ seqq. om. UEAT supplevi 16 L non habet nisi: *ἄνδηρα ἄκρα. ἄνδηρα κυρίως τὰ χείλη τοῦ ποταμοῦ ἀπὸ τοῦ ἄνω εἶναι διερά τῶν γὰρ —αἱμασιαῖς* extrema sunt in libris, retrahi iussit Geel 17 post *φύονται* add. ἢ *φαίνονται* GU *ἐν* om. omnes praeter U *κυρίως γὰρ* K rescr. 19 *διερὰ* seqq. om. EAT 20 *ὑγρά* GU

ρίως δὲ ἄνδηρα τὸν ἔνυγρον τόπον καὶ τὰ τῶν ποταμῶν ἀναχώματα γίνωσκε.

[d.] φυλάσσει: γράφεται καὶ πεφύκει. K

94/95 a. οὐδ' ἀκύλοις: ταῖς τῆς πρίνου βαλάνοις· KQUEAT
ἄκυλος γὰρ ὁ τῆς πρίνου καρπός. αἱ μὲν γὰρ ἄκυλοι λεπτόσαρκοι, φησί, καὶ ξηραί, αἱ δὲ ⟨ὀρομαλίδες⟩ ἡδεῖαι. φησὶν οὖν, ὅτι ὁ μὲν Κρατίδας μελίχρους, ἡ δὲ Κλεαρίστη ἀειδής.

b. ὀρομαλίδες: τὰ ὄρεια μῆλα. Ἀσκληπιάδης δὲ ὁμομαλλίδες γράφει· ἔστι δὲ τὰ συνακμάζοντα τοῖς μήλοις σῦκα.

c. αἱ δὲ μελιχραί: τινὲς οὕτως ἑρμηνεύουσιν· αἱ μὲν GUEAT
ἔχουσι λεπτὸν λέπυρον· αἱ δὲ μελιχραί, ἤγουν χροιὰν ἔχουσαι μέλιτος, κιτρινοειδεῖς· ὁ δὲ καρπὸς τῆς πρίνου κοκκοειδής ἐστι. ποιεῖ οὖν ὁ Λάκων τὴν μὲν Κλεαρίσταν κιτρινοειδῆ καὶ οἱονεὶ ἄμορφον, τὸν δὲ Κρατίδαν κοκκοειδῆ καὶ οἱονεὶ εὔμορφον.

d. ἄκυλος ὁ καρπὸς τῆς πρίνου. ὀρομαλίδες ὄρεια P
μῆλα. λεπτὸν ἀπὸ πρίνοιο, παχὺ δὲ πρὸς τὰς ὀρομαλίδας.

96. φάσσαν: ὄνομα ὀρνέου. Ἀλέξανδρος δέ φησιν KQUEAT
ὁ Μύνδιος (Περὶ ζῴων fgm. 19 Wellmann *Herm. 26, 1891,*

---

5 *Galeni Pergameni de Atticissantium studiis testimonia, coll. Guil. Herbst, 1911, 17 sq.*; adde: Theophr. Hist. plant. III 16, 3 Plin. Hist. nat. XVI 19 sch. Nic. Al. 260 sq. Eust. 1657, 13 8 Greg. Cor. Dial. dor. 76: ὀρομαλίδες λέγονται παρ' αὐτοῖς τὰ ὄρεια μῆλα. Amm. De diff. adfin. vocab. 14 Valck. Eust. 878, 18; 1713, 33 18 Athen. IX 394 d

---

1 ἀναχώματα Io. Bernh. Koehler *Notae et emend. in Theocr. 1767, 24*: ἀναχωρήματα codd. 4 ταῖς—αἱ μὲν K: τοῖς—οἱ μὲν cett. τῆς πρ. bis Herbst: τοῦ πρ. codd. 6 ξηραί K: ξηροί GUEA: σκληροί T ⟨ὀρομ.⟩ supplevi ex mente Calliergis ὀριμαλίδες δηλονότι addentis 7 μελιχρός Ahrens codd. ἀειδής vel ἀηδής 8 ὄρεια KG: ἄγρια cett. et K^{s} ὁμομαλίδες Ahrens *Philol. 7, 1852, 443*: ὁμομολίδες K: ὠμομηλίδες G: ὠμομλ EA^{cp}: ὠμόλ U^{cp}: διὰ τοῦ μεγάλου ω̄ T e falsa compendii interpretatione 9 τοῖς μήλοις σῦκα Ahrens l. l.: τοῖς σύκοις μῆλα codd. 12 τῆς πρ. Herbst: τοῦ πρ. T: τοῦ κρίνου UEA: om. G κοκκοειδής Ahrens: κροκοειδής codd. 14 κροκοειδῆ ET 18 δὲ om. K

552), ὅτι ἡ μὲν φάσσα ὑποκυάνεον ἔχει τὴν κεφαλὴν καὶ μᾶλλόν γε ἐμπόρφυρον, τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει.

97 a. ἀρκεύθου: ὄνομα δένδρου ἀκάρπου. φησὶ γὰρ ὁ Θεόφραστος (Hist. plant. I 9, 3), ὅτι 'τῶν ἀγρίων' ἐστὶν 'ἐλάτη, πεύκη, ἄρκευθος, μῖλος, θυΐα καὶ ἣν Ἀρκάδες καλοῦσι φελλόδρυν'.

PT b. ἐκ τᾶς ἀρκεύθω: ἡ ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους.

KGUEA 98 a. ὀππόκα πεξῶ: ἐντεῦθεν καὶ πόκος· ἐτίθεσαν οὖν ἐπὶ τοῦ ξαίνειν.

E^{s}P b. πεξῶ: κουρεύσω.

KGUEAT 99 a. τὰν πέλλαν: τὴν πορφυρᾶν οἶν, τὴν μέλαιναν. τὴν γοῦν τοῦ σώματος ἐπιφάνειαν, ἡνίκ' ἂν δι' ὑποδρομὴν αἵματος μελαίνηται, πελίωμα καλοῦσιν· ὃ τῇ Ἀφροδίτῃ συμβεβηκέναι φησὶν Ὅμηρος (Ε 354)· 'μελαίνετο δὲ χρόα καλόν'.

PT b. τὰν ὄϊν τὰν πέλλαν: τὴν μέλαιναν. τὴν γὰρ τοῦ σώματος ἐπιφάνειαν, ὅτε ὑφ' αἵματος μελανθῇ, πελίδνωμα καλοῦμεν.

---

10 Et. M. 679, 43 (cf. Gen.) Et. Gud. 473, 14 Sturz Et. Or. 129, 11 13 Greg. Cor. Dial. dor. 105: πέλαν τὴν πορφυρᾶν ὄϊν φασί, τὴν μέλαιναν. ⟨τὴν (add. Ahrens puncto antea posito)⟩ γοῦν τοῦ σώματος ἐπιφάνειαν, ἡνίκα ἂν δι' ὑποδρομὴν αἵματος μελαίνηται, πελίωμα καλοῦσι. Et. M. 659, 9 (cf. Gen.): πέλον γὰρ τὸ μέλαν· καὶ τὴν ἐπιφάνειαν τοῦ σώματος, ἡνίκα ἂν ὑποδρομὴν αἵματος δέξηται καὶ μελαίνηται, πελιώματα καλοῦμεν. Et. Gud. 458, 27; 461, 9 Sturz

---

1 ὑποκύανον K 4 ὄν. δένδρου ἀκ. et γὰρ om. GUEAT 6 μῖλος Ahrens e Theophr.: μελία KG: μειλία cett.: σμίλαξ Reinesius θυΐα καὶ ἣν Ἀρκάδες Reinesius: οἴα καὶ ἡνάρυκα ἣν codd. 7 post φελλόδρυν add. ταῦτα ὀνόματα δένδρων GU 10 πόκος G: πόκα cett. 11 ξαίνειν KU corr.: ξέειν GU ante corr. EA 13 τὴν πορφ. οἶν τὴν μέλ. K: τὴν πορφ. οἶν, τὴν σκοτεινήν, τὴν μέλ. G: σκοτεινήν, μέλ., πορφ. cett. 15 πελίωμα GUEA: πελίδνωμα T: πε . . . μα K, quod Apogr. Barb. falso explevit in πέλλαμα συμβεβηκέναι Apogr. Barb.: συμβέβηκεν. ναί K: συμβέβηκε. καί cett. 16 μελαίνετο K: -ται cett.

c. *τὰν πέλλαν*: *σκοτεινήν, μέλαιναν.* K

100. *σίττ' ἀπὸ τᾶς κοτίνω*: *τοῦτο μεταξὺ τῆς ᾠδῆς* KGUEAPT *ἐπεφώνησε πρὸς τὰς αἶγας· ἀναχωρεῖτε τῆς ἀγριελαίου.*

102/103a. *οὐκ ἀπὸ τᾶς δρυός*: *ἀπόστητε, φησίν,* KGUEAT *ἀπὸ τῆς δρυὸς καὶ κατὰ τοῦτο τὸ μέρος βόσκεσθε τῆς Ἰταλίας, ἔνθα τὸ ὄρος ὁ Φάλαρος πρὸς ἀνατολὰς κείμενον. Ἀσκληπιάδης δέ φησι χωρίον τὸ ⟨καὶ⟩ νῦν καλούμενον Φάλαρον.*

b. *Κώναρος*: *ὁ κριὸς διὰ τὸ τὰ κέρατα ἔχειν τραχέα καὶ περιφερῆ ὡς κώνους ἤτοι στροβίλους.*

c. *ὁ Κώναρος*: *ὁ κριὸς παρὰ τὸ κέρατα ἔχειν κωνοειδῆ.* PT

d. *ἄ τε Κιναίθα*: *τοῦτο τῆς οἰός ἐστιν ὄνομα. τινὲς* KGUEAT *δὲ τὴν εὐκίνητον ἀκούουσιν· [αἰθὸν γὰρ τὸ πυρῶδες] αἴθει γὰρ ἐν κινήσει ὥσπερ τὸ πῦρ. ὅθεν Ὅμηρος τοὺς λέοντας αἰθωνάς φησι.*

e. *Κιναίθα*: *ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν ἡ* PT *ταχεῖα ὄϊς, παρὰ τὸ κινῶ καὶ τὸ αἴθω τὸ καίω.*

[f.] *τουτί*: *ἐνταῦθα.* P

[g.] *ὡς*: *οὕτως ὥσπερ.* K

h. *Φάλαρος*: *ὄνομα ὄρους εἰς ἀνατολὴν κειμένου.* KGUEAT

i. *ὡς ὁ φάλαρος*: *φάλαρον λέγει τὸν λευκὸν κριόν. καὶ* PT *Ὅμηρος* (*N* 799) *κύματα 'φαληριόωντα' λέγει τὰ λευκαινόμενα.*

k. ⟨*φάλαρος: ὁ*⟩ *λευκὸς ἢ ὁ φολιδωτός.* $U^{E}E^{E}P^{E}$

l. ⟨*φάλαρος:*⟩ *ἤγουν ὁ φολιδωτὸς ἢ τὸ ὄρος τῆς Ἰταλίας.* L^{E}

104. ⟨*γαυλός:*⟩ *τὸ γαλακτοδόχον ἀγγεῖον.*

---

2 sch. 48/49c cum loc. sim. **15** sch. I 151d **20** sch. VIII 27a cum loc. sim. **25** sch. 58a cum loc. sim.

---

2 l.: *σίττ' ἀπὸ τᾶς κοτ.* (P)T: *ὧδε νέμεσθε* cett. **3** *ἀγριελαίου* KP: *-αίας* cett. **4** l. falsum *σίττ' ἀπὸ τῆς κοτίνω* K **7** suppl. Jacobs (XXXVI) **11** *τοῦτο* UEAT: *τοῦτο ὥσπερ* G: *οὕτως ὥσπερ* K. particulam *ὥσπερ* traieci post *κινήσει*, ubi Ahrens *ὡς* suppleverat *οἰός* KG: *αἰγός* cett. **12** del. Ahrens *αἴθει*, quod Geel coniecit, G: *δαίει* cett. **19** *ἀνατολὴν* KG: *-ὰς* cett. *κείμενον* KGT **20** post *κριόν* add. *φαλὸν* (leg. *φάλιον*) *γὰρ τὸ λευκόν* T **23** *ἢ* seqq. om. P **25** *ἀγγεῖον* E^{E}

KGUEAT 105 a. *ἔργον Πραξιτέλευς: δύο φασὶ Πραξιτέλεις, τὸν μὲν ἀρχαιότερον ἀνδριαντοποιόν, τὸν δὲ νεώτερον ἀγαλματοποιόν. οὗτος δὲ ἦν ἐπὶ Δημητρίου τοῦ βασιλέως, περὶ*
UEAPT *οὗ φησιν ὁ Θεόκριτος.* b. *ἀντὶ δὲ τοῦ εἰπεῖν θαυμαστὸν λέγει τὸ ὄνομα τοῦ τεχνίτου ὡς ἐξάκουστον.*

$U^{S}E^{S}$ [c.] *⟨τᾷ παιδί.⟩ τῇ ἐρωμένῃ Κλεαρίστᾳ.*

P [d.] *τᾷ παιδὶ δέ: τῇ Ἀλκίππῃ.*

GEAT 106 a. *κύων φιλοπολίμνιος⟨, ὃν λύκος ἄγχει⟩: κυρίως ἐπὶ τοῦ ζῴου ἀκουστέον· ἢ ἐπὶ τοῦ ἱμάντος τοῦ περιδεδεμένου τοῖς τραχήλοις τῶν κυνῶν.*

b. *ὃς λύκῳ ἄγχει: πνίγει καὶ ῥέγχειν ποιεῖ. ⟨φιλοπολίμνιος:⟩ ἐν τῇ φροντίδι τοῦ φυλάσσειν τὰ θρέμματα· δοκεῖ δὲ ὄνομα εἶναι κυνός.*

KGEAT 109 a. *ἐντὶ γὰρ αὖαι: ξηραί, ὥριμοι. γράφεται καὶ ἄζαι· ἐν τοῖς ἀγγείοις γὰρ ἐπειδάν τι καταλειφθῇ ξηρανθέν, ἄζα λέγεται. γράφεται καὶ αὐταί, ἵν' ᾖ μόναι.*

PT b. *ἐντὶ γὰρ αὖαι: γράφεται καὶ ἄζαι· καὶ γὰρ τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις ἄζα λέγεται.*

L^{S} c. *⟨αὖαι:⟩ πέπειροι, ὥριμοι, ἕτοιμοι πρὸς τὴν τρύγην.*

E^{S} d. *⟨αὖαι:⟩ πέπειροι, τουτέστιν ὥριμοι καὶ ὅσον εἰκὸς θερμανθεῖσαι τῷ ἡλίῳ.*

KGEAT 110/111 a. *ὁρῆτε τὸν αἰπόλον: οὕτως φησίν· ὡς ὁρᾶτε*

---

4 Serv. Verg. Buc. III 37: laus ab artifice. 11 Hesych. *ἄγχει* Moer. 190, 29 Bekker 15 Hesych. Phot. *ἄζα* Lex. Bachm. 85, 21

---

1 l. om. K *δύο φασὶ Πρ.* om. UEAT 2 *ἀρχαῖον* UEAT cf. Wilh. Vollgraff *Praxitèle le jeune, Bull. de corr. hell. 32, 1908, 236 sqq.* 4 *θαυμάσιον* PT 5 *ὡς ἐξάκουστον* om. UEA 8 scholium ad v. l. *ὃν λύκος* pertinere Duebner perspexit 9 *τοῦ ἱμάντος τοῦ περιδεδεμένου* Ahrens: *τῷ ἱμάντι (τοῦ ἱμάντος* G) *τοῦ περιδέσμου* codd. 11 *λύκον* GE *πνίγει* Ahrens e scholio Moschopuleo et lexicographis: *νικᾷ* codd. addidi ex mente Aderti, qui ultima inde a *δοκεῖ* ad *φιλοπολίμνιος* spectare vidit 14 *ὥριμοι* om. GEAT 16 *ἄζα λέγεται* Geel: *ἐξάλλεται* codd. *γράφεται* sqq. om. EAT *αὐταί* Heinsius: *αὖται* KG 17 *αἶζα* bis codd. 19 *πέπειραι* K^{S}

τὸν αἰπόλον παρερεθίζοντά με εἰς ἅμιλλαν, οὕτω δὴ καὶ ὑμεῖς ἐρεθίζετε τοὺς θεριστὰς εἰς ἐργασίαν.

b. οὕτως χὔμμες: οὕτως καὶ ὑμεῖς εἰς ἔριν ἄγετε τοὺς θεριστάς. P

c. θὴν καὶ ἐπιπολύ· ἢ τὸ θὴν ἀντὶ τοῦ δή. PT

112/113 a. τὰς δασυκέρκως: τὰς πολυτρίχους ἐχούσας οὐράς· κέρκος γὰρ ἡ οὐρά. KGEAT

b. μισέω τὰς δασυκέρκος: τινὲς οὕτω κατὰ τὸ ἔσω νοούμενον λέγουσι· μισῶ τοὺς ἄνδρας τοὺς ἐνήλικας καὶ δασυπύγους, οἳ φοιτῶντες διὰ τῆς νυκτὸς τὰ τοῦ Μίκωνος ῥαγίζοντι, ἤγουν ἐσθίουσι, δηλονότι ὑπ' αὐτοῦ βινούμενοι. γράφεται δὲ Μίκων τὸ μι ι. ἀλώπηξι δὲ εἴκασε τοὺς τοιούτους ὡς πανούργους καὶ δολερούς. LEAT

c. ῥαγίζοντι: τὰς ῥᾶγας ἀναλέγουσιν. οὕτως δὲ ῥᾶγας Ἀττικῶς διὰ τοῦ α. KGEA

d. δι' ἀλληγορίας ὁ Κομάτας φησίν, ὅτι ὁ Λάκων ἐν τοῖς Μίκωνος κατὰ πᾶσαν ἑσπέραν πορευόμενος περαίνεται. KGEAPT

e. ῥαγίζοντι: τὰς ῥᾶγας ἀποτρώγουσι. KGLEA

f. αἳ τὰ Μίκωνος ἀεὶ φοιτῶσαι: λείπει χωρία. τὰ ποθέσπερα: τὰ δυτικά. ῥαγίζονται: λυμαίνονται, τρυγῶσι. P

g. ⟨τὰ Μίκωνος:⟩ ἀμπελόφυτον τόπον, τὰς ἀμπέλους. L^5E^5

114/115 a. καὶ ὁ ἕτερος ἐπὶ τῆς αὐτῆς ἐννοίας ἐμφαίνων τοὺς περαίνοντας αὐτὸν κατὰ τὴν συκάδα φησίν. KGLEAPT

---

14 Hesych. ῥᾶγα Eust. 1485, 59 (Aelii Dionysii fgm. 292 Schwabe); 1633, 40

---

1 παρεθίζοντα codd., corr. Heinsius 2 post ἐρεθίζετε T add. e scholio b εἰς ἔριν ἄγετε 3 οὕτως οὐχ ὕμμες cod. in l. 5 δή E^5 7 leguntur interserta πλήρεις τριχῶν post οὐράς in EAT 12 γράφεται—ι post δολερούς traiecit Ahrens 14 ἀναλέγοντι οὕτως. ἢ GEA 16 ἀλληγορικῶς GEA φησίν, ὅτι ὁ Λάκων om. KGEA 17 τοῖς PT: ταῖς cett. πορευόμενος περαίνεται PT, hic superscripto πορνεύεται: πορευόμενος G: πορευόμεναι EA: περαινόμενος K 23 ἀλληγορεῖ post ἐννοίας add. PT 24 πορνεύοντας T αὐτὸν KGLEA: τὸν Κομάταν PT συκάδα φησίν LEA: συκώδη φησίν K(G?): συκώδη φύσιν PT

K^sE^sP b. *ὑπανέμιοι: ὑπαέριοι.*

K [116/117 a.] *γράφεται ἦ ῥα μέμνᾳ.*

KGLEAPT b. *ὅτ' ἐγώ τυ κατήλασα: τὰς προειρημένας ἐμφάσεις διὰ τούτου βεβαιοῖ λέγων· ἢ οὐ μέμνῃ, ὅτε σε ἐπέραινον κατ' ἐκείνην τὴν δρῦν, τὸ δὲ σεσαρὼς πρὸς ἐκείνην κιγκλίζευ; τοῦτο δὲ μεταφορικῶς εἴρηται ἀπὸ τῆς ἐν τῇ θύρᾳ κιγκλίδος. ἔστι δὲ κόραξ σιδηροῦς ἐμπίπτων εἰς τὸ μέσον σιδηροῦν καὶ ἐπικροτῶν τὴν θύραν.*

KGLEAT c. *κιγκλίζευ: προσεδονοῦ· ἀπὸ τοῦ κίγκλου οὕτως καλουμένου ὀρνέου, ὃ νῦν σεισοπυγίδα καλοῦσιν, ἀφ' οὗ ἡ λέξις μετήνεκται. κιγκλίζειν δὲ τὸ κινεῖν τὴν ὀσφύν φασιν. ὥσπερ δὲ παρὰ τὸ γνῶ γίγνω, οὕτως παρὰ τὸ κλῶ κίγκλω καὶ κίγκλος.*

PT d. *ἐκιγκλίζευ προσεδονοῦ φησι· ἀπὸ μεταφορᾶς [τοῦ κώλου] τοῦ κίγκλου, ὃν ἔνιοι καλοῦσι σεισοπυγίδα, ὅθεν καὶ τὸ κινεῖν τὴν ὀσφὺν κιγκλίζειν φασίν.*

KG 118/119 a. *τοῦτο μὲν οὐ μέμναμαι: τὸ μέν, ὡς σὺ*

---

9 Et. M. 513, 10 (cf. Gen.): *κιγκλίζειν τὸ πειράζειν καὶ κίγκλος [ὀρνιθάριον· ἢ κιγκλὶς* (delevi)*] ὄρνις λεγομένη πυκνὰ τὴν οὐρὰν κινοῦσα, ἣν ἐν τῇ συνηθείᾳ ἔνιοι σεισοπυγίδα καλοῦσιν.* ib. 268, 1 Et. Gud. 321, 25 Stürz Greg. Cor. Dial. dor. 96: *τὸ κιγκλίζειν ἐπὶ τοῦ κινεῖν τὴν ὀσφύν. ὥσπερ γὰρ παρὰ τὸ γνῶ γίγνω, οὕτω καὶ παρὰ τὸ κλῶ κίγκλω.* Galen. ad Hipp. De art. I 66 (XVIII 1, 412 Kuehn) Hesych. Phot. Suid. *κίγκλος* Hesych. *διακίγκλισον* Ecl. (Cram. An. Ox. II 454, 21) sch. Luc. 167, 8 Rabe sch. II 17 cum loc. sim.

---

1 *ἀέριοι* P 4 *διὰ τούτου* KPT: *δι' αὐτοῦ* cett. *ἢ οὐ μέμνῃ* K: *ἢ οὐ μεμνήσομαι* LA: *ἢ οὐ μέμνημαι* E: *ἢ οὐ μέμνησαι* G: *ὅτι οὐ μέμνησαι* PT 5 *τὸ* KG: *σὺ* cett. *πρὸς ἐκείνην* om. GLEAPT *κιγκλίζευ* K: *ἐλυγίζου. κιγκλίζευ* (L)EA: *μετεκίνου* (*κατεκίνου* T, *ἀντεκινοῦ* Ahrens) *καὶ ἐσαλεύου.* (*εὖ ποκ' ἐκιχλίζευ* add. T) *κιγκλίζειν* (*κιχλ.* T) *λέγεται τὸ σαλεύεσθαι καὶ κινεῖσθαι* PT: om. G 8 *ἐπικροτῶν* Geel: *ὑποκροτῶν* Brodaeus *Epigr. graec. libri VII annot. ill. 1549, 196*: *ἐπικρατοῦν* G: *ὑποκρατῶν* PT: *ἀποκρατῶν* cett. 10 *σεισοπυγίδα* sch. d: *-πυγίδην* K: *-πύγην* (i. e. *-πύγιον* auctore Ahrensio) cett. 11 *μετενήνεγκται* K *ὥσπερ γὰρ* T 12 *καὶ* post *οὕτως* add. LEAT 14 del. Wilamowitz

φῄς, πεπεράνθαι με οὐ μέμνημαι· ἡνίκα μέντοι δήσας ὁ Εὐμάρας ἐνταῦθα εὐμελῶς καὶ εὐτόλμως σε ἐμάστιξεν, ἀκριβῶς οἶδα.

b. *Εὐμάρας ἐκάθηρε: περὶ οὗ μοι εἶπας, οὐ μέμνημαι·* LEAT
5 *τοῦτο δὲ γινώσκω, ὅτι ὁ δεσπότης σου δήσας σε ἐπύγιζεν, ὅπερ δηλοῖ τὸ ἐκάθηρε. ἢ ἐκάθηρεν ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδερε. καὶ Ἀριστοφάνης* (fgm. 911[b] Kock *Com. att. fgm. III 726*)· *'πέδοι τὰς πλευρὰς ἐκάθηρεν'.*

c. *ὅκα μάν ποκα τεῖνδέ τυ δήσας Εὐμάρας ἐκά-* PT
10 *θηρεν: ὅτε δὲ ὁ Εὐμάρας ὁ σὸς δεσπότης δεσμήσας σε ἐμαστίγωσεν, ἀκριβῶς ἐπίσταμαι.*

[d.] *γράφεται ὅκα μάν ποκα τίν τοι δήσας.* K

[e.] *ἐκάθηρεν: ἐπαίδευσεν, ἐμαστίγωσεν.* PT

120 a. *ἤδη τις, Μόρσων: ὦ Μόρσων, φησί, ἤδη τις* KB
15 *μέλλει λυπεῖσθαι παρ' ἡμῶν οὐχ ὑβρισθείς· ἢ οὐχὶ παρήσθου πρότερον τοῦτον ὑβρίσαντα;*

b. *παρήσθευ: ὡς οὐκ ἐνεγκὼν τὴν ὕβριν μέλλει λοιδορεῖσθαι καὶ προσημαίνεται τούτου αὐτοῦ λαμβάνων Μόρσωνα μάρτυρα τὸν κριτήν, τοῦ προϋβρίσθαι πρῶτος αὐτός.*

20 [c.] *οὐχὶ παρήσθευ: οὐκ ἐνόησας.* PT

121 a. *σκίλλας ἰὼν γραίας: ὁ λόγος πάλιν πρὸς τὸν* KGLEAPT *Λάκωνα. ἄξιος εἶ, φησί, μᾶλλον ἀπελθεῖν εἰς τὰ μνημεῖα καὶ τὰς γεγραιωμένας σκίλλας τίλλειν ἤπερ ἐμοὶ ἐρίζειν· αὗται γὰρ παντελῶς ἄχρηστοί εἰσιν. καλοῦνται δὲ σκιλλοκρόμυα.*

---

2 Greg. Cor. Dial. dor. 95: *τὸ ἐκάθηρεν ἀντὶ τοῦ ἐμάστιξε λαμβάνει.*

---

2 *εὐτόνως* G 7 *ἐξέδειρε* Reiske 8 *πέδοι* scripsi: *πέδει* codd., quod non feliciter defendit Sternbach *Wien. Stud. 8, 1886, 256*: *παιδὶ* Wilamowitz: *ἐσπόδει* Jacobs (XXXVII): *σποδῶν* Ahrens *καὶ* ante *ἐκάθηρεν* add. LT 15 *παρήσθου* scripsi: *παρήσθευ* Ziegler: *παρῆς* G: *παρίσχου* K 16 *πότερον* K 18 *προσημαίνεται* G: *προσέτι μαίνεται* K 20 *παρῆσθα* codd. 21 *ὁ δὲ νοῦς* pro *ὁ λόγος—Λάκωνα* P 23 post *γεγρ.* add. *καὶ παλαιὰς καὶ ξηρὰς* GLEAT *ἢ παρ'* K *αὗται* seqq. om. P 24 *ἄχρησταί* K *καλοῦνται* seqq. desunt etiam in KGL *σκιλλοκρόμμυα* Call.: *σκυλλοκρόμμυα* T: *σκυλοκρόμυδα* EA

KG b. γραίας: οὕτως ἡ ὕβρις· γεγηρακυίας καὶ σκληρωθείσας τῷ χρόνῳ σκίλλας ἔλθοις εἴς τινα τόπον τίλλων. φησὶ δὲ τοῦτο ὡς ἐπίπονον καὶ μοχθηρόν.

L[1-2]ET c. σκίλλας ἰὼν γραίας: τοῦτό φησι κατὰ τὸ ἔσω νοούμενον· ἀπελθὼν τίλλε, φησί, τὰς παλαιὰς τρίχας τοῦ τάφου σου, ἤγουν τῆς πυγῆς σου.

PT d. σκίλλας ἰὼν γραίας: σκίλλα εἶδος βοτάνης πάντῃ ἀχρήστου. γραίας δὲ τὰς γεγηρακυίας καὶ ξηράς.

K[E]L[E]E[E] e. ⟨σκίλλας:⟩ φυτὸν λυσσῶδες.

PT [f.] τίλλοις: κόπτοις.

L[E]E[E] [122.] ⟨κνίζω:⟩ τιτρώσκω, λυπῶ, καθάπτομαι.

KGLEAT 123/124 a. κυκλάμινος βοτάνιόν ἐστι ποιῶδες, λεπτόρριζον, ὅπερ χλιανθὲν ποιεῖ πρὸς χίμετλα. οἱ δὲ τὸν τῆς κομάρου καρπόν, ὅνπερ ἐάν τις πολὺν φάγῃ κεφαλαλγεῖ.

KG b. κυκλάμινος οὐχὶ πάντως χαλεπῶς ὀρύσσεται. ἀλλ' ὥσπερ ἀπειροκάλως ἐκεῖνος κατηράσατο, οὕτω καὶ οὗτος ἀπὸ τοῦ παραπεσεῖν εἰς τὴν κυκλάμινον.

PT c. τὰν κυκλάμινον: ἡ κυκλάμινος βοτάνη ἐστὶ παντελῶς ἄχρηστος.

KG d. Ἰμέρα: ποταμὸς Σικελίας. τοῦτο δέ φησι διὰ τὸ ποτὲ μὲν ἁλυκάς, ποτὲ δὲ γλυκείας ἔχειν ⟨πηγάς. ἔστι δὲ καὶ πόλις ὁμώνυμος,⟩ δι' ἧς ῥέει ⟨ὁ ποταμός⟩.

---

12 Diosc. Mat. med. II 164, 4; I 122 Galen. De simpl. med. temp. VII 39 (XII 34 Kuehn) Plin. Hist. nat. XXVI 155 Phot. κυκλ. 20 sch. VII 75 a—c

---

2 τιλῶν Ahrens (ap. Ziegl.) φησὶ seqq. om. G 8 τῆς—ξηρᾶς P 10 τίλλε καὶ κόπτε T 11 τιτρ. et καθ. om. L 12 βοτάνιον K: βοτάνη G: βότανον cett. ἐστι ποιῶδες om. LEAT. K post ποιῶδες, G post περιώδης (sic) λεπτόρριζος inserunt: χιμέθλας θεραπεύειν δυνάμενον (δυναμένη G), quae Ziegler suo iure delevit 13 οἱ δὲ seqq. om. LEAT 16 ὥσπερ scripsi: ἐπεὶ codd. ἀπειροκάλως Wilamowitz: ἀπειρολόγως G: ἀπρολόγως K 17 παραπεσεῖν scripsi: παραπεσόντος codd. παραπεσόντος αὐτῷ κυκλαμίνου Ziegler 21 Ahrens (ap. Ziegl.) prop.: ⟨πηγὰς⟩ ἔχειν ⟨τὴν χώραν,⟩ δέει

e. *κατὰ μέν τι μέρος ἁλυκόν, κατὰ δέ τι πότιμον. κρήνην δέ τινες Ἰταλίας φασὶν εἶναι.*

f. ⟨*Ἰμέρα:*⟩ *ὄνομα ποταμοῦ. ἔστι δὲ καὶ ὄνομα πόλεως Σικελίας.* L^{s}E^{s}

g. *ἐς τὸν Ἄλεντα:* *ὁ Ἄλεις ποταμὸς Ἰταλίας, ὁ δὲ Κρᾶθις ποταμὸς περὶ Σύβαριν. εὔχεται δὲ διὰ τὴν ἐρωμένην.* PT

125 a. *πορφύροις: βλύζοις.* PT

b. ⟨*πορφύροις:*⟩ *κεκραμένος εἴης.* K^{s}L^{s}E^{s}

c. *σία: λάχανον ὅμοιον σελίνῳ ἐν αὐτῷ τῷ ὕδατι τρεφόμενον.* KQ

d. *τὰ δέ τ' οἴσια: ἀνθύλλιά εἰσι παντελῶς ἄκαρπα, πρὸς τοῖς ποταμοῖς φυόμενα.* QLEA

e. *τὰ δέ τοι σία: σίον βοτάνη τίς ἐστιν ἄκαρπος. καὶ Ὅμηρος (ε 72)· ἀμφὶ δὲ λειμῶνος μαλακοῦ σία'· τὸ γὰρ ἴον ἐν τοῖς λειμῶσιν οὐ πέφυκε γίνεσθαι, ἀλλὰ τὸ σίον.* PT

126 a. *ῥείτω ⟨χἁ Συβαρῖτις⟩: πηγὴ Ἰταλίας περὶ Θούριον.* KL^{s}E^{s}

b. *ῥείτω χἁ Συβαρῖτις ἐμὶν μέλι: πηγὴ ἐν Σικελίᾳ.* PT

[127 a.] *ἁ παῖς: ἡ δούλη.* P

b. *τᾷ κάλπιδι: καὶ ἡ ἐμή, φησίν, ἐρωμένη τῇ ὑδρίᾳ τὸ ῥέον ἀπὸ τῆς κρήνης μέλι ἀντλήσοι.* KQ

c. ⟨*τᾷ κάλπιδι:*⟩ *τῇ κάλπιδι ἤτοι τῷ καδδαρίῳ.*

d. *τᾷ κάλπιδι: κάλπις ἡ ξύλινος ὑδρία.* PT

e. ⟨*κάλπιδα:*⟩ *ἀγγεῖον ὑδροφόρον.* E^{s}

---

9 Hesych. *σίον· λάχανον ἐμφερὲς σελίνῳ.* Athen. II 61 c Diosc. Mat. med. II 127 Plin. Hist. nat. XXII 84 Eust. 1524, 40

---

5 *Ἄλευς* codd. *ποταμὸς Ἰταλίας* K^{s}L^{s}E^{s} post *Ἰταλίας* add. T *Ἰμέρα πηγὴ Ἰταλίας*, quae est glossa in P 6 *ποταμὸς περὶ Σύβαριν* L^{s}E^{s} 11 *αἰθύλλια* codd., corr. Call. 13 *σία* pro *σίον* in codd. 14 *λειμῶνες μαλακοὶ ἴον* Hom., ubi *σίου* a Ptolemaeo Euergeta commendatum esse Athenaeus auctor est 16 suppl. Ziegler *πηγὴ* scripsi cum K^{s}: *ποταμὸς* KL^{s}E^{s} 22 *ἤτοι* seqq. om. K

KGLEAPT 128/129 a. *κύτισος, αἴγιλος, σχῖνος θάμνοι, οἷς ἐπινέμονται αἱ αἶγες.*

K b. *πατέοντι: ἢ ἐσθίοντι ἢ πατοῦντι.*

c. *κέοντι: βόσκοντι θάμνον.*

PT [d.] *κόμαρος εἶδος δένδρου.*

[e.] *ἐν κομάροισι κέονται: κεῖνται καὶ καθέζονται.*

GLEA 130 a. *πάρεστι μὲν ἁ μελίτεια: μελίτεια εἶδος βοτάνης οὕτως ὀνομαζομένης· ἔστι δὲ γλυκώδης.*

PT b. *ἁ μελίτεια: ἤγουν ἡ μελιτόεσσα· ἔστι δὲ ἡ μελίτεια εἶδος βοτάνης γλυκιζούσης.*

K^{g} c. *⟨μελίτεια:⟩ εἶδος ἄνθους γλυκώδους.*

KGLEA 131 a. *ῥόδα κισθός ⟨. . .⟩ περί τε τὰ γόνατα τῶν τρά-*
G *γων καὶ τὸν πώγωνα πησσόμενα.* b. *ἔστι δὲ κισθὸς εἶδος βοτάνης ἀνθοφορούσης ἐοικὸς ῥόδοις κατὰ τὸ ἄνθος.*

PT c. *καὶ ὡς ῥόδα κισθὸς ἐπανθεῖ: κισθός ἐστιν εἶδος βοτάνης ἀνθώδους ἐοικυίας ῥόδοις. ἐν ἑτέροις δὲ ῥοδάκισσος γράφεται ἐν μέρος λόγου. ἔστι δὲ καὶ αὕτη τῶν θάμνων, γλυκῶδες ἄνθος προϊεμένη. περὶ τὰ γόνατα δὲ τῶν τράγων καὶ τὸν πώγωνα πήσσεται.*

---

7 sch. IV 25 d e 12 Herod. III 112 Diosc. Mat. med. I 97, 3 Galen. De comp. med. 1 (XII 425 Kuehn) Plin. Hist. nat. XII 73. 74; XXVI 47 13 Theophr. Hist. plant. VI 2, 1

---

8 *ὀνομαζόμενον* G *ὅτι γλυκ. ἐστί* Adert G add. in fine: *τὸ φέρβεσθαι· ὁ Θεόκριτος τὰς δευτέρας συζυγίας ὀξύνει.* quae non expedio 9 *μελιτόεσσα* scripsi non sine dubitatione: *μελίτεια* P: om. T 10 *γλυκιζούσης* Xylander in ed. a. 1558: *-υζούσης* codd.: *-αζούσης* Ahrens 12 *ῥόδα κισθός* ex mente Ahrensii scripsi: *ῥόδα κισσός* K: *ῥοδακισσός* GA: *ῥόδου κισσός* L: *ῥόδος κισσός* E lac. ind. Ziegler. patet interpretem egisse de ladano, quod e genere quodam cisthi exortum hircorum pascentium barbis genibusque villosis adhaerescere auctores supra allati tradunt 13 *κισσὸς* cod., correxi 15 *κισσὸς* bis T 16 *ἀνθώδους* Salmasius *Exerc. de homonymis hyl. iatr. 1689, 8*: *ἀκανθώδους* codd. *ῥόδῳ* Salmasius ib. *ῥοδόκισσος* in verbis poetae Aldus 18 v. notam ad sch. a

136/137 a. *οὐ θεμιτόν*: *ὡς οὐ θέμις κίσσας ἀηδόνι* KQL^{E}U^{E}E^{E}P^{E}T
φιλονεικεῖν οὐδ' ἔποπας πρὸς κύκνους, οὕτως οὐδὲ σὲ πρὸς ἐμέ. σὺ δὲ ἔοικας φιλόνεικός τις καὶ φίλερις εἶναι.

b. *κίσσα εἶδος ὀρνέου ἀμούσου, ἐπιθυμητικοῦ, ποι-* KQLUEAT
κίλου. ὅθεν τὸ κισσᾶν ἐπὶ τῶν γυναικῶν παραλαμβάνουσι, παρόσον αἱ γεννῶσαι ἀηδίζονται πρὸς τὸ ποιεῖν ⟨. . .⟩.

c. *οὐδ' ἔποπας*: *ἔποψ εἶδος ὀρνέου κακοφώνου.* PT

d. *φιλεχθής*: *εἰς ἔχθος καὶ μῖσος ἄγων τοὺς φίλους.* KPT

[138/139 a.] *παύσασθαι κέλομαι*: *κρίνει.* P

[b.] *τὶν δὲ Κομᾶτα δωρεῖται Μόρσων τὰν* PT
ἀμνίδα: *σοὶ δὲ τῷ νικήσαντι δίδωσι τὸ ἔπαθλον.*

141/143 a. *φριμάσσεο*: *φριμαγμὸν ἀποδίδου μεθ'* KQLUEAT
ἡδονῆς, τουτέστι βρενθύου καὶ ἐναβρύνου, ὧ πᾶσα ἀγέλη. πεποιημένη δὲ ἡ λέξις· τοιοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ πταρμοῦ τῶν αἰγῶν.

---

4 Arist. Hist. an. VII 4, 584 a 18 Alex. Aphr. Probl. II 73 Paul. Aeg. I 1, ed. a. 1538 p. 3 Soran. Gyn. 48; 215, 8 Rose Aët. XVI 10 Mosch. De mul. pass. 13, 2 Dewez sch. Ar. Pac. 497 Et. M. 515, 38 (cf. Gen.) Et. Gud. 177, 1. 4; 323, 20 Sturz Et. Or. 89, 27 Epim. (Cram. An. Ox. II 381, 24) Choer. Epim. Psalm. 148, 25 Gaisf. sch. I 151 c d 13 Greg. Cor. Dial. dor. 94: *τὸ βρενθύεται φριμήσσεται* (leg. *βρενθύεσθαι φριμάσσεσθαί*) *φασι.*

---

1 *ὡς οὐ θέμις* K: *ὥσπερ οὐ πρέπον ὑπάρχει* GLUE: *ὥσπερ ἀπρεπὲς ὑπάρχει* PT *κίσσας ἀηδόνι* scripsi: *κίσσαν ἀηδόνας* K: *ἀηδόν* (compendio GUE, *-α* L, *-ες* P, *-ος* T) *κίσσας* (*-αν* T) cett.: *κίσσαν* ⟨*πρὸς*⟩ *ἀηδόνας* Heinsius 3 *σὺ δὲ* seqq. om. P *φίλερις* K: *δύσερις* cett. *εἶναι* om. K 4 in K discissa leguntur quae reliqui recte coniunxerunt: *τὸ κισσᾶν* seqq. adhaerent scholio 128/129 a, *κίσσα—ὅθεν ἐπὶ τῶν γυναικῶν* scholio 128/129 b *ἀμούσου* om. K *ποικίλου* Ahrens ex Alexandro, Paulo, Moschione: *μιμηλοῦ* codd. 5 *τῶν γεννωσῶν* post *γυν.* add. Toup *παραλαμβάνουσι* K: *παραλαμβάνειν* G: *προσλαμβάνειν* T: *παραλαμβάνει* cett.: *τὸ συλλαμβάνειν* ex. Et. Ahrens 6 *αἱ γενν.* KGL: *αἱ μὴ γενν.* U: *μὴ γενν.* cett.: *ἐγκυμονοῦσαι* Ahrens *ποιεῖν* om. K spatio 18 circiter litterarum vacuo relicto. qua de causa lac. indicavi. *πρὸς τὸ* ⟨*οὕτω*⟩ *ποιεῖν* prop. Kiessling, *πρὸς τὰ τοιαῦτα* Duebner, *πρὸς τὰ ποιά* Ahrens 9 *κρίνω* cod. 10 *τὶν* T: *τοὶ* P 11 *δίδωμι* T

b. φριμάσσεο: οὐ κυρίως τῇ λέξει κέχρηται. φριμαγμὸς μὲν γάρ ἐστι κυρίως ἡ τῶν ἵππων ⟨φωνή⟩, βληχὴ δὲ αἰγῶν καὶ προβάτων. τῷ αὐτῷ ἁμαρτήματι περιπέπτωκε καὶ Εὔπολις ἐν *Αἰξίν* (fgm. 17[b] Kock *Com. att. fgm. III 719*).

PT c. φριμάσσεο: τουτέστι μεθ' ἡδονῆς σκίρτα, ἐπαίρου, πᾶσα ἀγέλη. τὸ δὲ φριμάσσω ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὠνοματοπεποίηται. τὸ δὲ φριμάσσω λέγεται ἐπὶ τῶν ἵππων· κατὰ ὀνοματοποιΐαν δὲ τοῦτο ἀπὸ τοῦ ἤχου.

$L^{s}E^{s}$ d. ⟨φριμάσσεο:⟩ ἐπὶ τῶν ἵππων τὸ φριμάσσεσθαι· νῦν δὲ ἀντὶ τοῦ σκίρτα, ἵστασο ἐν ἡδονῇ.

$KGL^{s}U^{s}E^{s}$ e. καχαξῶ: ἀντὶ τοῦ· καὶ ἐγὼ σὺν ὑμῖν καταγελάσω τοῦ *Λάκωνος*.

K [f.] ⟨κἠγὼν γὰρ ἴδ' ὡς:⟩ γράφεται κἠγὼ μὲν ἴδ' ὡς. [g.] ⟨ὧδέ ποκ' ἤδη:⟩ γράφεται ὅττι ποκ' ἤδη.

$K^{s}P$ 144 a. ἀνυσάμην: ἐκτησάμην.

$KGL^{s}U^{s}E^{s}$ b. ἁλεῦμαι: ἐκ περιχαρείας, φησίν, ὦ αἶγες, εἰς τὸν οὐρανὸν ἀναβήσομαι.

P c. ἐς οὐρανὸν ὔμμιν ἁλεῦμαι: εἰς οὐρανὸν σὺν ὑμῖν πηδήσω.

KGLU[r]EAT 145 a. κερουχίδες αἱ κεροφόροι, κερουλίδες αἱ οὖλα κέρατα ἔχουσαι, κερουλκίδες αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι.

PT b. κερουχίδες: κέρατα ἔχουσαι ἢ κεκρατημέναι τοῖς κέρασιν.

---

1 Amm. De diff. adf. verb. 144 Valck. 5 Hesych. φριμάσσεται· σκιρτᾷ. ἐπεγείρεται. ὀφρυᾶται. βριμαίνει. 21 Hesych. κερουλκός sch. Call. H. Dian. 179

---

2 suppl. Valckenaer *Anim. ad Ammonium 1739, 226* αἰγῶν K: βοῶν cett. 3 τῷ seqq. om. EAT 4 hoc idem scholium Kock falso adscripsit ad fgm. 30 (I 264) 8 κατὰ—ἤχου P: καλεῖται δὲ ὁ τρόπος ὀνοματοποιΐα T 10 σκίρτα, ἵστασο ἐν ἡσ. U^{s} ἡσυχίᾳ libri, correxi 11 L haec tantum habet: νῦν γελάσω τοῦ Λάκωνος μέγα post ὑμῖν add. GUE 13 εἰδώς cod. 19 πηδήσω P^{s}: πηδῶ P in scholio 20 κερουχίδες τρισσῶς γράφεται praem. GLUEA

147—150 a. ὁ λευκίτας: πεποίηται τὸ ὄνομα ἀπὸ τῆς λευκότητος τοῦ τράγου. ὡς ἀπὸ τοῦ μέσος μεσίτης καὶ ὁδὸς ὁδίτης, οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης. KGLUEAT

b. κορυπτίλος ὁ κέρασι πλήττων. KU^{E}

c. οὗτος ὁ λευκίτας ὁ κορυπτίλος: ἡ ἀπότασις τοῦ λόγου πρὸς τὸν τράγον ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα, μάχιμον. λευκίτας δὲ ὁ λευκὸς παραγωγῶς ὡς ἀπὸ τοῦ ὁδὸς ὁδίτης, κορυπτίλος ὁ κεράστης ἢ ὁ τοῖς κέρασι πλήττων. GLUEA

d. ὁ κορυπτίλος: ὁ πλήκτης ἀπὸ τοῦ κορύπτω. πρὸς τὸν τράγον δὲ τοῦτό φησιν ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα. PT

e. φησὶν οὖν· ἐὰν τολμήσῃς ὀχεῦσαι, πρινή με θῦσαι ταῖς Νύμφαις ἣν ἐνίκησα ἀμνὸν τὸν Λάκωνα, θλάσω σου τὰ αἰδοῖα. KGLUEAT

f. εἴ τιν' ὀχευσεῖς: εἴ τινα ἀναβιβάσειας. KGU

g. φλασῶ τυ: θλάσω Δωρικῶς. L^{E}U^{E}E^{E}P

h. καλλιερῆσαι: θῦσαι.

i. ὃ δ' αὖ πάλιν: ὁ τράγος, φησί, πάλιν τὰς αἶγας τύπτει. ἀλλὰ ἐὰν οὐ θλάσω σε, γενοίμην ἀντὶ Κομάτα Μελάνθιος. PT

k. ⟨ὃ δ' αὖ πάλιν:⟩ λείπει τὸ ὀχεύει. K^{E}L^{E}U^{E}E^{E}

l. ἀλλὰ γενοίμαν: ἀλλ' ἐὰν μή σε θλάσω, γενοίμην ἀντὶ τοῦ Κομάτα Μελάνθιος καὶ κολασθείην ὥσπερ ἐκεῖνος ὑπὸ Εὐμαίου καὶ Φιλοιτίου ἐν τοῖς Ὀδυσσέως οἴκοις (χ 474sqq.). KGLUEAT

m. τὸν παρ' Ὁμήρῳ φησὶ Μελάνθιον. ἦν γὰρ δοῦλος τῶν μνηστήρων τῆς Πηνελόπης. LUEAPT

---

1 initium usque ad τράγου om. LT, postea T incipit ὥσπερ δὲ παράγεται ἀπὸ τοῦ 7 ὡς ἀπὸ τοῦ ὁδὸς ὁδίτης in libris leguntur ante ἤ, transp. Adert 8 κερατιστὴς Ahrens 12 τύπτοντα P: πλήττοντα T T add. e scholio c: ὁ λευκίτας δὲ ὁ λευκὸς παραγωγῶς 14 ἦν K: ὃν cett. 16 ἐμβιβάσειας E^{E} 17 Δωρ. om. P 25 Φιλοιτίου Heinsius (331): Φιλοίτιος KG: Φιλοίτιος ἐγὼ cett. 26 Ὁμήρῳ T: Ὁμήρου P: Ὅμηρον cett. ἦν seqq. om. P

VI. *Βουκολιασταί.* ⟨α′⟩

KGLUEAT a. *Προσδιαλέγεται Ἀράτῳ τινὶ φίλῳ ἑαυτοῦ ὁ Θεόκριτος, οὗ μέμνηται καὶ ἐν τοῖς Θαλυσίοις* (VII 98)· *'Ἄρατος', λέγει, 'ὁ τὰ πάντα φιλαίτατος' καὶ πάλιν* (122)· *'μηκέτι φρουρέωμες ἐνὶ προθύροισιν, Ἄρατε'. δύναται δὲ οὗτος εἶναι ὁ τὰ Φαινόμενα γράψας· συγκεχρόνικε γὰρ τῷ Θεοκρίτῳ καὶ εἰκὸς* KGLUEA *⟨φίλους⟩ ἀλλήλων γενέσθαι.* b. *διάκεινται δὲ δύο ἄνδρες ᾄδοντες ἐν Σικελίᾳ, Δαμοίτας καὶ Δάφνις, συνελάσαντες τὰ θρέμματα εἰς ἓν κατὰ μεσημβρίαν. ᾄδουσι δ' ἀμφότεροι τὸν Πολυφήμου τοῦ Κύκλωπος ἔρωτα τὸν ἐπὶ Γαλατείᾳ μερισάμενοι τὴν ὑπόθεσιν. καὶ ὁ μὲν Δάφνις [τὸν Κύκλωπα] μιμεῖταί τινα διαλεγόμενον πρὸς αὐτὸν περὶ τῆς Γαλατείας, ὁ δὲ Δαμοίτας τὸν Κύκλωπα ὑποκρινόμενος ἀποκρίνεται οἵους ἂν Πολύφημος λόγους ἔφη πρὸς τοὺς ὑπ' ἐκείνου εἰρημένους.*

Tit.: *Βουκ.* **KU** ante arg. a: *Βουκ. Δαμοίτας καὶ Δάφνις* **PT**: *Βουκ. δωρίδι. Δαμ. καὶ Δάφνις* **GEA**: *Βουκ. δωρ. Δαμ. καὶ Δάφνις. προλογίζει Θεόκριτος καὶ ὁ Ἄρατος* **U** super verbis poetae: *Δαμ. καὶ Δάφνις. δωρίδι. Θεόκριτός φησι πρὸς τὸν Ἄρατον* **K** super verbis poetae: om. **L** α′ add. Wilamowitz *Buc. p. XII* 2 *Ἀρ. τινὶ φίλ. ἑαυτοῦ ὁ Θ.* **K**: *ὁ ποιητὴς Ἀρ. τινὶ τοὔνομα φίλ. ἑαυτοῦ* **U**: *ὁ ποιητὴς Ἀρ.* **GLEA**(**T**) 3 *καὶ* om. **K** *λέγει* **K**: *δ'* cett. 4 *φρουρέωμες* **K**: *-έομες* **T**: *-έομεν* cett. 5 *ἐνὶ* **K**: *παρὰ* vel *περὶ* **GLEAT**: *παρὰ* superscripto *ἐνὶ* **U**: *ἐπὶ* Theocr. l. l. *δύναται* seqq. desunt in **GLUEA** *δύναται δὲ* om. **K** spatio vacuo relicto 6 *συγκεχρ.* seqq. om. **T** *γὰρ* scripsi: *δὲ* **K** 7 suppl. Ziegler *κεῖνται—ἀνέρες* **K** 8 *συνελ.—μεσημβρίαν* [*ᾄδοντες*] **UEA**: *συνελ.—ἓν* [*θέρους ὄντος κατὰ μεσημβρινὸν ᾄδοντες*] *θέρους ὄντος μεσημβρίας* **L**: *θέρους ὄντος μεσημβρίας* **G**: om. **K** 10 *τοῦ Πολ. Κύκλ. τὸν ἔρωτα* **K** *μερισάμενοι — Γαλατείας* desunt in **K** 11 del. Duebner 12 verba *ὁ δὲ Δαμ.* seqq. in **GU** iterum leguntur post arg. f 13 *τὸν Κύκλ. ὑποκρ.* om. $\mathbf{KG^2U^2}$ *ἀποκρίνεται οἵους ἂν Π. λόγ.* scripsi: (*τὸν Κύκλ. ὑποκρίνεται*) *ἀποκρινόμενος οἵους ἂν ὁ Π. λόγ.* Ahrens: *οἵους ἂν Π. ἀποκρινόμενος λόγ.* **K**: *οἵους ἂν λόγ. ὁ Π. ἀποκρινόμενος* $\mathbf{G^2U^2}$: om. una cum iis quae sequuntur cett. 14 *τοῖς—εἰρημένοις* **K**

c. *Δάφνις καὶ Δαμοίτας θέρους ὄντος μεσημβρίας εἰς ἓν* KU
τὰ θρέμματα συνελαύνουσι καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος ᾄδουσιν ὑπόθεσιν. τοῦ δὲ Ἀράτου, ᾧ προσφωνεῖ, καὶ ἀλλαχόθι μνημονεύει, ἔνθα πρὸς Ἀγεάνακτα τὸν Μιτυληναῖον 5 *ὁμιλεῖ* (VII 98)· *‘”Αρατος ὁ τὰ πάντα φιλαίτατος’. καὶ Δάφνις μὲν ἀρχὴν τῆς ᾠδῆς ὡς πρὸς τὸν Πολύφημόν φησιν· ὁ δὲ Δαμοίτας τὴν ἀπόδοσιν ποιούμενος ἀποκρίνεται ἐκ τοῦ Πολυφήμου προσώπου δῆθεν. τὰ δὲ πράγματα ὑπόκεινται ἐν Σικελίᾳ.*

10 d. *Δαμοίτας καὶ Δάφνις θέρους ὄντος μεσημβρίας εἰς ἓν* PT
τὰ θρέμματα συνελαύνουσι καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος ὑπόθεσιν ᾄδουσιν. καὶ ἄρχεται μὲν τῆς ᾠδῆς ὁ Δάφνις ὡς πρὸς τὸν Κύκλωπα· ὁ δὲ Δαμοίτας τὴν ἀπόδοσιν ποιούμενος ἀποκρίνεται ἐκ τοῦ προσώπου τοῦ Πολυφήμου δῆθεν. τὰ 15 *πράγματα ἐν Σικελίᾳ.* e. *τοῦ δὲ Ἀράτου, ᾧ προσφωνεῖ, καὶ* P
ἐν τοῖς Θαλυσίοις [*καὶ ἀλλαχόθι*] *μνημονεύει* (VII 98 sqq.). *δύναται δὲ καὶ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής.*

f. *Δοῦρις* (fgm. 43 Mueller *Fgm. hist. gr. II 479*) *φησι* KG[1.2]LUEA
διὰ τὴν εὐβοσίαν τῶν θρεμμάτων καὶ τοῦ γάλακτος πολυπλή- 20 *θειαν τὸν Πολύφημον ἱδρύσασθαι ἱερὸν παρὰ τῇ Αἴτνῃ Γαλατείας· Φιλόξενον δὲ τὸν Κυθήριον* (*Poet. lyr. gr. III*[4] *609*) *ἐπιδημήσαντα καὶ μὴ δυνάμενον ἐπινοῆσαι τὴν αἰτίαν ἀναπλάσαι, ὡς ὅτι Πολύφημος ἦρα τῆς Γαλατείας.*

---

3 *προσφωνεῖ* arg. e: *προσεφώνει* **KU** 4 *ἀλλαχόθι* arg. e: *ἀλλαχόθεν* **KU** 5 *Δάφνις* scripsi: *δῆθεν* **KU** 6 *Πολύφημον* scripsi: *αἰπόλον* codd.: *Κύκλωπα* Ziegler 7 verba *τὴν ἀπόδοσιν ποιούμενος* in codd. post *φησιν* leguntur, transposui coll. sch. 20/24 a *ἀπόδοσιν* arg. d: *ἀπότασιν* **K**: *ἀπόφασιν* **U** *ἐκ τοῦ Πολυφήμου* [*φησὶ*] *πρ. δῆθεν* **U**: *ἐκ τοῦ αἰπόλου πρ. δῆθεν* [*τοῦ Κύκλωπος*] **K**: *ἐκ τοῦ πρ. τοῦ Κύκλ.* Ziegler 8 *τὰ δὲ* seqq. om. **U** 9 *Σικελίᾳ* Ziegler ex arg. d: *Ἰταλίᾳ* **K** 13 verba *τὴν ἀπόδοσιν ποιούμενος* post *Κύκλωπα* sunt in codd., transposui ut in sch. c 15 *καὶ* scripsi: *τοῦ* **P**: praeterm. Call. 16 del. Ahrens 18 praem. *ἀλλὰ κάθησαι* (v. 8) **K**, *ἡ Γαλάτεια* (v. 6) **G**[2] *Δοῦρις* cod. Par. 2763: *Δοῦλις* **G**[1]: *Θοῦρις* cett. 22 *νοῆσαι* **K** 23 *ὡς* om. **G**[1.2] Call.

K^{E} 1. τοῦτό φησιν ὁ ποιητὴς πρὸς τὸν Ἄρατον.

GLUEAT 2/3 a. Ἄρατε: πρὸς τὸν Ἄρατον τὸν ποιητὴν τὸν τὰ Φαινόμενα γράψαντα· ἰσόχρονος γὰρ ἦν Θεοκρίτῳ. ἄλλοι δέ φασι· πρός τινα οὕτω καλούμενον.

PT b. ποκ' Ἄρατε: εἰκὸς τὸν ἀστρονόμον Ἄρατον εἶναι· καὶ γὰρ ἰσοχρονήκει ὁ Θεόκριτος αὐτῷ. οὗ μέμνηται ἐν Θαλυσίοις (VII 98)· ‘Ἄρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ’.

KGLUEAPT c. ἧς δ' ὁ μὲν αὐτῶν: ἦν δὲ τῶν ᾀδόντων ὁ μὲν ἄρτι τὸ γένειον χνοάζων, ὁ δὲ πληρώσας τὸ γένειον ταῖς θριξίν.

KGU^{r} d. πυρρός: ὁ ἀρτίχνους. Εὐριπίδης (Phoen. 32)· ‘πυρσαῖς γένυσιν ἐξανδρούμενος’. ὁ δ' ἡμιγένειος: ὁ ἤδη πωγωνίτης. Παρμένων· ‘παῖδ' οὔτε γένυσιν πυρρὸν οὐθ' ὑπηνήτην’.

K 4 a. θέρεος μέσῳ ἤματι: μεσούσης ἡμέρας ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους.

GLUEAT b. θέρεος μέσῳ ἤματι: ἀντὶ τοῦ κατὰ τὸ μέσον τοῦ θέρους, ὅτε τὰ κυνοκαύματα.

c. κατὰ τὸ μεσημβρινόν, ὃ τῆς ἡμέρας ὅλης καυματωδέστατόν ἐστιν.

GU^{E} 5. πρῶτος δ' ἤρξατο: οὕτω παρὰ τοῖς πολεμοῦσιν. Ὅμηρος (*H* 284)· ‘Ἴδαι', Ἕκτορι ταῦτα κέλευ'· Αἴαντα ⟨γὰρ⟩ προὐκαλέσατο ⟨εἰς⟩ μάχην.

---

5 ᾧ συγκεχρονίκει ὁ Θ. **T** 8 l. om. **K** 9 χλοάζων **KGL**, χροάζων **U** 11 πυρσαῖς Eur.: πυραῖος codd. Theocr. 12 γέννσιν **G**: γενύεσσιν **KU** ἐξανδρούμενος **G**: ἐξανδρυμένου **U**: om. **K** verba ὁ ἤδη πωγ., quae in libris post ἀρτίχνους leguntur, huc transp. Kreussler *Observ. Theocr. [III], Progr. Misn. 1870, 6* 13 Parmenontem Byzantium primus agnovit Haupt *Opusc. III 545*: Παρμενίσκος codd. verba poetae om. **U** οὔτε γένυσιν Buecheler *Rhein. Mus. N. F. 39, 1884, 275*: οὔτε γένειον **KG**: οὐ γένειον Haupt. Ahrens (ap. Ziegl.) prop.: παῖδ' οὔτ' ἔτι γένεια πυρρὸν οὐθ' ὑπηνήτην ⟨πάλαι⟩ 17 κατὰ τὸ om. **GUEAT** 19 καυματωδέστερον codd. 21 οὕτω scripsi: τούτω **G**: οὕτος **U** 22 Ἰδαί', Ἕκτορα ταῦτα κελεύετε (μυθήσασθαι) Hom. Αἴαντα seqq. discerni non possunt in **U**; in **G** vidi Αἴαντος προκαλέσατο μάχην

6 a. *βάλλει τοι: ὡς πρὸς παρόντα τὸν Κύκλωπα διαλέγεται.* K

b. *ὁ ποιητὴς ⟨ἐκ⟩ προσώπου τοῦ Δάφνιδος.* $L^{R}U^{R}E^{R}$

c. *ἁ Γαλάτεια: ⟨Γαλατείᾳ⟩ ἱερὸν ὁ Κύκλωψ ἱδρύσατο ἐκ τοῦ ἔχειν αὐτὸν πολλὰ πρόβατα καὶ ἀπ' αὐτῶν κεκτῆσθαι τὸ γάλα πολύ.* GLUEA

7 a. *μάλοισι: μηλοβολεῖ εἰς ἔρωτα ἐπαγαγέσθαι βουλομένη. δυσέρωτα δὲ εἶπε, παρόσον οὐκ ἐπέτυχεν αὐτῆς.* KGU

b. *τὸν αἰπόλον ἄνδρα καλοῖσα: τὸν ποιμένα. ἀντὶ γὰρ τοῦ εἰπεῖν ποιμένα καταχρηστικῶς εἶπεν αἰπόλον, ἐπεὶ [καὶ] ὁ Κύκλωψ ποιμὴν ἦν, ἢ ἐπεὶ καὶ αἶγας ἔνεμεν ὁ Κύκλωψ. καὶ Ὅμηρος (ι 184)· 'μῆλ', ὄϊές τε καὶ αἶγες'. τέως γοῦν τὸ αἰπόλος ἀντὶ τοῦ ποιμένος εἴρηται.* GLUEAT

8. *καὶ τύ νιν οὔποθ' ὁρῆσθα: καὶ σὺ αὐτὴν οὐ βλέπεις. ἢ ποθορῆσθα ἀντὶ τοῦ προσβλέπεις.* PT

9—12 a. *ἆδ' ἴδε τὰν κύνα: τινὲς χωρὶς τοῦ δε, ἐκτείνουσι δὲ τὸ ι, ἵνα ἀντωνυμία τυγχάνῃ δεικτική. τὸ ἑξῆς· τὰν κύνα βάλλει — εἰς ἅλα ⟨δερκομένα⟩, ὥστε τὰ λοιπὰ διὰ μέσου.* KG

b. *τᾶν ὀΐων ἕπεται σκοπός: ⟨. . .⟩*

c. *ἅ τοι τῶν ὀΐων: ἢ καὶ ἥτις. τὸ δὲ σκοπὸς ἀντὶ τοῦ φυλάκισσα.* PT

[d.] *ἔχουσι τὰς κύνας οἱ ποιμένες πρὸς ἀποτροπὴν τῶν λύκων.* L^{S}

e. *βαῦσδει: ὑλακτεῖ.* $KL^{S}E^{R}$

f. *τὰ δέ νιν καλὰ κύματα φαίνει: τὴν Γαλάτειαν. ἐὰν δὲ ὡς ἔν τισι ῥαίνει, τὴν κύνα.* K

---

3 *ἐκ* tacite add. Gail 4 suppl. Ahrens 11 del. Wilamowitz *ἐπεὶ καὶ ὁ Κύκλωψ αἶγας ἔνεμεν* **LA** 13 *αἰπόλος* **GU**: *αἰπόλον* **AT**: *αἰπόλ* $\mathbf{LE}^{cp}$ *ποιμένα* **T** 16 verba *τινὲς—δεικτική* aberrarunt in **G** post sch. 13/14 a 18 *τὸν κύνα* codd., tacite corr. Ziegler suppl. Ziegler. in **K** hoc loco inserta inveniuntur quae litteris b et e signavi *ὥστε* seqq. om. **G** 19 *μέσον* **K**, tacite corr. Ziegler 25 *φωνεῖ ὑλακτεῖ* **LE** 27 *ῥαίνη* cod., corr. Ziegler

L^{e} g. ⟨φαίνει:⟩ γράφεται καὶ ῥαίνει, ἵνα νοῆται τὴν κύνα.

KG h. τὰ δέ νιν καλὰ κύματα: αὐτὴν τὴν Γαλάτειάν φησιν ἐπιτρέχουσαν ἡσύχως κινουμένου τοῦ αἰγιαλοῦ [εἰς] τὴν Θάλασσαν ἐμφανίζειν. ἢ ὥσπερ ἐν κατόπτρῳ δεικνύει αὐτῆς τὴν μορφὴν ἡ Θάλασσα.

LU^{r}E^{g}A i. τὰ δέ νιν καλὰ κύματα: ἴσως ἡ σκιὰ αὐτῆς ἐπὶ τοῦ ὕδατος ἐτυποῦτο. ἢ ἦχου τινὸς γινομένου ἐκ τοῦ δρόμου αὐτῆς εὐαίσθητος τῇ ἀκοῇ ἐγένετο τῶν κυμάτων ἡσυχαζόντων.

GLUEAT k. ἐπ' αἰγιαλοῖο θέοισαν: μετωνυμικῶς ἀπὸ τῆς θαλάσσης γαλήνης πρὸς τὴν Γαλάτειαν τρέπεται, καὶ λέγει, ὅτι

GLUEA ἐπάνω καὶ αὐτὴ τῶν κυμάτων βαίνει. l. τὸ δὲ καχλάζω ἐπὶ τοῦ ὕδατος, τὸ δὲ παφλάζω ἐπὶ τοῦ πυρός.

K m. καχλάζοντα: καχλάζειν κυρίως τὸ κῦμα λέγεται τὸ ἐπὶ τοὺς κάχληκας φερόμενον. κάχληκες δέ εἰσιν αἱ χερμάδες λίθοι.

GU^{r} n. ἄσυχα καχλάζοντα: διὰ τὴν τῆς θαλάσσης γαλήνην ⟨ἡσύχως⟩ ψοφοῦντα, ἠχοῦντα, ἐκ μεταφορᾶς τῶν καχλήκων. κάχληκες δέ εἰσιν οἱ χερμάδες λίθοι, οἵτινες ὑπὸ παλιρροίας ἑλκόμενοι ἦχον ἀποτελοῦσιν, ὡς δοκεῖν καχλάζειν. ὁ τρόπος ὀνοματοποιΐα.

---

12 sch. Opp. Hal. II 586 Et. Gud. 456, 19 Sturz 20 sch. Apoll. Rhod. II 570: καχλάζοντος· ποιὸν ἦχον ἀποτελοῦντος. Et. M. 494, 12 (cf. Gen.) Et. Gud. 308, 46 Sturz

---

3 τὰ δέ νιν om. K αὐτῆς τῆς Γαλατείας φ. ἐπιτρεχούσης G 4 scholiastam αἰγιαλόν de maris prope litus aestuantis superficie accepisse Ahrens docuit εἰς del. Ahrens tradito καὶ simul in ἢ mutato 5 δεικνύεις (leg. -εν)—τὴν Θάλασσαν G 10 Γαλάτεια scholiastae propter nominis similitudinem γαλήνην significare videtur; cf. Eust. 1131, 5, quem locum ad Apollodori librum Περὶ θεῶν refert C. Reinhardt *De Graecorum theologia capita duo, Diss. phil. Berol. 1910, 87 sqq.* 12 καχλάζω G: -ων cett. 17 διὰ τὴν τῆς θαλάσσης γ. scripsi cum L^{e} et E^{g}: διὰ τὴν Θάλασσαν γ. U: om. G 18 supplevi καχλάκων et κάχλακες codd., corr. Ahrens

o. καχλάζοντα: ἀντὶ τοῦ ἠχοῦντα. ὁ δὲ τρόπος ὀνοματο- PT
ποιΐα. ἢ καχλάζειν τὸ ψοφεῖν τὸ κῦμα φερόμενον ἐπὶ τοὺς
κάχληκας.

13/14 a. φράζεο: ὅρα, μὴ προσαλλομένη τῇ Γαλατείᾳ KG
ἡ κύων σπαράξῃ ⟨τὸν καλὸν χρόα⟩.

b. φράζεο, μὴ τᾶς παιδός: φώνησόν σου τὴν κύνα, PT
μή πως τὴν Γαλάτειαν καταδαίσηται. τὸ δὲ ἐπὶ κνάμαισιν
ὀρούσῃ ἀντὶ τοῦ κνήμαις ἐπιπηδήσῃ.

[c.] ⟨φράζεο:⟩ ἢ βουλεύου περὶ τούτου ἢ ἐπίταττε $L^{c}U^{c}E^{c}$
τῇ κυνί.

15/16 a. ἁ δέ: ἰδού, ἔφη, καὶ αὐτὴ ἡ Γαλάτεια διαθρυ- K
πτομένη πάρεισιν ὡς ἀκανθίνη χαίτη, ἣν θέρος φρύγει. χαίτη
γὰρ τῆς ἀκάνθης ὁ πάππος.

b. διαθρύπτεται: ἀντὶ τοῦ [εἰπεῖν ὡς]· οὕτως ἐστὶ τρυ-
φερά, ὡς εἰπεῖν τινα ὅτι διαλύεται.

c. διαθρύπτεται, φησίν, ⟨ὡς⟩ τὰ λευκὰ τῶν ἀκανθῶν τῷ GU
θέρει ἤγουν τῇ μεσημβρίᾳ. οὕτως ἐστὶν ἁπαλή, ὡς εἰπεῖν
τινα ὅτι διαλύεται.

d. ὡς ἀπ' ἀκάνθας: λέγει [δὲ] τῆς κινάρας τὰ φύλλα, K
ἃ φασιν ⟨. . . ἢ⟩ οἱ πάπποι τῆς κινάρας.

e. ἁ δὲ καὶ αὐτόθι τοι διαθρύπτεται: ἤγουν GLUEAT
αὐτόθεν ἐστὶ τρυφερὰ φυσικῶς καὶ κόπτεται, ὥστε διαθρύ-
πτονται αἱ σάρκες αὐτῆς.

f. ταὶ καπυραὶ χαῖται: αἱ κεκαυμέναι ὑπὸ τοῦ KGLUEAPT
ἡλίου, διὰ τὴν λευκότητα.

---

15 Lex. Bachm. 194, 8 Suid. διαθρύπτεται

---

4 τὴν Γαλάτειαν ταύτην G 5 κατασπαράξῃ δὲ τὸν καλὸν χρόα E^{e}, unde scholium explevi 7 καταδαίσηται T: καταιδήσηται P: κατεδέσηται Ahrens: καταδάσηται Ziegler *Jahrb. f. cl. Phil. 125, 1882, 829* 12 πάρεισιν scripsi: πρόεισιν cod. 14 delevi 16 addidi 17 ἤγουν — ὡς evanuerunt in U οὕτος—ἁπαλός G 18 διαλύεται scripsi: διαθρύπτεται codd. 19 delevi 20 ἃ φασιν Apogr. Barb., ἅφα cerni potest in K. postea aliquid intercidisse patet 24 καπυρὸν δὲ λέγει τὸ ἐκκεκαυμένον ὑπὸ G τοῦ om. K post ἡλίου deesse aliquid Ahrensio visum est

LUEAPT g. ⟨χαῖται:⟩ τὰς ⟨τῆς⟩ κινάρας φησίν· χαῖται γὰρ οἱ πάπποι τῆς κινάρας. h. θέλει οὖν εἰπεῖν, ὅτι ἐπικλᾶται καὶ διαθρύπτεται ὡς πάππος κινάρας.

PT [i.] λέγονται δέ, οἶμαι, χαῖται διὰ τὸ κόμαις ἐοικέναι.

KGU^r 17 a. καὶ οὐ φιλέοντα: ἐνταῦθα τὸ ἐρεθιστικὸν καὶ πανοῦργον αὐτῆς σημαίνει· τὸ γὰρ φιλοῦντα φεύγειν, οὐ φιλοῦντα δὲ διώκειν κακοήθους. ὁ νοῦς· καὶ ἐπειδὰν αἴσθηταί ⟨σε⟩, ὦ Πολύφημε, φιλοῦντα, φεύγει καὶ οὐ προσδέχεται, μισοῦντα δὲ διώκει καὶ εἰς πόθον ἄγειν πειρᾶται.

LUEAT [b.] φιλέοντα: εἰ μὲν πρὸς τὴν Γαλάτειαν ἀποτείνεις τὸν λόγον, ὀφείλεις νοεῖν, ὅτι τοῦ ἐρωμένου οὐκ ἐρᾷ, τοῦ δὲ μὴ ἐρωμένου ἐρᾷ· εἰ δὲ πρὸς τὴν κύνα, τὸν φιλοῦντα φεύγει καὶ τὸν μὴ φιλοῦντα διώκει.

KGU 18/19 a. κινεῖ λίθον: καὶ λίθινον, φησίν, ἄγαλμα δύναται εἰς ἔρωτα αὐτῆς ἐπισπάσασθαι· τὴν δὲ τοῦ κάλλους ὑπερβολὴν θαυμάζει.

b. ἦ γὰρ ἔρωτι: ὦ Πολύφημε, φησὶν εἰρωνευόμενος, ἐρᾷ σου ἡ Γαλάτεια, καὶ πάντως εἰς τὸ συμπεῖσαί σε μονονουχὶ τὸν ἀπὸ γραμμῆς λίθον κινεῖ, ὡς ἡ παροιμία φησί. καὶ μὴ θαυμάσῃς, εἰ οὕτως ἀμόρφου ὄντος ἐρᾷ σου· ἐν γὰρ τῷ ἔρωτι καὶ ⟨τὰ μὴ καλὰ καλὰ πέφανται⟩. τὸν ἀπὸ γραμμῆς ἐπὶ τὸν αὐτῆς ἔρωτα μεταφέρεσθαι ποιεῖ.

c. καί σε ὥσπερ λίθον ὄντα τὴν ψυχὴν ὡς ἀπὸ γραμμῆς

---

19 Paroemiographi (Diogen. V 41, ubi v. locos sim.)

---

1 add. Ahrens τὰς κιν. φ. om. PT 2 θέλει—καὶ omissis P praem. l. ἀ δὲ καὶ αὐτόθι 3 οἱ πάπποι PT 6 τὸ γὰρ—κακοήθους om. GU 8 suppl. Call. προσδέρκεται G 12 φιλέοντα priore loco codd. 14 λίθινον GU: λίθον K 15 εἰς ἔρ. δύν. αὐτὴν ἐπισπᾶσθαι (G)U 18 μονονουχὶ Piccolos: μόνον καὶ codd. 19 κινεῖ scripsi pro κινοῦσα librorum, inde a Gaisfordio lacuna post παροιμία (praetermisso φησί) indicabatur 20 ἀμόρφου σου ὄντος εἰ ἐρᾷ σου K 21 supplevi Duebnero auctore τὸν ἀπὸ G: τὸν ἐπὶ U: τὰ ἐπὶ K λίθον post γραμμῆς add. GU ἑαυτῆς GU 23 ὥσπερ λίθον ὄντα τὴν ψυχὴν (τύχην cod., corr. Ziegler) ὡς K: στερεὸν ὄντα τὴν τύχην καὶ ἄτεγκτον ὥσπερ λίθον τὸν cett.

κινεῖ καὶ ἕλκει πρὸς ἑαυτήν. μεταφορικῶς δέ ἐστιν ἡ γραμμή· κυρίως γάρ ἐστι γραμμὴ ἡ τῶν δρομέων σπάρτη.

d. λίθον: τὸν ὥσπερ λίθον στερεὸν ὄντα τὴν ψυχὴν ὡς ἀπὸ γραμμῆς καὶ τέχνης τινὸς κινεῖ ἐπὶ τὸν ἑαυτῆς ἔρωτα. GUEAT

e. τὸν ἀπὸ σφενδόνης λίθον κινεῖ θέλουσα ποιῆσαί σε ἐρᾶν αὐτῆς. UEAT

f. γραμμὴν τὴν τοῦ δακτυλίου περιφέρειαν λέγει. $L^{E}U^{E}E^{E}$

g. μήποτε δὲ ἀπὸ τῶν πεσσῶν ἡ μεταφορά. μέσην γὰρ τιθέασιν οἱ παίζοντες ψῆφον, ἧς οὐχ ἅπτονται, εἰ μὴ τέλεον ἡττώμενοι αὐτῆς ἅψαιντο· λίθον οὖν τὴν ψῆφον. οἷον· τὸν ἔρωτα εἰς ἔσχατον παριστᾷ κίνδυνον. GUEAT

h. καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον: ἤγουν καὶ τὰς ἀψύχους στήλας κινεῖ πρὸς τὸν αὐτῆς ἔρωτα. LUEAT

i. καὶ ὅταν προσποιῇ σὺ μὴ φιλεῖν αὐτήν, πάντα κάλων κινεῖ καθελκύσαι ⟨σε⟩ πρὸς ἔρωτα. ἡ δὲ λέξις μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολέκτως λεγόμενον ζατρίκιον. ἐκεῖνοι γὰρ ὅταν πολλὰ ποιήσαντες οὐ δύναται ὁ ἕτερος νικῆσαι τὸν ὁμοπαίκτορα, κινεῖ καὶ τὸν ἀπὸ γραμμῆς λίθον, ἤγουν τὸν οὕτω βασιλέα καλούμενον.

k. καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον: γράψαι τὸ ξέσαι οἱ παλαιοὶ ἔλεγον. ἀπὸ γοῦν τοῦ γράφειν τοῦ δηλοῦντος τὸ ξέειν γίνεται γραμμὴ ἡ λάξευσις. λίθον οὖν ἀπὸ γραμ- PT

---

1 αὐτήν G post ἑαυτήν GU pro lemmate novo iniciunt verba καὶ τὸν ἀπὸ (ἐπὶ U) γραμμῆς. reliqua ita leguntur in iisdem: κυρίως δὲ ἐπιγραμμὴ (ἐστι γραμμὴ Duebner) ἡ τῶν δρ. σπ. μεταφ. δὲ εἴρηται 3 ὥσπερ scripsi: ὡσπερεὶ Ahrens: ὑπὲρ G: ὕστερον cett. τὴν ψυχὴν Ahrens: τῆς ψυχῆς codd. 5 θέλουσα, quod Adert voluit, U superscr.: θέλων U pr. m. cett. 7 δακτυλίου περιφέρειαν Duebner e Photii Lexico s. σφενδόνη: δακτύλου ἐμφέρειαν codd. 8 μεταφορά scripsi: μεταστροφή GU: om. cett. 10 ἅψαιντο GT: ἅψοιντο EA: ἅπτοιντο U 15 suppl. Call. ἡ δὲ λέξις Call.: αἱ δὲ λέξεις codd. 16 ἐκεῖ Ahrens cum cod. Genevensi 17 πονήσαντες Geel δύνανται EA Call.: οὐ δύνανται ἑτέρως νικῆσαι-, κινοῦσι κτλ. 18 ὁμοπαίκτορα Scaliger (ap. Gaisf.) et Toup: ὅμοιον παίκτορα (L)UEAT

μῆς ἐνταῦθα λέγει τὸ λίθινον ἄγαλμα. ὁ δὲ νοῦς· δύναται ἡ Γαλάτεια καὶ τὸ λίθινον ἄγαλμα εἰς τὸν ἑαυτῆς ἔρωτα ἐπισπάσασθαι δι' ὑπερβολὴν τοῦ κάλλους.

K l. ὦ Πολύφαμε: καὶ σύ, ὦ Πολύφημε, δύσμορφος ὢν εὔμορφος εἶναι νομίζῃ ἐρώσῃ τῇ Γαλατείᾳ. τοιοῦτος γὰρ ὁ ἔρως· ἀποβιάζει τὴν διάνοιαν τῶν ἐρώντων.

PT m. ἦ γὰρ ἔρωτι πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται: μὴ θαύμαζε, φησίν, ὦ Πολύφημε, εἰ ἐρᾷ σου ἡ Γαλάτεια ἀμόρφου ὄντος.

$L^{m}U^{\varepsilon}E^{\varepsilon}A$ n. μὴ καλὰ καλά: ἤγουν σὺ ⟨μὴ⟩ καλὸς ὢν καλὸς φαίνῃ.

o. ἀμόρφου σου ὄντος ἐρᾷ ἡ Γαλάτεια.

KGU^{ε} 20—24 a. τῷ δ' ἔπι Δαμοίτας: ὁ Δαμοίτας ᾄδει ὡς ἐκ προσώπου τοῦ Πολυφήμου τὴν ἀπόκρισιν τοῦ λόγου ποιούμενος καί φησιν· εἶδον, ὡς λέγεις, τὴν Γαλάτειαν, καὶ οὐκ ἔλαθέ μου τὸν ἕνα ὀφθαλμὸν καὶ γλυκύν, ἐν ᾧπερ νῦν ὁρῶ καὶ εἴη μοι μέχρι τέλους ὁρᾶν

PT b. τῷ δ' ἔπι Δαμοίτας: ἐπὶ τῷ Δάφνιδι δέ, ἤγουν μετὰ τὸν Δάφνιν. τὸ δὲ ἀνεβάλλετο ἀντὶ τοῦ ἐπροοιμιάζετο.

$LU^{m}EA$ c. ἀναβάλλω γ' σημαίνει· ἀναβάλλω τὸ ἐνδύομαι, ἀναβάλλω τὸ ῥᾳθυμῶ καὶ ἀποστρέφομαι, καὶ τὸ ἀνακρούω ὡς ἐνταῦθα.

PT [d.] ἀναβάλλω σημαίνει δ'· τὸ ἐνδύομαι ὡς τὸ 'ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον' (Psalm. 103, 2)· τὸ προοιμιάζομαι ὡς τὸ 'ἀνεβάλλετο καλὸν ἀείδειν' (α 155)· τὸ ἀνακρούω ὡς τὸ 'καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύν-

---

23 Orus Περὶ πολυσ. λέξ. *(Reitzenstein Gesch. d. gr. Etym. 339)*

---

2 αὐτῆς T 10 suppl. Ahrens καλὸς φ. A: κακὸς φ. cett. 15 verba καὶ οὐκ ἔλαθε seqq., quae in U desiderantur, pro novo scholio sunt in G lemmate οὔ μ' ἔλαθε praemisso 19 ἐπροοιμιάζετο $U^{\varepsilon}E^{\varepsilon}$ 23 ordo definitionum in T hic est: τὸ προοιμιάζω (sic)—τὸ ἀνακρούω—τὸ ἐνδύομαι—καὶ τὸ ἀπαρνοῦμαι κτλ. τὸ ὁ ἀναβ. T 24 ὡς τὸ ἱμάτιον P 26 post ἀνακρούω T add. καὶ ἀναπέμπω (ἀναμέλπω Hemsterhuys) καὶ om. P

τονον' (Aphthon. Progymn. 1, Rhet. gr. II 21, 15 Spengel)· καὶ τὸ ἀπαρνοῦμαι ὡς τὸ 'ἀναβολὴν ποιοῦμαι τοῦδε τοῦ πράγματος'.

[e.] γράφεται καλὸν ἀείδειν. K

f. εἶδον ναὶ τὸν Πᾶνα: ἀντὶ τοῦ μὰ τὸν Πᾶνα. P

g. κοὔμ' ἔλαθ' οὐ τὸν ἐμὸν ⟨τὸν⟩ ἕνα: λείπει τὸ ὀφθαλμόν, ἀντὶ ⟨τοῦ⟩ μὰ τὸν ἐμὸν τὸν ἕνα ὀφθαλμόν.

h. ὁ μάντις ὁ Τήλεμος: οὗτός ἐστιν ὁ Τήλεμος ὁ παρ' Ὁμήρῳ (ι 509) 'Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο', ὃς ἐμαντεύσατο αὐτῷ, ὅτι ὑπὸ τῶν χειρῶν Ὀδυσσέως τυφλωθήσεται. K Q L^{B} U^{T} P T

i. ὁ νοῦς· ὁ δὲ μάντις ὁ Τήλεμος ὁ τὰ ἀπευκτά μοι μαντευσάμενος ἀπευκταίαν συμφορὰν ἀντ' ἄλλου κλήρου τοῖς ἑαυτοῦ παισὶ καταλίποι. ἦν δὲ Κύπριος ὁ Τήλεμος. K Q

k. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος: ὁ μάντις, ὅς μοι εἴρηκε τυφλωθῆναι, αὐτὸς τυφλωθείη παρὰ τῶν παίδων αὐτοῦ. τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ ὁ τοιοῦτος μάντις εἰρήκει αὐτῷ τυφλωθήσεσθαι ὑπὸ Ὀδυσσέως. Q L U E A T

l. ὁ παρ' Ὁμήρῳ Τήλεμος Εὐρύμου ἐμαντεύσατο Πολυφήμῳ τῷ Κύκλωπι ἐκ χειρῶν Ὀδυσσέως ἁμαρτήσεσθαι ὀπωπῆς (ι 512). L

m. ἐχθρὰ φέρει ποτὶ οἶκον: ἐχθρὰ φυλάξει τοῖς τέκνοις αὐτοῦ. ἐμαντεύσατο γὰρ τῷ Πολυφήμῳ (ι 512)· 'χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς'. Q L^{ma} U E A T

n. ἐχθρὰ φέρει ποτὶ οἶκον: τοῦτό ἐστιν ὅπερ λέγει, ὅτι τὰ ῥηθέντα μοι παρὰ τοῦ μαντέως κακὰ ἀντιστραφῶσιν αὐτῷ καὶ τοῖς τέκνοις αὐτοῦ. L U E A T

---

5 μὰ U^{B} 6 λείπει ὀφθαλμόν L^{B} U^{B} E^{B} 7 μὰ τὸν ἐμὸν ὀφθαλμόν K^{B} 8 L ceteris omissis haec praestat: ὁ παρ' Ὁμήρῳ Τήλεμος Εὐρύμαχος, ὃς μαντοσύνῃ ἐκέκαστο 9 Εὐρύμαχος P T 10 αὐτῷ ὅτι ὑπὸ τῶν χ. Ὀδ. τυφλωθήσεται (G U) P T: ὑπὸ χ. Ὀδ. τυφλωθῆναι (-ήσεσθαι Geel) K 11 ἀπευκτά K: ἀπεχθῆ G 12 μαντευόμενος K 13 ἦν seqq. desunt in K 18 Εὐρυμάχου cod., correxi 21 post ἐχθρὰ lac. ind. Ahrens 22 Κύκλωπι post Πολυφήμῳ add. U E A T 23 Ὀδυσσέως codd. Theocr.

KL^{s}U^{s}E^{s} 25 a. *κνίζων*: *καὶ ἐγὼ αὐτὸς κνίζω αὐτὴν οὐδόλως προσβλέπων καὶ ἀντιλυπῶ· λείπει δὲ τὸ αὐτήν.*

G b. *ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζω*: *κνίζω αὐτὸς αὐτήν. οὔποθ' ὁρῆμαι*: *οὐδόλως προσβλέπω αὐτὴν ἀνακοπὴν ποιούμενος λυπῶν.*

P c. *ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων*: *ἀντὶ τοῦ λυπῶν. τὸ δὲ οὔποθ' ὁρῆμαι ἀντὶ τοῦ μὴ βλέπειν προσποιοῦμαι.*

K 26/27 a. *γυναῖκ' ἔχεν*: *ἀλλ' ἐγὼ ἑτέραν ἔχω· ἡ δὲ ζηλοτυπεῖ με καὶ διαρρεῖται. τὸ δὲ ὦ Παιάν διὰ μέσου.*

GU^{s} b. *ἀλλ' ἄλλαν τινά*: *ἀλλὰ λέγω· ἄλλην τινὰ γυναῖκα ἔχω, διὰ τοῦτο οὐκ ἐπιστρέφομαι αὐτῆς.*

P c. *ζηλοῖ μ', ὦ Παιάν*: *ἀντὶ τοῦ ζηλοτυπεῖ με.*

KGLUEAT 28 a. *οἰστρεῖ*: *τὸν οἶστρον τοῦ μύωπος Σώστρατος* (cf. *Fgm. hist. gr. IV 505*^{b}; Wellmann *Herm. 24, 1889, 565*) *διαστέλλει. οἶστροι δέ εἰσι πολέμιοι τοῖς βουσίν· ὅταν γὰρ δάκνωσιν αὐτούς, οἰστρᾶν ποιοῦσι καὶ τρέχειν πολλὴν ὁδὸν ἐν τοῖς πεδίοις καταλιπόντας τὸν νομόν. μεταφορικῶς οὖν φησι καὶ τὴν Γαλάτειαν οἰστρᾶν καὶ δρομαίαν ἔρχεσθαι πρὸς τὰ ἄντρα καὶ τὰς πoίμνας τοῦ Κύκλωπος.*

GLUEAT b. *οἰστρεῖ παπταίνοισα*: *ἤγουν ⟨ἐρωτιᾷ ὡς⟩ ὑπὸ οἴστρου πεπληγμένη.*

---

13 sch. Apoll. Rhod. I 1265: *Σώστρατος δὲ ἐν τῇ τετάρτῃ περὶ ζῴων διαστέλλει τὸν μύωπα τοῦ οἴστρου.* Hesych. *οἶστρος* sch. Lyc. 151, 9 Scheer sch. χ 299 Eust. 1928, 15 Serv. Verg. Georg. III 146. 148

---

1 *καὶ ἐγὼ αὐτὸς κν. αὐτὴν οὐδόλως πρ. καὶ ἀντιλυπῶν* (sic) K: *ἀλλὰ καὶ ἐγὼ οὐδόλως προσβλέπων* (-ω U) *αὐτὴν ἀντιλυπῶ* (ῶν U) cett.; quibus U add. *ἀλλὰ καὶ ἐγὼ αὐτὸς κνίζω αὐτήν* 2 *λείπει* seqq. om. LUE 3 *κνίσσω* altero loco cod. 9 *ζηλοτυπεῖ* L^{s}U^{s}E^{s} 10 *τινὰ γυν.* G: *γυν. οὐκ* U 13 *οἰστρῇ* K *τὸν οἶστρ. τ. μ. Σ. διαστ.* KG: *διαστ. τὸν οἶστρ. ἀπὸ τ. μ.* cett. 15 *ὅσπερ ἐστὶ πολέμιος* K 16 *οἰστρᾶν* K: *οἰστρεῖν* cett. 17 *ἐν τοῖς — νομόν* K: *μετὰ βοῆς* cett. *μεταφ. — οἰστρᾶν* K: *καὶ τὴν Γαλ. οὖν οἰστρεῖν φησιν ὁ Θεόκριτος κατὰ μεταφοράν* cett. verbis sequentibus praetermissis 20 *ἐρωτιᾷ* supplevi ex L^{s}U^{s}E^{s}, *ὡς* add. Ahrens

c. *οἰστρῇ παπταίνουσα: ἤγουν ἀκολασταίνει. τὸ δὲ παπταίνουσα ἀντὶ τοῦ περιβλέπουσα.* P

29/30 a. *σῖγα δ' ὑλακτεῖ νιν: ἀντὶ τοῦ· σιγῇ καὶ ἠρέμα ὑποψιθυρίζει καὶ αὐτῇ τῇ κυνὶ περὶ ἐμοῦ τινα, ἐπεὶ κἀγὼ ἡνίκα ἤρων αὐτῆς, ἔσαινεν ἡ κύων καὶ κατεθώπευε προσέχουσα τὸ ῥύγχος τοῖς ἰσχίοις αὐτῆς. τὸ δὲ ὑλακτεῖν οὐ κυρίως, ἀλλὰ καταχρηστικῶς· ἴδιον γὰρ κυνῶν. τινὲς δὲ ὑλακτεῖν γράφουσιν, ἵν' ἐλλιπὲς ᾖ τὸ ἐπέτρεψεν. οἱ δὲ προστακτικὸν ὑλάκτει, ἵν' ᾖ· καὶ τῇ κυνὶ εἶπεν· ὑλάκτει.* KQU

b. *σῖγα δ' ὑλακτεῖν νιν: λείπει τὸ ἐπέταξα, ⟨ἵν'⟩ ᾖ· ἐπέταξα καὶ τῇ κυνὶ σιγᾶν καὶ μὴ ὑλακτεῖν.* KQUPT

c. *γράφεται σιγᾷ δ' ἅ τε κύων νιν ὑλακτεῖ, ἡσυχα δηλονότι.* K

[d.] *ὅταν μὲν ὡς ἐπίρρημα κέηται, ὀφείλομεν ⟨προ⟩περισπώμενον ποιεῖν· ὅταν δὲ προστακτικῶς ἐκδιδῶται, ὡς μακρῶν οὐσῶν καὶ τῶν δύο συλλαβῶν παροξυτόνως.* U[r]

e. *ἐκνυζεῖτο: κνυζηθμὸς λέγεται ἡ τῶν κυνῶν ἄσημος ὑλακή. φησὶν οὖν, ὅτι παραγενομένην ἔσαινε τὴν Γαλάτειαν.* KQL[m]U[r]U[m]EAPT

---

17 sch. II 108/109 b Hesych. *κνύζα* Hesych. Suid. *κνυζηθμός* sch. π 163 sch. Ar. Vesp. 977 Et. Gud. 331, 50 Sturz Et. M. 522, 47

---

1 *ἀκολασθαίνει* cod. 3 *ἀντὶ τοῦ σιγῇ* evan. in K, *σιγᾶ* Apogr. Barb. 4 *ὑποψιθυρίζει* K: *ὑλακτεῖν ἐπιφωνεῖν* G: *ὑλακτεῖ καὶ ἐπιφωνεῖ* U *αὐτῇ* K: *αὐτὸν* GU 5 *προσέχουσα* scripsi: *προέχουσα* K: *προσάγουσα* GU 8 *ἔτρεψεν* U, *ἔτρεψα* G 9 *εἶπεν ὑλ.* om. G, *ὑλ.* etiam K 10 in G desunt omnia usque ad *κυνί* l. om. KU *λείπει καὶ τὸ* KU *λείπει τὸ ἐπέταξα* U[s]E[s] post prius *ἐπέταξα* add. (*καὶ* U) *τῇ κυνὶ σιγᾶν* KU *⟨ἵν'⟩ ᾖ* scripsi: *ἢ* K: *ἤγουν* PT: om. U 14 supplevi. pertinet sch. ad voces *σῖγα* et *σίγα* differendas 17 l.: *ἐκνύζοιτο* K: *ἐκνυζᾶτο* G: om. cett. *κνισμὸς λέγ.* GU[m], om. K 18 *φησὶν οὖν* seqq. non exstant nisi in K *παραγενομένη* K, correxi

KL$^{\beta}$U$^{\beta}$E$^{\beta}$ f. *ἐκνυζεῖτο: ἐκαναχίζετο ἡ κύων.*

KPT g. *ποτ' ἰσχία: πρὸς τὰ ἰσχία αὐτῆς ἐφήλλετο.*

KBLUEA$^{1.2}$PT h. *ποτ' ἰσχία: τὸ στόμα ἀναμέσον τῶν ἰσχίων ἔχουσα· οὕτω γὰρ κοιμῶνται οἱ κύνες.*

BL^{m}U^{r}EA i. *ἰσχίον ἐστὶ τὸ ὑπὸ τὴν ὀσφὺν ὀστέον, εἰς ὃ ἔγκειται τὸ ἱερὸν ὀστοῦν, ὅπερ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὸ κοῖλον εἶναι. κοτύλαι δὲ λέγονται αἱ ἐν τοῖς ἰσχίοις κοιλότητες, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται.*

PT k. *ἰσχία λέγεται τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μηρῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν. ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ τὰ λεγόμενα ἰσχία κοιλότητάς τινας, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. αἱ δὲ κοιλότητες αὗται καὶ γλουτὰ λέγονται καὶ κοτύλαι παρὰ τὴν κοιλότητα. τὸ δὲ ῥύγχος καταχρηστικῶς ἐπὶ τοῦ κυνὸς νυνὶ λέγεται· κυρίως δὲ ἐπὶ τῶν ὀρνέων.*

KB l. *ῥύγχος τὸ καλούμενον ῥάμφος, ἢ ῥὶς τῶν ὀρνέων.*

BLEA m. *ποτὶ ῥύγχος ἔχοισα: ῥύγχος κυρίως ἐπὶ τῶν ὀρνέων, νῦν δὲ καταχρηστικῶς ἐπὶ τῶν κυνῶν λέλεκται.*

LEAT n. *λέγεται δὲ νῦν ῥύγχος τὸ ἄκρον τῆς ῥινὸς τοῦ κυνός.*

L$^{\beta}$U$^{\beta}$E$^{\beta}$ o. *ῥύγχος τῶν ἰχθύων καὶ τῶν χοίρων, ῥάμφος τῶν ὀρνέων.*

K 32 a. ⟨*ἄγγελον:*⟩ *τὸν ἀπαγγελοῦντά μοι περισσόν τι παρὰ αὐτῆς.*

---

5 sch. A B T *E* 306 Hesych. Phot. Suid. *ἰσχίον* Hippocr. De locis in hom. (II 110 Kuehn) Athen. XI 479 b Hesych. Suid. *κοτύλη* 14 Hesych. Phot. Suid. *ῥάμφος* Lex. Bachm. 358, 1 sch. Ar. Av. 348 Eust. 1467, 18

---

1 *ἐκάμπτετο* verbis *ἡ κύων* omissis **K** 2 *ἐφήλλετο* **K**: *ἐπήδα* **PT** 3 l. om. **KPT** *οὐδέ* (*εὖδε* Wilamowitz) ante *τὸ στόμα* add. **K** *αὐτῆς* post *ἰσχίων* add., *οὕτω* seqq. om. **PT**. 5 hoc scholium evanuit in **L** exceptis verbis ultimis inde ab *εἰς ἃς* *εἰς ὃ—ὀστοῦν* om. **UEA** *ἔκεινται* **G**, correxi 7 *κοῖλον εἶναι* **G**: *κοιλότατον* **UEA** *κοτύλαι—κοιλότητες* om. **UEA** 10 *μηρῶν* Pierson *Moer. Att. Lex. 193*: *μερῶν* codd. 17 l. om. **G** 22 l. evan. in **K**, **Apogr. Barb.** falso praefixit verba *ἔστε κ' ὀμόσσῃ* *περισσόν* **K**: *πρέσσον* **Apogr. Barb.**: *πρέπον* Call.: *τερπνόν* Geel 23 *περὶ* cod.

b. κλαξῶ: κλείσω. KL^{E}U^{E}E^{E}

33. αὐτά μοι στορέσειν: ἢ διακονήσειν ἐμοί· ἢ ἀντὶ τοῦ γνησία μοι γυνὴ εἶναι. KLEAPT

34. οὐδ' εἶδος: εὔμορφον ἑαυτὸν ποιεῖ ἐπαινῶν τὸ εἶδος αὐτοῦ. K

35. ἦ γὰρ πρᾶν: καὶ γὰρ πρώην κατωπτρισάμην ἐν τῇ θαλάσσῃ. KL^{E}U^{E}E^{E}

36—38 a. κώρα: κόρη, ὁ ὀφθαλμός. K

b. ὡς παρ' ἐμίν: τοῦτό φησι, παρόσον οἱ κατὰ φύσιν μονόφθαλμοι τοῖς οὐ μονοφθάλμοις ἄμορφοι δοκοῦσιν εἶναι καὶ οὐχ ὁμοίως κρίνουσιν ἑκάτεροι τοὺς ἀνομοίους τῇ φύσει. KGLEAPT

c. τῶν δὲ ὀδόντων τὴν φαιδρότητα λευκοτέραν τῆς Παρίας λίθου ἀπέφηνεν ἡ θάλασσα. KG

d. γράφεται δὲ καὶ τοῖς δέ τ' ὀδοῦσι, δοτικὴ ἀντὶ γενικῆς, ὡς τὸ (Γ 16) Τρωσὶ μὲν προμάχιζεν' ἀντὶ τοῦ τῶν Τρώων. Δωρικὸν τὸ ἔθος. KGU

e. τῶν δέ τ' ὀδόντων: τῶν ὀδόντων ἡ λευκότης λευκοτέρα ἐδείκνυτο Παρίας λίθου. Παρία γάρ ἐστι λίθος λευκή. PT

f. Παρίας: εἶδος λίθου. K

39 a. ἔπτυσα κόλπον: τὸ νεμεσητὸν ἐκτρεπόμεναι ποιοῦσι τοῦτο, καὶ μάλιστα αἱ γυναῖκες. Καλλίμαχος (fgm. 235 Schneider, II 477)· 'δαίμων, τῇ κόλποισιν ἐπιπτύουσι γυναῖκες'. KG

b. τρὶς ἐς τὸν ἐμὸν ἔπτυσα κόλπον. ποιοῦσι γὰρ τοῦτο μάλιστα αἱ γυναῖκες. PT

---

8 *οἰκεία* **K** **4** *εὔμορφον* dubitanter scripsi: *εὔψυχρον* cod. **6** *πρώην*, quod Duebner coniecit, videbar mihi legere in **K**: *πρῶτον* cett. *ἐν τῇ θαλάσσῃ* **K**: *εἰς τὴν θάλασσαν* cett. **10** *τοῖς οὐ μονοφθάλμοις* om. **KG** **11** *καὶ οὐχ ὁμοίως* **KG**: *οὐχ ὁμοίους* (-ως **T**) *γὰρ* cett. *ἀμφότεροι* **PT** *τῇ φύσει* **LEA**: *τὴν φύσιν* **PT**: om. **KG** **12** *φαιδρότητα* **K**: *λευκότητα* **G** **13** *ἀπέφαινεν* **K** **14** *τ'* Ziegler: *τοῖς* codd. *τὸ* om. **K** **15** *προμαχίζειν* **GU** in syllaba *Δω-* desinunt scholia codicis **U** **21** poetae verba om. **G** *δαῖμον* Bentley et Toup *τῇ* Jacobs *Anim. in epigr. Anth. gr. II 3, 112*: *τι* **K** *ἐνιπτύουσι* Hecker *Phil. 4, 1849, 479*

K 40 a. *ἃ γραῖα με: Εὐρυτιώνην τὴν ⟨Τι⟩μάνδρου θυγατέρα καὶ Κοτυτὼ ἐτίμησαν οἱ Ἡρακλεῖδαι διὰ τὸ συναγωνίζεσθαι εἰς τὴν τῆς Πελοποννήσου κάθοδον, ὡς οἱ περὶ Ἱππόστρατον* (fgm. 2 Mueller *Fgm. hist. gr. IV 432*) *ἀποφαίνουσιν.*

GLEAPT b. *ἃ γραῖα με Κοτυταρὶς: ἀπὸ τῆς παρὰ Δωριεῦσι τιμωμένης Κοτυτοῦς ὠνόμασται Κοτυταρίς. ἦσαν δὲ Τιμάνδρου θυγατέρες Κοτυτὼ καὶ Εὐρυτιώνη, ἃς ἐτίμησαν Ἡρακλεῖδαι διὰ τὸ συναγωνίσασθαι αὐτοῖς κατὰ τὴν εἰς Πελοπόννησον ἄφιξιν.*

K c. *Κοτυταρὶς παρὰ τὸ Κοτυτώ, ἣν τιμῶσι Κορίνθιοι. τάχα δὲ παρὰ τὸν κότον πεποίηται· δύσκολοι γὰρ οἱ γέροντες καὶ πικροί. Ἀριστοφάνης* (Equ. 42)· *‘Δῆμος πυκνίτης, δύσκολον γερόντιον’.*

KGLEA d. *ἔστι Κοτυτὼ Δωρικὴ θεός, παρ’ ἣν ὠνόμασται καὶ αὕτη.*

GLEA e. *ἡ δὲ Κοτυταρὶς ὠνόμασται ἀπὸ τοῦ κότου· ἕτοιμοι γὰρ εἰς κότον οἱ γέροντες.*

P PT f. *ταῦτα γὰρ ἃ γραῖα με Κοτυτταρὶς: ὄνομα κύριον. [ἢ] παρὰ τὸν κότον ἴσως πεποίηται· καὶ γὰρ οἱ γέροντες ὀξύθυμοί εἰσιν.*

L^{E}E^{E}PT 41. *παρ’ Ἱπποκίωνι: Ἱπποκίων ὄνομα κύριον ἢ ὄνομα τόπου.*

---

1 sch. Pind. Ol. XIII 56 b

---

1 *Τιμάνδρου* et *Κοτυτὼ* scripsi e scholio Pind.: *μάνδρου* et *Κτώαν* **K** 7 *Κοττοῦς* et *Κοττὼ* codd., corr. Ahrens *ὠνόμ. Κοτυτ.* om. **PT** *Τιμάνδρου* et *Εὐρυτιώνη* scripsi: *Τιμανδρέως* et *Εὐρύθεμις* codd. 11 *Κοκυταρὶς* (sic) in cod. post *Κοκυτώ* (sic), transposui 13 cum Zieglero versum dedi, qualis apud poetam legitur. **K**: *δημοπύκτοι δύσκολοι γέροντες* 15 *Κοκυτὼ* **K** *ἣν* **K**: *ἧς* cett. *καὶ αὕτη* om. **GLEA** 20 *ἢ* delevi; spectat ad alterum *ἤ*, quod in iisdem libris scholio b praefixum est 22 l.: *παρ’ Ἱπποκίωνα* **T**: om. **P** *ὄνομα κύριον, ἡ γενικὴ τοῦ Ἱπποκόωντος* (**L**)**E**

46 a. *νίκη μὲν οὐδ' ἄλλος: ἀντὶ τοῦ· οὐδέτερος ἐνίκη-* KG
σεν. προδέδεικται δέ, ὅτι καὶ φησι (VII 36 cum sch. b)·
'τάχ' ὥτερος ἄλλον ὀνάσει'.

b. *ἀνήσσατοι: ἀντὶ τοῦ ἀήττητοι ἐφαμίλλου γενομένης* K
τῆς μάχης, ἀνίκητοι.

c. *νίκη μὰν οὐδ' ἄλλος: ἀντὶ τοῦ· οὐ γὰρ πρός τινος* GLEAT
ἡττήθησαν. ἀνήσσατοι δὲ ἀντὶ τοῦ ἀήττητοι, ἀνίκητοι·
τουτέστιν οὐδεὶς αὐτοὺς ἐνίκησεν.

d. *⟨ἀνάσσατοι:⟩ ἤγουν ἰσοπαλεῖς ἢ ἀνίκητοι.* E[5]

VIII. *Βουκολιασταί.* ⟨β'⟩

a. *Τὰ μὲν πράγματα ἐπὶ Σικελίας, ὁ δὲ λόγος ἐκ τοῦ* KUEAGPT
ποιητικοῦ προσώπου. εἰσὶ δ' ἐρίζοντες ἀλλήλοις Δάφνις βου-
κόλος καὶ Μενάλκας ποιμὴν εἰληφότες κριτὴν αἰπόλον· ἔπαθλα
δὲ τεθείκασι τὰς σύριγγας.

b. *τὰ πράγματα ἐν Σικελίᾳ, ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ* KUEAT
προσώπου. Μενάλκας καὶ Δάφνις εἰς ἔριν βουκολικῶν ᾀσμά-
των καταστάντες εἵλοντο κριτήν τινα, οὗ τὸ ὄνομα σεσιώπηται,
ἔπαθλα δ' ἐτίθεσαν τὰς ἰδίας σύριγγας. προσέτι δὲ ⟨τὸν⟩
κριτὴν ὁ Δάφνις εὖ μάλα ᾄσας προσηγάγετο μαθητεῦσαι
ἑαυτῷ. Σωσίθεος (Nauck *Trag. gr. fgm.*[2] *821*) *δὲ Δάφνιν*

---

2 *προδέδεικται* (*προσδ.* G) seqq desunt in K 3 *ταχύτερος* G 5 *ἀνίκητοι* postea adiectum 6 l. om. G *οὐδὲ* G

Tit.: *B.* KUEAT ante arg. b: *B. Δάφνις καὶ Μενάλκας* KPT: *Δ. καὶ M.* L: *Δ.* UE: om. GA *β'* add. Wilamowitz *Buc.* 13 *καὶ* om. K *ἔπαθλα* arg. b: *-ον* KGPT: om. una cum seqq. cett. 15 *λόγος* Call.: *νοῦς* codd. 18 *ἔπαθλα* K: *-ον* cett. *⟨τὸν⟩ κριτὴν* Ahrens: *κριτὴς* codd. Duebner maluit *ὁ κριτὴς Δάφνιν εὖ μάλα ᾄσαντα* 20 *ἑαυτῷ* Ahrens: *ἑαυτόν* UEAT: *αὐτόν* K

〈. . .〉 *γενόμενον, ὑφ' οὗ νικηθῆναι Μενάλκαν ἄδοντα Πανὸς κρίναντος, γαμηθῆναι δὲ αὐτῷ καὶ Νύμφην Θάλειαν. Ἀλέξανδρος δέ φησιν ὁ Αἰτωλὸς* (fgm. 5 Meineke *Anal. Alex. 250*) *ὑπὸ Δάφνιδος μαθεῖν Μαρσύαν τὴν αὐλητικήν.*

UEAT 3. *ἔνηβοι μὲν οἱ πεντεδεκαετεῖς καὶ πορρωτέρω· ἄνηβοι δὲ οἱ κατωτέρω* [*δωδεκαετεῖς*].

K 6 a. *ἐπίουρε βοῶν: ἀντὶ τοῦ ὦ φύλαξ τῶν μυκωμένων βοῶν.*

UEAT b. *μυκητᾶν ἐπίουρε βοῶν: ἐπίσκοπε, φύλαξ. ὡς καὶ Ὅμηρος* (*ν* 405) *'ὅς τ' ὀΐων ἐπίουρος'* καὶ (*N* 450) *'ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον'. γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω.*

GPT c. *μυκητᾶν ἐπίουρε βοῶν: ἀντὶ τοῦ μυκητῶν βοῶν ἤτοι μυκητικῶν.*

KGP d. *λῆς μοι ἀεῖσαι: θέλεις συγκριθῆναί μοι ταῖς ᾠδαῖς;*

$L^{S}U^{S}$ [7 a.] *ἀξιωματικὸς ὁ λόγος.*

K b. *ὅσον θέλω: ἐφ' ὅσον ἂν θέλω.*

9. *συριγκτά: μεγαλόφωνε, μεγάλα συρίζειν δυνάμενε.*

---

1 sch. 93 a Serv. auct. Verg. Buc. VIII 68: alii hunc Daphnin Pimpleam amasse dicunt. quam cum a praedonibus raptam Daphnis per totum orbem quaesisset, invenit in Phrygia apud Lityersem regem servientem, qui hac lege in advenas saeviebat, ut cum multas segetes haberet peregrinos advenientes secum metere faceret victosque iuberet occidi. sed Hercules miseratus Daphnidis venit ad regiam et audita condicione certaminis falcem ad metendum accepit eaque regi caput amputavit. ita Daphnin a periculo liberavit et ei Pimpleam, quam alii Thaliam (ithaliam *cod. Leid., corr. Jahn*) dicunt, reddidit; quibus dotis nomine aulam quoque regiam condonavit.
7 sch. A *N* 450 sch. *ν* 405 Eust. 1774, 33

---

1 lac. ind. Meineke l. l. post *Πανὸς* in libris leguntur verba *καὶ Νυμφῶν*, quae primus transposuit et paulo mutata ad *Θάλειαν* rettulit Buecheler *Rhein. Mus. N. F. 39, 1884, 275* 4 *αὐλητικήν* Meineke l. l.: *ἁλιευτικήν* K: *λυρικήν* cett. 5 *πεντεκαιδεκαετεῖς* ET 6 delevi, *δωδ. καὶ κατωτέρω* T 10 *ὅς τοι ὑῶν* Hom. 15 *δι' ὠδῆς* GP 16 *ἀξιωματικῶς λέγει* U 17 *ἐφ' ὅσον* Ziegler: *ἐφοιόν* cod.

10 a. οὔποτε νικασεῖς: οὔποτέ με νικήσεις, οὐδ' εἰ διαρραγείης ᾄδων, παρὰ τὸ ἐν τῇ συνηθείᾳ. ἢ· οὐδὲ ἐὰν ἀποθάνῃς ἢ [ἐὰν] ἀπάγξῃ.

b. ⟨οὐδ' εἴ τι πάθοις:⟩ τὸ λεγόμενον ⟨ἐν⟩ τῇ συν- L^{E}
ηθείᾳ· οὐδ' ἐὰν σχισθῇς, οὐδ' εἰ διαρραγείης ᾄδων.

c. οὐδ' εἴ ⟨τι⟩ πάθοις τύγ' ἀείδων: οὐδὲ ἐὰν πάθῃς E^{E}GP
⟨τι⟩ ἀείδων. τοῦτο ἡμεῖς φαμεν· οὐδ' εἰ διαρραγείης ἀείδων.

11. χρήσδεις δ' ὧν: ἀντὶ τοῦ· βούλει ἔργοις μαθεῖν, K
ὅτι σου κάλλιον ᾄδω;

13 a. ἄρκιος εἴη: τίς ἆθλος ἡμῖν ἀρκέσει, καὶ τίνα καταθήσομεν [ἡμῖν] ἀντὶ τῆς νίκης;

b. ⟨ἄρκιος:⟩ ἀξιόχρεως. K^{E}

14 a. ἰσομάτορα: ἴσον τῇ μητρί, τουτέστι μέγαν. KL^{E}E^{E}GP

b. ἰσομήτορα: †ἰσόγαιον†. K

15/16. μᾶλ' ἀριθμεῦντι: ἀριθμοῦσιν ὁ πατήρ μου καὶ B
ἡ μήτηρ μου.

18 a. ἐννεάφωνον: ἐννέα φθόγγους ἔχουσαν ἢ τὴν ἐξ K
ἐννέα καλάμων συγκειμένην.

b. ⟨ἐννεάφωνον:⟩ τὴν ἀπὸ ἐννέα καλάμων συγκειμένην L^{E}U^{E}E^{E}P
ἢ ταῖς ἐννέα φωναῖς ἁρμόζουσαν· ἐννέα γὰρ πᾶσαι αἱ φωναί.

19 a. ἴσον κάτω: ἢ ἰσόχειλον ἢ τετράγωνον. K

b. ⟨ἴσον κάτω, ἴσον ἄνωθεν:⟩ ἰσόμηκες ἔχουσαν τὸ E^{E}
κάτω καὶ τὸ ἐπάνω.

c. λευκὸν κηρὸν ἔχουσαν ἴσον κάτω ἴσον ἄνωθεν: K
τουτέστιν ἴσον κηρόν. τετράγωνον οὖσαν δηλοῖ τὴν σύριγγα. εἰ γὰρ τοσοῦτον εἶχε κηρὸν ⟨κάτω⟩ ὅσον ἄνωθεν, δηλονότι

---

2 prius ἢ legitur ante παρὰ, transposui 3 ἐὰν delevi, ἢ ⟨οὐδὲ⟩ ἐὰν prop. Ahrens 4 add. Duebner 5 οὐδ' εἰ seqq. U^{E} 7 τοῦτο GP: ὅπερ E εἰ E: ἐὰν GP ἀείδων om. GP 9 κάλλιον ᾄδω Geel: καλλίων εἰμί cod.: κρείσσων εἰμί caute Ahrens 11 delevi 19 τὴν—συννημμένην ἢ ταῖς—φωναί L: ταῖς—φωναὶ ἢ τὴν—συγκειμένην UE: ἐννεάφθογγον τὴν—συγκειμένην P 24 composui scholium in codice hoc modo discissum: λευκὸν κηρὸν ἔχουσαν· τουτέστιν ἴσον κηρόν. ἴσον κάτω ἴσον ἄνωθεν· τετράγωνον κτλ. 26 supplevi

τὸ σχῆμα τετράγωνον ἦν. προτίθησι ⟨δὲ⟩ τὴν τετράγωνον ὡς τιμιωτέραν τῆς τριγώνου· ἡ γὰρ τρίγωνος ἐξ ἀνίσων καλάμων, ἐπὶ μέντοι τῆς τετραγώνου δεῖ θαυμάζειν ἴσων ὄντων πανταχόθεν καλάμων.

$L^{E}U^{E}E^{E}P$ 23. συνέπαξα: συνέπηξα, συννήρμοσα.

K 26 a. τῆνόν πως: ἀντὶ τοῦ· ἄγε δή πως ἐκεῖνον ἐφ' ἡμᾶς καλέσωμεν.

UEAT b. τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον: λείπει τὸ σκόπει, ἵν' ᾖ· σκόπει ἐὰν καλέσωμέν πως, ἤγουν τινὶ τρόπῳ, τὸν αἰπόλον ἐκεῖνον.

c. ἐλλειπτικῶς· τῆνόν πῶς ἐνταῦθα τὸν αἰπόλον, νοητέον ἔξωθεν κράξωμεν.

d. ἦν καὶ ἰδοὺ Ἀττικῶς, ὡς καλέσωμεν.

$L^{E}U^{E}$ e. ⟨ἦν καλέσωμες:⟩ ἐθελήσομεν καλέσαι κρίνειν.

KUEAGPT 27 a. κύων ὁ φάλαρος: φάλιος, λευκός. καὶ Ὅμηρος (*N* 799) τὰ κύματα [φαληριόωντα] λέγει τὰ λευκαινόμενα 'κυρτὰ φαληριόωντα'. [τὸ] φαλιὸν δὲ καὶ βαλιὸν λέγουσι καὶ τὸν ἐν τῷ μετώπῳ λευκόν ⟨τι⟩ ἔχοντα ὁμοίως.

---

15 sch. V 102/103 i sch. BT *N* 799 sch. A *Γ* 362 Hesych. φάλαρος· φάλιος, φαλακρός, λευκομέτωπος. id. φαληριόωντα Phot. Suid. φάλαρα Et. M. 787, 1. 8 (cf. Gen.) Et. Gud. 338, 59; 548, 34 Sturz Et. Or. 159, 19 Eust. 601, 10; 960, 50; 424, 8; 1850, 7

---

1 τετράγωνον et priore loco et posteriore nec non τριγώνου compendiis mathematicis in archetypo expressa fuerunt, quae librarius male intellexit. loco priore pro τετράγωνον nunc legitur ἡ (fuit figura quadrata superscripto signo syllabae exeuntis pervulgato), posteriore non superest nisi compendium ō; ubi figura triquetra fuit signo casus genetivi superscripto, sola restat terminatio ōv προτίθησι scripsi: προστιθέασι cod. addidi 5 συνέπηξα om. **LUE** 13 ὡς **E**: ἃς cett. 15 φάλαρνος **K** ὁ ante λευκός add. **K** 16 τὰ ante κύματα et κυρτὰ φαλ. om. **UEAGPT** delevi 17 τὸ (delevi) φ. δὲ **GPT**: τὸ δὲ φ. **K**: τὸ φ. cett. καὶ τὸν ἐν τ. μ. λ. ἔχοντα ὁμοίως **K**: καὶ τὸν ἐν τ. μ. ἔχοντα λ. ὅμμα (ὅμ$^{\mu}$ **UA**) **UEA**: ἐπὶ τῶν ἐχόντων τὸ λ. ἐν τ. μ. **GPT** 18 suppl. Ziegler, τι λευκὸν Ahrens in iis, quae **GPT** praestant

b. ⟨*φάλαρος: φάλιος,*⟩ *λευκός· ἐξ οὗ καὶ φαλακρὸς ὁ* L[E]
ἔχων φάλιον κάρα.

[c.] ⟨*φάλαρος:*⟩ *γράφεται φίλαρνος.* K

30 a. *ἰυγκτά: κράκτα· τοῦτο γὰρ δηλοῖ τὸ ἰύζειν. Καλ-*
λίμαχος (fgm. 512 Schneider, II 663)· *'ἰύζων δ' ἀν' ὄρος'.*
ἰυγκτὰ δὲ ὡς τὸ 'νεφεληγερέτα Ζεύς'.

b. *ἰυκτάς: ⟨λιγύφθογγος·⟩ ἰύζειν γὰρ τὸ λιγυφωνεῖν,* U[r]E[m]AT
κυρίως δὲ ἐπὶ γυναικῶν. Δωρικὴ δέ ἐστιν ἡ κλίσις.

c. *ἰυκτάς: παρὰ τὸ ἰύζω ἰύξω ἰυκτάς, ἤγουν συρικτής·* GPT
ἔστι δὲ Δωρικὴ ἡ κλίσις.

33 a. *ἄγκεα: ὡς πρὸς ἔμψυχον ὁ λόγος· ποιητικὸν δέ* K
ἐστι τὸ ἔθος. ἄγκη δὲ τὰ τῶν ὀρῶν κοιλώματα. οἱ δὲ τὰ
μετέωρα διὰ τὸ ἄνω κεῖσθαι· καὶ Ὅμηρος· 'καὶ ἄγκη ποιήεντα'.

b. *ἄγκεα καὶ ποταμοί: γλυκύτης τὸ σχῆμα, ὅτε τοῖς* UEAT
ἀψύχοις ὡς ἐμψύχοις προσδιαλέγονται. ἄγκη δὲ τὰ κοῖλα
τῶν ὀρῶν.

c. *ἄγκεα καὶ ποταμοί: πρὸς τὰ ἄγκη καὶ τοὺς ποτα-* GPT
μοὺς λέγει ὡς πρὸς σωματοειδεῖς θεούς, ὅπως τὰ θρέμματα
αὐτοῦ μείνωσιν ὅλα. ἄγκη δὲ τὰ κοῖλα τῶν ὀρῶν.

[d.] *ἄγκεα ἀπὸ τοῦ ἄγω τὸ κλῶ, τὰ συγκεκλασμένα οἷον.* T

e. *θεῖον γένος: ἢ ὅτι Τηθύος εἰσὶ καὶ Ὠκεανοῦ, ὃς* K
'γένεσις πάντεσσι τέτυκται' (Ξ 246), *ἢ ὅτι ἀεικίνητοι τυγχά-*
νουσι, παρὰ τὸ θέω θεῖον.

f. *θεῖον δὲ γένος τὸ τῶν ποταμῶν λέγει, καθὸ ἐκ* UEAGPT[1-2]
Τηθύος καὶ Ὠκεανοῦ ἢ ἐκ Διός, ὡς Ὅμηρος.

---

12 Et. M. 10, 46 Et. Or. 19, 13 sch. δ 337 23 Et. M. 453, 42 (cf. Gen.)

---

7 l. om. UET supplevi ex U[r]E[r] 8 *κλῆσις* E, *λέξις* A 9 *ἰύξω* T: *ἰύγξω* G: *ἴυγξ* P *ἰυκτάς* om. PT *ἤγ. συρ.* om. G 12 *ὀρῶν* Ziegler: *ποταμῶν* cod. 13 *ἄγκεα* Hom. 14 *ἄγγεα —ἄγγη* T *ὅτε* scripsi: *ὅτι* codd. 15 *προσδιαλέγεται* Call. 17 *ἄγγεα* et *ἄγγη* ubique in sch. c et d 20 *τὰ συγκεκλασμένα* Call.: *τὸ -ον* cod. *οἷον τὰ σ.* Geel 22 *πάντ. γέν. τέτ.* K 24 *τοὺς ποταμοὺς* GPT[2] 25 spectare videtur ad *διιπετέος ποταμοῖο Π* 174 al.

UEAT g. τὸ δὲ μέτρον ἐλεγεῖον καὶ ἡρωϊκόν.

35. ἐκ ψυχᾶς: ἢ ἧσε μέλος ἐκ ψυχῆς ἢ βόσκοιτ' ἐκ ψυχῆς, ἤγουν ζέοντι πόθῳ καὶ μετὰ ἐπιμελείας καὶ μὴ ἀνειμένως.

K 36. μηδὲν ἔλασσον ἔχοι: καὶ αὐτοῦ τὰ πρόβατα μηδὲν ἔλασσον τῶν ἐμῶν τρέφοιντο.

37/38a. αἴπερ ὅμοιον: εἴπερ ὁμοίως ἀείδει ταῖς ἀηδόσιν ὁ Δάφνις, ἀντὶ τοῦ· εἴπερ ἀληθῶς οὕτως ᾄδει ὥσπερ ⟨αἱ⟩ ἀηδόνες.

b. ταῖσιν ἀηδονίσιν: ἔοικεν οὕτως ἀκριβῶς ᾄδειν ὥσπερ αἱ ἀηδόνες.

KUEAGPT 41—44a. πάντα ἔαρ: ὅπου, φησίν, ἡ ἐρωμένη αὐτοῦ περιπατεῖ, ἐκεῖ πάντα ἔαρ καὶ πάντα νομαί εἰσι καὶ τὰ θρέμματα ἐκτρέφεται· ὅταν δὲ ἀπέλθῃ, ξηραίνεται καὶ ὁ ποιμὴν καὶ αἱ βοτάναι.

K b. ἢ ⟨παντᾷ⟩ ἀντὶ τοῦ πάντῃ καὶ πανταχοῦ.

UEAT c. τὸ δὲ πάντῃ Δωρικῶς παντᾷ περισπωμένως.

d. τὸ δὲ οὔθατα πηδῶσιν, ὅτι πληροῖ διὰ τῶν θηλῶν τὸ γάλα.

e. τρέφεται: ἢ τὰς ἀμνάδας καὶ τοὺς ἀμνοὺς ὑπὸ τῶν οὐθάτων τρέφεσθαι ⟨λέγει⟩· ἢ τὰ νέα ἤγουν μικρὰ τῶν ποιμνίων τρέφονται καὶ αὔξονται· ἢ τὰ ἀρτίφυτα τῶν βοτανῶν αὔξονται.

$L^{s}U^{s}E^{s}$ [f.] ⟨ἀφέρπῃ:⟩ ἐκεῖθεν πόρρω γενήσεται.

KUEAGPT 45—48. ἔνθ' ὅϊς: ὁ Δάφνις λέγει ἀντιπαραβάλλων ἐπὶ τῆς αὐτῆς ἐννοίας, ὅτι ὅπου ἂν ὁ ἐρώμενός μου βαίνῃ Μί-

2 35. Hesych. ἀμνάδας· παρθένους ἢ πρόβατα.

3 ἤγουν ζέοντι πόθῳ L^{s} 5 ἐμῶν scripsi: ἐμοῦ cod. 8 addidi 9 οὕτος cod., corr. Wilamowitz 11 ἔνθα καὶ ἡ ἐρωμένη μοῦ ἐστι, φησίν GP 12 ἐκεῖ πάντα om. K 13 ἐκφέρεται GPT ξηραίνεται K: ἀποξηραίνεται cett. 14 ἡ βοτάνη GP 15 supplevi 16 Δωρικῶς K^{s} 17 πλήθει codd., correxi 20 suppl. Amstel. 21 τρέφεσθαι καὶ αὔξεσθαι Amstel. 24 λέγει ἀντιπαραβ. ἐπὶ τ. αὐτ. ἐνν. GP: λέγει παραβ. ἐπὶ τ. αὐτ. ἐνν. λέγων K: πάλιν ἐπὶ τ. αὐτ. ἐνν. παραβ. (ἀντιπαραβ. T) λέγει cett. 25 μου KGP: μοι cett.

λων, πάντα αὔξει, καὶ σμήνη καὶ δένδρα καὶ θρέμματα· ὅταν δὲ χωρισθῇ, καὶ ὁ βουκόλος ξηρὸς γίγνεται καὶ αἱ βόες.

49 a. ὦ τράγε τᾶν λευκᾶν ἄνερ αἰγῶν: καταχρηστικῶς ἄνδρα τῶν αἰγῶν τὸν τράγον φησίν. GPT

b. ὦ βάθος ὕλης: ἀντὶ τοῦ ὑψηλόν. Ὅμηρος (*B* 147)· ‘ὡς δ’ ὅτε κινήσει Ζέφυρος βαθὺ λήιον ἐλθών’. K

51/52 a. ἴθ’ ὦ κόλε καὶ λέγε: πρὸς τὸν τράγον φησίν· ὦ κολοβέ, ἐν ἐκείνῳ τῷ τόπῳ ἐστὶν ὁ Μίλων. ἄπελθε οὖν καὶ λέγε αὐτῷ, ὅτι καὶ Πρωτεὺς θεὸς ὢν φώκας ἔνεμε καὶ μετὰ δυσόδμων ζῴων ἀνεστρέφετο. καὶ σὺ οὖν μὴ ὑπερηφάνει διὰ τὴν τῶν τράγων ὀσμὴν ἐλθεῖν πρός με. KUEAGPT

b. ἐν τήνῳ γὰρ τῆνος: ἐν ἐκείνῳ τῷ τόπῳ ⟨...⟩ ἀπελθὼν ⟨...⟩ πρὸς τὸν τράγον [τὸν βουκόλον] ὁ λόγος. K

c. ὦ κόλε: ἀντὶ τοῦ ὦ κολοβέ· λέγεται γὰρ κόλος ὁ μὴ ἔχων κέρατα τράγος. καὶ Ὅμηρος (*Π* 117) ‘κόλον δόρυ’.

d. κόλος δὲ λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα. UEAP

e. Μίλῳ δὲ εἶπεν ἀντὶ τοῦ Μίλωνι· καὶ γὰρ τὴν εὐθεῖαν οὐχ ὁ Μῖλος ἔφη, ἀλλ’ ὁ Μίλων· ‘ἔνθ’ ὁ καλὸς Μίλων βαίνει’ (v. 47). UEAPT

---

3 Serv. Verg. Buc. VII 7: vir gregis abusive; nam tantum hominum est. Philarg., sch. Bern. ib. 14 sch. AT *Π* 117 sch. Nic. Ther. 260 Hesych. κόλον Et. Gen. χωλός *(Reitzenstein, Gesch. d. gr. Etym. 247)* Et. M. 816, 24 Et. Or. 164, 4 Philem. Lex. 208 Osann Eust. 1049, 16

---

1 ἐὰν δὲ ἀπέλθῃ GPT 2 καὶ ὁ β. ξ. γίγνεται [καὶ αἱ βοτάναι (delevi)] καὶ αἱ βόες K: καὶ ὁ β. ξ. γίγνεται καὶ οἱ βόες U(E)A: ἀποξηραίνεται καὶ ὁ β. καὶ αἱ βόες cett. in fine add. διὰ τὸ ὑπ’ αὐτοῦ βόσκεσθαι [τὰ ὑπ’ αὐτοῦ] U 7 l. ὦ τράγε τᾶν λευκᾶν αἰγᾶν K πρὸς — φησίν om. UEAGPT 8 ὦ καλέ (κόλε Buck 26) — ἄπελθε οὖν K: ὦ κολοβέ, ἄπελθε νῦν UEA: ἐλθέ, ὦ κολοβὲ τράγε οὗ ἐστιν ὁ Μίλων GP: ὦ κολοβὲ τράγε, ἄπελθε νῦν, οὗ ἐστιν ὁ M. T 9 καὶ Πρ. GPT: Πρ. καὶ K: ὁ Πρ. cett. 10 καὶ μετὰ K: οἷον μετὰ UEAT: μετὰ GP δυσωδῶν UEA οὖν om. K 11 ὀδμὴν UEA πρὸς ἡμᾶς ἤτοι πρὸς ἐμὲ τὸν Μενάλκαν GPT 12 frustula scholii cuiusdam, quod antecedenti simillimum fuit. lacunas Ziegler indicavit, τὸν βουκ. ipse seclusi 15 τράγος deleri vult Ziegler, sed cf. schol. d 17 καὶ γὰρ seqq. om. P

K 53—56 a. *μή μοι γᾶν*: *οὐδέν μοι, φησί, τούτων ἡδὺ οὔτε Πέλοπος ἀρχὴ οὔτε χρυσίου πλήθη οὔτε ταχύτερον ἀνέμων εἶναι ἢ τὸ ἔχειν ἐν ἀγκάλαις τὸν Μίλωνα.*

b. *αὐτάρκης τις ὁ Δάφνις ἥδεται ἐν ταῖς ἀγκάλαις ἔχων τὸν ἐρώμενον ὑπὸ τῇ πέτρᾳ, ἀφορῶν τὴν Σικελικὴν ἅλα καὶ τὴν οἰκείαν.*

GPT c. *ἀλλ' ὑπὸ τᾷ πέτρᾳ*: *ἀλλ' εὐφραίνομαί σε ἐν ταῖς ἀγκάλαις ἔχων ὑπὸ τῇδε τῇ πέτρᾳ, ἀφορῶν τὴν Σικελίαν.*

KUEAGPT d. *οὐκ ἀνιστορήτως δὲ τοῦτο ὁ Θεόκριτός φησι· καὶ Ἑρμησιάναξ* (fgm. 2 Bach *Phil. Coi, Herm. Col. atque Phan. rell. 112*) *γὰρ λέγει τὸν Δάφνιν ἐρωτικῶς ἔχειν τοῦ Μενάλκα. ἀλλ' ὁ μὲν ἐπ' Εὐβοίας τὰ περὶ αὐτοῦ διατίθεται, οὗτος δὲ ἐπὶ Σικελίας.*

K 57 a. *ὕδασι δ' αὐχμός*: *τοῖς ὕδασιν ὁ αὐχμὸς κακός ἐστιν, ὅτι ἀποξηραίνεται καὶ ἀφανίζεται.*

P b. *δένδρεσι μὲν χειμὼν φοβερὸν κακόν, ὕδασι δ' αὐχμός*: *ἀποξηραίνεται γὰρ ὄντος αὐχμοῦ.*

KUEAGPT 58 a. *ὕσπληγξ*: *ἡ πάγη· κυρίως δὲ ἡ τῶν δρομέων ἀφετηρία. ἀπὸ κοινοῦ δὲ τὸ φοβερὸν κακόν.*

GPT b. *ἀγροτέροις δὲ λίνα*: *τοῖς δὲ ἀγριμαίοις τὰ δίκτυα. ἀπὸ κοινοῦ τὸ φοβερόν ἐστι καὶ κακόν.*

E^{g} [c.] ⟨*ἀγροτέροις*:⟩ *τοῖς ἐν τῷ ἀγρῷ οὖσιν ἢ ταῖς πέρδιξι καὶ τοῖς λοιποῖς.*

---

1 56. Hesych. *σύννομα· σύνδρομα, ὁμόφρονα.* 18 Hesych. Phot. Suid. *ὕσπληγξ*

---

3 *ἐν* Wilamowitz: *ὑπ'* cod. 4 *ἥδεται—ἔχων* scripsi: ⟨*ὅθεν καὶ λέγει*⟩ *ἥδεσθαι—ἔχων* Ahrens (ap. Ziegl.): *ἥδεσθαι—ἔχοντα* cod. 5 *ὑπὸ τῇ πέτρᾳ, ἀφορῶν—ἅλα* Ahrens l. l.: *ὑπὲρ τὴν πέτραν, ἀφορᾶν – ἀλλὰ* cod. 6 ⟨*ποίμνην*⟩ post *οἰκείαν* suppleri vult Ahrens l. l. 8 *ἐπὶ* codd., correxi 9 *δὲ* K: *διὰ* GPT: om. cett. *ὁ Θ. καὶ ὁ Ἑρμ. λέγουσι τὸ τὸν Δ.* GPT 11 *γὰρ* om. K *Δάφνιν* KGPT: *Δαμοίταν* cett. *πρὸς τὸν Μενάλκαν* GPT 12 *αὐτῶν* GP, *αὐτὸν* T *ἐπιτίθεται* K, *τίθεται* GPT 18 *ἡ πάγη* K: *παγίδων γένος* UEA: *εἶδος παγίδος* cett. 19 *ἄφεσις* K post *ἀφ.* add. *ὃ κάγκελλον ἡμεῖς φαμεν* GPT *ἀπὸ* seqq. hoc loco om. GP 20 *ἀγριμίοις* codd. 22 *ἀγρομένοις* cod. in verbis poetae

59. *κακὸν ἀνδρὶ παρθενικῆς πόθος διὰ τὸ ἐρᾶν, μὴ ῥᾳδίως δὲ τυγχάνειν.* K

[63.] *τοκάδες αἱ μητέρες τῶν ἐρίφων.* $U^{E}E^{E}$

65 a. *ὦ Λάμπουρε κύον: Λάμπουρος ἢ λευκὴν οὐρὰν ἔχων ἢ ἐπιμελῶς φυλάσσων ἐγκειμένου μετὰ τοῦ λάμπειν καὶ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν, ἢ παρὰ τὸ λαμπουρίδι ἴσον εἶναι, ἐπειδὴ κύνες εἰσὶν ἀλώπηξιν ὅμοιοι· λαμπουρὶς γὰρ ἡ ἀλώπηξ.* K

b. *ὦ Λάμπουρε κύον: ὄνομα κυνὸς ἀπὸ τοῦ λαμπρὰν* $U^{E}E^{E}GPT$ *ἔχειν τὴν οὐρὰν ἤγουν πυρρὰν ἢ ἀπὸ τοῦ λίαν φυλάσσειν.*

66 a. *οὐ χρὴ κοιμᾶσθαι βαθέως: τοῦτο ἀπὸ τοῦ Ὁμήρου ὁ Θεόκριτος ἔσχε. φησὶ γὰρ ἐν τῷ δευτέρῳ τῆς Ἰλιάδος (B 24)· 'οὐ χρὴ παννύχιον εὕδειν'.* UEAT

[b.] *σὺν παιδί: οἱ γὰρ παῖδες μὴ εἰώθασι τῶν ποιμνίων ἐπιμέλειαν ποιεῖσθαι προσήκουσαν, ἀλλ' ἀμελεῖν ἢ ῥᾳθυμοῦντες ἢ παιγνίοις ἀσχολούμενοι· οἱ δὲ ἔνηβοι κρείττονα τὴν ἐπιμέλειαν ποιοῦσι, ὥστε καὶ τοῖς κυσὶ κοιμωμένοις οὐ φροντὶς αὐτῶν.*

67/68 a. *καὶ ὑμεῖς οἷες μὴ ὀκνεῖτε εἰς κόρον βόσκεσθαι. ἂν γὰρ πλῆθος πάλιν γένηται καὶ φυῇ βοτάνη πολλή, οὐ καμεῖσθε τότε.* K

b. *οὐ μὴ κακοπαθήσητε, ὅταν πάλιν αὖτη ἀναβλαστήσῃ.*

c. *οὔτι καμεῖσθ' ὄκκα πάλιν ἅδε φύηται: οὐ μὴ καταπονηθῆτε νεμόμεναι, ὅταν νέα βοτάνη πάλιν φυῇ.* $U^{E}E^{E}GPT$

d. *⟨οὔτι καμεῖσθ':⟩ οὐ καμεῖσθε τὴν πόαν ⟨νεμόμεναι⟩ ὡς μὴ οὖσαν.* $U^{E}E^{E}$

---

5 *ἐπικειμένου* cod., emend. Wilamowitz 6 *λαμπουρίδι ἴσον* Geel: *λάμπουρις ἴσως* cod. 7 *λάμπουρις* Call.: *-ος* cod. 10 *ἤγουν* Ahrens: *ἢ* codd. *ἢ ἀπὸ* seqq. om. **UGPT** 12 *δευτέρῳ* **A**: *πρώτ* ωcett. 14 *εἰώθασι μὴ* codd., transposui 16 verba *οἱ δὲ—ποιοῦσι* perperam secludebantur inde a Geelio 18 *αὐτῶν* scripsi ex mente Duebneri: *αὐτοῦ* (scil. *τοῦ ἐπιμέλειαν ποιεῖσθαι*) Ahrens e cod. Genev.: *αὐτ* cp. **UEA**: *αὐτοῖς* **T** 21 *καμεῖτε* cod., correxi 22 *ὅταν* Ziegler: *ὅπως* cod. 24 *κακοπονηθῆτε* **P** *ὅταν* seqq. om. **UE** 25 *κάμετε* codd.

KUEAGPT 72 a. *σύνοφρυς κόρα*: συγκεκολλημένας ἔχουσα τὰς ὀφρῦς, τουτέστιν εὐόμματος καὶ συνετή. κόρην δὲ λέγει τὴν ἐρασθεῖσαν αὐτῷ Νύμφην.

U^{E}E^{E} [b.] ⟨*σύνοφρυς*:⟩ μελανόφρυς· δοκεῖ γὰρ καὶ τὸ σκοτεινότερον πύκνωσιν ἔχειν.

U^{m}E^{m}GPT$^{1-2}$ 73. *καλὸν καλόν*: καλὸν τὸν εὐειδῆ λέγει· κάλλος γάρ ἐστι συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας.

K 74 a. *οὐ μὰν οὐδὲ λόγων*: ἀλλ' οὐδὲ λόγον αὐτῇ ἀπεκρίθην, οἷον οὐδὲ τὸ τυχόν. δοκεῖ δὲ τὸ ἔπος ἡμαρτῆσθαι ἐνταῦθα· ἔνθεν οἱ μὲν γράφουσιν *οὐδὲ λόγον ἐκρίθην ἄτοπον, πικρὸν αὐτᾷ*, τουτέστιν οὐδὲ σκαιὸν λόγον ἀπεκρινάμην αὐτῇ, οὔτε τῶν πρὸς τὸ λυπηρὸν οὔτε τῶν πρὸς ἡδονήν ⟨· οἱ δὲ . . .⟩.

GPT b. *τὸ πικρὸν αὐτᾷ*: ὅπερ, τὸ μὴ ἀποκριθῆναί με, πικρὸν ἦν αὐτῇ. τινὰ δὲ τῶν ἀντιγράφων τὸν πικρὸν ἔχουσιν, ἵν' ᾖ· οὐ μὴν οὐδὲ ἀπεκρίθην αὐτῇ οὐδὲν πικρὸν ὧν λέγεται. εἰς ταύτην γὰρ καλῶς εἰποῦσαν οὐδὲν ἔδει πικρὸν ῥηθῆναι. καὶ κρεῖττον ἂν εἴη, εἰ τὸν πικρὸν γράφοιτο· ἀπαιτεῖ γὰρ καὶ τὸ μέτρον.

G 81. *ὡς οἱ παῖδες ἄεισαν*: τοῦτό ἐστι τοῦ ποιητοῦ καὶ ἔστι τὸ σχῆμα παραβατικὸν καὶ ἀνακεφαλαίωσις.

K 84. *λάσδεο*: ἆθλον δὲ ἡ σῦριγξ αὐτοῖς [ἐπίκειται καὶ] πρόκειται, ἣν ἐπιδίδωσιν ὁ κριτὴς τῷ Δάφνιδι ὡς νικήσαντι.

---

6 Plotin. De pulchr. 50 d cum nota Creuzeri

---

1 *δασείας ἔχ. τὰς ὀφρ. συγκεκ.* UEAT *συγκεκαλυμμένας* K 2 *καὶ* K: *ἢ* cett. 6 UET^{2} haec: *τί ἐστι κάλλος; συμμετρία κτλ. κάλλος* seqq. om. G 11 *ἐκρίθην* scripsi: *ἀπεκρίθην* Call.: *ἀπεκρίθη* cod. 12 *αὐτᾷ* scripsi: *-ῇ* cod. verba *οὔτε τῶν πρὸς τὸ λυπ.—ἡδονήν* ad *οὐδὲ τὸ τυχόν* trahi vult Duebner 13 lac. indicavi 16 *ὧν* Ahrens: *ὡς* codd. 21 *περασμ. τικόν* cod. 22 del. Ziegler

86 a. οἱ μὲν χρώματος εἶδος τὴν μυτάλην, οἱ δὲ ὄνομα ἤκουσαν, οἱ δὲ τελευταίαν· *Καλλίμαχος* (fgm. 498 Schneider, II 655)· ‘θήκατο †μὴ εἰς† αἷμα πιεῖν μύταλον.’

b. τήναν τὰν μιτύλαν: μιτύλαν αἶγά φησι τὴν μὴ ἔχουσαν κέρατα. L^{r}UEAΘPT

87 a. ἅτις ὑπὲρ κεφαλᾶς: ὑπὲρ τὰ χείλη τοῦ ἀμολγέως πλήρη τὸν ἀμολγέα ποιεῖ. ἀμολγεὺς δὲ ἀγγεῖον δεκτικὸν γάλακτος. KUEA

b. ὑπὲρ κεφαλᾶς δὲ ἀντὶ τοῦ· ἕως κεφαλῆς γεμίζει τὸν ἀμολγέα. ΘPT

c. ἥτις γεμίζει πάντα μέχρι καὶ τῆς στεφάνης. U^{E}E^{E}

88/89 a. ὡς μὲν ὁ παῖς: ἀναστρέψας εἴρηκεν. ἡ γὰρ σύνταξις αὕτη· ὡς ἂν ἄλοιτο ὁ ἀμνὸς πρὸς τὴν μητέρα αὐτοῦ, οὕτω καὶ ὁ *Δάφνις* ἡσθεὶς ἐπὶ τῇ νίκῃ ἥλατο. K

b. τάττεται δὲ ἐναλλάξ, πρότερον τὸ ὡς ὁ νεβρὸς ἅλλεται ἐπὶ τὴν μητέρα, ⟨εἶτα τὸ⟩ οὕτω καὶ ὁ παῖς ἐχάρη. L^{E}

c. ὁ παῖς ἐχάρη καὶ ἀνάλατο: ὁ παῖς, ἤγουν ὁ *Δάφνις*. τὸ σχῆμα ἀντιστροφή. Θ

d. καὶ πλατάγησε: καὶ τὰς χεῖρας ἐκρότησε. U^{E}E^{E}ΘP^{E}

90/91 a. ὡς δὲ κατεσμύχθη: καὶ τοῦτο ἀντέστραπται ὁμοίως· ὡς ἂν γάμῳ νύμφη λυπηθείη, οὕτω καὶ ὁ *Μενάλκας* ἡττηθεὶς ἐλυπήθη. K

b. κατεσμύχθη οἷον κατεσβέσθη ⟨τὸν θυμὸν⟩ καὶ ἐν αὐτῷ ἐκάη καὶ ἐλυπήθη. ἀνετράπετο δὲ ἀντὶ τοῦ [οἷον]· ἐξελύθη ὑπὸ λύπης. K^{r}UEAΘPT

---

2 Hesych. *μίτυλον. μύτιλον* Herodian. I 162, 15 Lentz

---

3 *πιὼν* Wilamowitz *Textg.* 3 *n.* falsam quam Ziegler delineaverat compendii imaginem recte interpretatus 4 l. om. **UEA** *ἄκερων* **GPT** 7 *ἀμολγεὺς* seqq. om. **UEA** 13 post *ἅλοιτο* in cod. *αὐτῷ*, quod in *αὐτοῦ* mutatum post *μητέρα* traieci 16 suppl. Ahrens 17 *καὶ ἀν.* post *Δ.* in cod. 18 *ἀντίστροφον* cod. 19 *καὶ τὰς χ.* om. **UE** 23 *κατεσμύχθη* et *καὶ ἐν αὐτῷ* et *καὶ* om. **K** supplevi dubitanter *κατεκάη* **GPT** 24 delevi

UEAT c. *νύμφα γαμηθεῖσ' ἀκάχοιτο: οὕτως ἐλυπεῖτο ὁ Μενάλκας, καθὰ καὶ νύμφη ἡ ἄρτι πρῶτον γαμηθεῖσα ἀκάχοιτο. λυποῦνται γὰρ αἱ τοιαῦται διὰ τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον πόνῳ τιτρώσκεσθαι.*

GP^{E}T d. *οὕτω καὶ νύμφα: οὕτω καὶ νεωστὶ παρθένος γαμηθεῖσα λυπηθείη.*

KUEAGPT 93 a. *καὶ Νύμφαν ἄκρηβος: ἱστοροῦσι γὰρ αὐτὸν ὑπό τινος ἀγαπηθῆναι Νύμφης, ἣν Σωσίθεος* (Nauck *Trag. gr. fgm.*^{2} *821*) *Θάλειαν καλεῖ. παρακελευσαμένης δὲ αὐτῆς ἄλλῃ γυναικὶ μὴ ὁμιλεῖν, μὴ τηρήσας τὴν παραίνεσιν αὐτῆς ἐμισήθη αὐτῇ. ὅθεν ὁ μὲν Θεόκριτός φησι τὴν Νύμφην ἀποστῆναι ἀπ' αὐτοῦ, αὐτὸν δὲ ἀντιμεταλαβόντα τὸν ἐκείνης ἔρωτα ὑπὸ λύπης μεταλλάξαι τὸν βίον* (I 64 seqq.)*· ἐκτὸς εἰ μὴ αὐτὸν μέν φησιν ἀπείπασθαι αὐτήν, ἄλλης δ' ἐρασθῆναι· 'ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις'* (VII 73). *οἱ δὲ λοιποί φασι τυφλωθῆναι αὐτὸν καὶ ἀλώμενον κατακρημνισθῆναι.*

GP^{r}T b. *καὶ Νύμφαν ἄκρηβος: Νύμφην τὴν Ξενίαν λέγει. ἄκρηβος δὲ ὁ ἀρχὴν ἔχων τῆς ἡλικίας.*

---

7 Serv. auct. Verg. Buc. VIII 68: hunc (Daphnin) igitur cum nympha Nomia amaret et ille eam sperneret et Chimaeram potius sequeretur, ab irata nympha amatrice luminibus orbatus est, deinde ⟨in⟩ lapidem versus. nam apud Cephaloeditanum oppidum saxum dicitur esse, quod formam hominis ostendat. cf. adn. ad VIII b et I 82/85 e

---

8 *ἀγαπηθέντα* K 9 *ταύτης δὲ παρακελευσαμένης αὐτῷ* GP(T), *παρασκευασάμενος δὲ αὐτῇ* K 10 *ἄλλην γυναῖκα μὴ ὁμιλεῖν* K, *μὴ ἄλλῃ γυναικὶ ὁμιλῆσαι* GP *τηρήσας* K: *τηρῆσαι* UEAT: *ποιῆσαι* GP *αὐτῆς* om. GP 11 *ἐμισ. αὐτῇ* om. UEAGPT 12 *ἀντιμεταλαβόντα* Wilamowitz: *ἀντιμεταβάλλοντα* UEAT: *ἄρτι μεταβαλόντα* K: *ὑπομεταβαλόντα* GP 14 *αὐτὸν—αὐτήν* Call.: *αὐτήν—αὐτόν* K: *αὐτὸν—αὐτόν* UEAT: *αὐτὸν—αὐτῆς* GP *ἀποσπᾶσθαι* GP 15 *Ξενίας* G 16 *τυφλωθῆναι* KT: *τυφλωθέντα* cett. 18 *Ξενέαν* Warton 19 *τὴν ἡλικίαν* PT *ἀρχὴν ἔχων ἡλικίας ἤτοι νέος* U^{s}E^{s}

IX. *Βουκολιασταί.* ⟨γ'⟩

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας ὑφίστανται. παρακα- KLUEAGPT[1,2]
λοῦνται δὲ ὑπὸ συννομίως Δάφνις καὶ Μενάλκας, ὅπως ἀλλήλοις ἀντάσωσιν. οὐδὲν δὲ ἔχει πρὸς τὸν Μενάλκαν τοῦτον ὄντα Σικελὸν ⟨*τὰ*⟩ *ὑπὲρ Μενάλκου Χαλκιδέως, ὃν φησιν Ἑρμησιάναξ* (fgm. 3 Bach, *Phil. Coi, Herm. Coloph. atque Phan. rell. 112*) *ἐρασθῆναι τῆς Κρηναίας Εὐίππης καὶ διὰ τὸ μὴ τυγχάνειν αὐτῆς κατακρημνισθῆναι.*

1/2 a. *νομεύς τις προλογίζει ὁ καὶ κριτής.* $L^{s}U^{s}E^{s}A^{s}P^{s}T^{s}$

b. *τὸ δὲ ἑξῆς οὕτως· βουκολιάζεο Δάφνι, συναρ-* UEAT
ξάσθω δὲ Μενάλκας. τὸ δὲ βουκολιάζεο, τουτέστι βουκολικὴν φωνὴν λέγε. ἰστέον, ὅτι ἢ τὸν αὐτὸν ὃν προεῖπε Μενάλκαν καὶ πάλιν φησί — τότε γὰρ ἴσως ἔνεμε μῆλα (VIII 2), *νῦν δὲ βόας — ἢ ἕτερον Μενάλκαν βουκόλον.*

[c.] ⟨*ἐφεψάσθω:*⟩ *ἀποκρινέσθω ἐξ ἀμοιβῆς.* $L^{s}U^{s}E^{s}$

[d.] *συναψάσθω δὲ Μενάλκας: συνεργάτης ἔστω.* P

3 a. *βουσὶν ὑφέντες: ταῖς βουσίν, θηλυκῶς· τοὺς* KUEA
μόσχους ταῖς βουσὶν ὑφέντες, ἤτοι ὑποβαλόντες.

b. *ὑπὸ στείραισι δέ: ἢ ὑπὸ ἀντὶ τῆς ἐπί, ἵν' ᾖ·* KUEAT
ἐπὶ στείραισι τοὺς ταύρους ἀφέντες, — ἵνα τέκωσιν, ὥς τινες· στείρας δὲ εἶπε τὰς οὔπω τετοκυίας.

Tit.: *B. Δάφνις καὶ Μενάλκας* **KLUGPT**: *B. Δ. καὶ M. προλογίζει ὁ ποιμήν* **EA** *γ'* add. Wilamowitz *Buc.* 2 *ὑφίστανται* **KL**: *κεῖνται* **UEAT**^{2}: om. cett. *παρακ.* (*ἐκκαλοῦνται* **T**^{2}) *δὲ ὑπὸ συνν. Δ. καὶ M.* **KUEAT**^{2}: *νομεὺς δέ ἐστιν, ὃς δεῖται Δάφνιδος καὶ Μενάλκα* cett. 4 *ἔχοι* **GP** *τοῦτον* seqq. desunt in **LGPT**^{1} 5 suppl. Schaefer *ὃν* **K**: *οὗ* cett. 6 *Ἑρμησιάναξ* **KT**^{2}: *-ῶναξ* cett. 7 *Κρηναίας* **K**: *Κυρηναίας* cett.: *Κηναίας* Wilamowitz *Herm. 14, 1879, 162,* lectionem codicis **K** defendit Rohde *Der griech. Roman*^{2} *84* 8 *ἐπιτυγχάνειν—κατακρημνίσαι* **UEAT**^{2} 10 *συναψάσθω* Ahrens 12 *ᾠδὴν* Adert 18 *ὑποβάλλοντες* **K** 20 *ὑφέντες* **K** *ἵνα—τινες* om. **UEAT**

UEAT c. ⟨. . .⟩ αἱ γὰρ εἰς ἅπαν ἄτοκοι στεῖραι καλοῦνται ἢ διὰ τὸ στερεὸν εἶναι τὸ σῶμα ὡσανεὶ ὑπὸ τόκων μὴ ἐκλυόμενον ἢ παρὰ τὸ ἐστερῆσθαι γόνου.

K 4. χοί μὲν ἅμα: καὶ οἱ ταῦροι ἅμα ταῖς βουσὶν ἔποιντο ἐπὶ τὰς φυλλάδας.

KUEAT 5 a. μηδὲν ἀτιμαγελεῦντες: μηδαμῶς καταλείποντες τὴν ἀγέλην. τοὺς γὰρ καταλιμπάνοντας τὸ κοινὸν τῆς ἀγέλης καὶ καθ' ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν.

$L^{E}U^{E}E^{E}$ [b.] ⟨ἀτιμαγελεῦντες:⟩ καταφρονοῦντες τῆς ἀγέλης.

PT [c.] μηδὲν ἄτιμα γελεῦντες: μὴ ἄτιμα χαίροντες.

K 6 a. ἔν ποθ' ἓν: Ἓν πρὸς Ἓν ᾠδάριον, τουτέστιν ἀμοιβαδίς. ἢ ἔμποθεν ἀντὶ τοῦ ποθέν, ὡς εἶναι τὸ πλῆρες· ἔμποθεν παρασκευασάμενος μέλος. Ὅμηρος (α 10)· ‘τῶν ἀμόθεν γε θεά’. ἀλλ' οὐδὲν ἔχει τὸ ἀμόθεν σύνεγγυς.

$L^{E}U^{E}E^{E}$ [b.] ⟨ἄλλοθεν:⟩ ἀπὸ τῆς ἄλλης ἀρχῆς ἢ ἀπὸ τοῦ ἄλλου μέρους.

$L^{E}U^{E}E^{E}$ [7.] ἀρχὴ τῆς ᾠδῆς.

$KL^{E}U^{E}E^{E}$ 9 a. στιβάς: ἡ ἐκ χόρτων κατάστρωσις αὐτοσχέδιος. εἴρηται παρὰ τὸ συμπεπιλῶσθαι καὶ καταπεπατῆσθαι.

KP^{E} b. νένασται: ἐξήπλωται.

$L^{E}U^{m}E^{E}P$ c. νένασται: ὑπέστρωται, σεσώρευται ἀπὸ τοῦ νάω νῶ τὸ σωρεύω.

PT 10/11. τάς μοι ἀπ' ἄκρας λίψ κόμαρον τρωγοί-

---

2 Et. M. 727, 10 (cf. Gen.) Et. Gud. 510, 24 Sturz Et. Or. 141, 3; 147, 26 7 sch. Luc. 199, 2 Rabe Hesych. Suid. ἀτιμ. Lex. Bachm. 160, 8 11 Greg. Cor. Dial. dor. 77: τὸ ἔμπροσθεν ἔμποθεν λέγουσι. Θεόκριτος· ‘ἐμὶν δέ τυ βωκολιάζευ ἔμποθεν’. ἔνιοι δὲ ἀντὶ τοῦ ποθὲν ἐξελάβοντο τὴν λέξιν ταύτην. ἢ ἓν πρὸς ἓν ᾠδάριον, τουτέστιν ἀμοιβαδίς. 19 Eust. 861, 1; 1395, 37; 1553, 39

---

1 lac. indicavi, conicias intercidisse οὐ καλῶς vel simile quid ἢ Tricl.: εἶτα **UEAT** 6 καταλιπόντες et καταλιπόντας **UEAT** 12 cod. ita: ἢ ἀντὶ τοῦ ἔμποθεν παρασκ. μέλος, ὡς εἶναι τὸ πλῆρες ποθέν. corr. Ziegler Gregorio collato 18 αὐτοσχέδιος seqq. om. **LUE** 21 ὑπέστρωται om. **P**

σας: τῶν βοῶν αὐτοῦ φησί τινας κατακρημνισθῆναι ὑπὸ τοῦ λιβός. ἡ δὲ σύνταξις· ἀπὸ ἄκρας σκοπιᾶς.

13. ὅσσον ἐρῶντι πατρὸς μύθων ἢ ματρὸς ἀκούειν: λείπει τὸ παῖδες. τὸ δὲ ἢ ἀντὶ τοῦ καί.

14. τὸ οὑτῶς περισπᾶται, ὡς ἀξιοῖ Μουνάτιος, τὸ δὲ χωρὶς τοῦ σ̄ οὕτω οὐκέτι. K

15 a. Αἶτνα μᾶτερ: τὴν Αἴτνην φησὶ μητέρα Μενάλκου, καθότι ἐν αὐτῇ διέτριβε· καὶ Ὅμηρος (Θ 47) τὴν Ἰδην φησὶ 'μητέρα θηρῶν'. KUEA

[b.] ⟨Αἶτνα μᾶτερ:⟩ ἐν Σικελίᾳ γὰρ τὰ πράγματα. $L^{s}U^{s}E^{s}$

16/17 a. ὅσσ' ἐν ὀνείρῳ: ὡς εἰ ἔλεγε περιουσίαν ἄφθονον· τοιαῦται γὰρ αἱ ὀνειρωκτικαὶ φαντασίαι. καὶ παρ' Ὁμήρῳ (I 385) ἔνιαι ἐκδόσεις οὕτως ἔχουσιν· 'οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι.' KUEAT

b. ⟨ὅσσ' ἐν ὀνείρῳ:⟩ ἤγουν εὐτυχής εἰμι· εὐδαιμονοῦσι γὰρ ὡς ἐπὶ πολὺ τοῖς ὀνείροις οἱ ἄνθρωποι. $L^{s}U^{s}E^{s}B$

c. ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ: ἀπὸ τῆς παροιμίας· ὅσσ' ἐν ὀνείρῳ φέρειν. GPT

19 a. χόρια ξεῖ: ἀντὶ τοῦ ⟨ἐν⟩ τοῖς ἄνθραξι τοῖς ἀπὸ δρυός. χόρια δὲ τὰ τῶν ἐμβρύων ἀγγεῖα. εἰώθασι γὰρ ἐν γάλακτι καταπλάσσοντες καὶ ξηραίνοντες ὀπτᾶν, εἶτα ἐσθίειν ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι. ⟨. . .⟩ †κρατὶ ὑοστρό- KUEAT

---

20 Galen. *Περὶ σπέρμ.* I 7 (IV 538 Kuehn) Hesych. Suid. χόρ. Lex. Bachm. 416, 19 Poll. II 223 Athen. XIV 646 e

---

4 λείπει οἱ παῖδες E^{s} 12 ὀνειρωκτικαὶ L. Dindorf *Thes. V 2017*: -ωτικαὶ codd. 13 ἔνιαι—ἔχουσιν desunt in UEAT ἔνιαι Wilamowitz: ὅτι αἱ K 14 ὅσα ψάμαθός τε κόνις τε cum Homero K 19 ἀντὶ—ἀγγεῖα desunt in UEAT; U^{s}: τοῖς ἄνθραξι τοῖς ἀπὸ δρυός suppl. Call. 20 ἐν γάλακτι καταπλ. scripsi: ἐν γῇ καταπλ. KUEA: ἐγκαταπλ. T: ἐν ⟨τούτοις⟩ γάλα πήσσοντες Ahrens 21 ἐσθίειν K: -ίουσι cett. 22 lac. indicavi. e verbis corruptis Cratini nomen elicuerunt Hemsterhuys et Toup, cf. fgm. 326 Kock *Com. att. fgm. I 109* ὑοστρόφοιο K: νεοστέφοι UEA: νεοστέφει T

φοιο γέννας† χόριά τ' ἐμβρύων τε πλήρη.' ἔμβρυον γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν ἢ ἀπὸ τοῦ βρύειν καὶ αὔξεσθαι, χόρια δὲ καλοῦσι τοὺς ὑμένας, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος, ἐσθίουσι δὲ θέντες ὑπὸ τὸ πῦρ.

$L^{m}U^{m}E^{s}$AGPT b. *χόρια ζεῖ: χόρια τὰ ἀγγεῖα τῶν ἐμβρύων ἢ αἱ ἀπὸ τῶν ἐντέρων πλεκόμεναι χορδαί.*

KUEAT 20/21a. *φαγοί: εἶδος δρυός. εἴρηται δέ, ὅτι πρὸ τῶν Δημητριακῶν καρπῶν τὰς βαλάνους ἤσθιον· ἢ πηγούς τινας παρὰ τὸ εὐπαγεῖς εἶναι. εἰσὶ δὲ δρυὸς γένη ε΄· φηγός, ἡμερὶς ⟨ἡ καὶ⟩ ἐτυμόδρυς, ⟨αἰγίλωψ, πλατύφυλλος⟩ καὶ ἁλίφλοιος.*

E^{s}GP b. *ἔχω δέ τοι οὐδ' ὅσον ὥραν: οὐδόλως ἔχω φροντίδα τοῦ χειμῶνος.*

---

1 sch. BT *P* 56 sch. T Ψ 266 sch. Pind. Nem. XI 1 Et. M. 334, 13 (cf. Gen.) Et. Gud. 183, 43 Sturz Or. Werf. 613, 43 Et. Or. 56, 6 (Soranus) Eust. 1095, 15; 1299, 43; 1627, 27 7 Serv. Verg. Buc. I 1: antea homines glandibus vescebantur, unde etiam fagus dicta est *ἀπὸ τοῦ φαγεῖν.* Philarg. ib.: fagi, idest cuius arboris fructu antiqui vescebantur, quam Graeci *φηγὸν* appellant. Serv., Brev. Expos., sch. Bern. ad Verg. Georg. I 8 Isid. Etym. XVII 7, 28 sch. ABT *H* 22 Eust. 594, 34; 664, 45; 1859, 33 Et. M. 791, 25 (cf. Gen.) 9 Theophr. Hist. plant. III 8, 2: *γένη μὲν οὖν οἱ μὲν τέτταρα ποιοῦσιν, οἱ δὲ πέντε. διαλλάττουσι δ' ἔνια τοῖς ὀνόμασιν, οἷον τὴν τὰς γλυκείας φέρουσαν οἱ μὲν ἡμερίδα καλοῦντες, οἱ δ' ἐτυμόδρυν. ὁμοίως δὲ καὶ ἐπ' ἄλλων. ὡς δ' οὖν οἱ περὶ τὴν Ἴδην διαιροῦσι, τάδ' ἐστὶ τὰ εἴδη· ἡμερίς, αἰγίλωψ, πλατύφυλλος, φηγός, ἁλίφλοιος, οἱ δὲ εὐθύφλοιον καλοῦσιν.* Plin. Hist. nat. XVI 16—24 sch. Nic. Ther. 413

---

1 *γένας* Basil. a. 1541 *πλήρη* K: *πλήθη* cett. 2 *ἐν ἑαυτῷ τὴν* om. K *βρύειν* K: *ἐμβρύειν* cett.: ⟨*ἔσω*⟩*βρύειν* ex Et. M. Ahrens *αὐξάνεσθαι* UEA 4 *ὑπὲρ* T 8 *τὰς* K: *τοὺς* cett. 9 *αὐτοὺς* post *εὐπαγεῖς* add. UEAT *ἡμερὶς* Kiessling: *κιμερὶς* codd. supplementa e Theophrasti loco supra laudato ascivit Ahrens 10 *καὶ ἁλ.* K: *ἁλ. καὶ* cett. *ἁλίφλοιος* I. B. Koehler *Notae et emend. in Theocr. 1767, 37*: *ἄλυφλυς* K: *ἄλιφλος* UEA: *ἄλιφος* T UEAT add. in fine *ἄμυλος*, h. e. lemma scholii c falso iteratum

c. ἄμυλος εἶδός τι ἄρτου, ἐκ τῶν σητανίων λεγομένων πυρῶν γενόμενος. KUEAT

d. ἄμυλος δὲ ὁ ἄρτος ὁ ἄνευ μύλου γενόμενος· ἀποβρέχοντες γὰρ τὸν πυρὸν ἀποθλίβουσι.

e. οὐκ ἔχω δὲ ⟨οὐδὲ⟩ μικρὰν φροντίδα χειμῶνος, ὥσπερ οὐδὲ νωδὸς ἀνὴρ καρύων καὶ καρυδίων παρόντος αὐτῷ ἀμύλοιο ἤτοι πλακοῦντος. ἐν γὰρ τῷ πλακοῦντί εἰσι καὶ κάρυα. UEAT

f. ⟨ἀμύλοιο:⟩ ἁπαλὴ βρῶσις. $U^{S}E^{S}P^{S}$

[g.] ⟨ἀμύλοιο:⟩ ἁπαλῆς τροφῆς ἦγουν κουρκούτης. L^{S}

h. ⟨ἀμύλοιο:⟩ τοῦ λεγομένου ἀποθέρμου· χωρὶς μύλου γὰρ γίνεται. $L^{S}E^{S}$

23 a. κορύναν: ῥόπαλον. εἴρηται παρὰ τὸ κάρα ἢ παρὰ τὸ ἄκρον· βαρύτερον γὰρ κατὰ τὸ ἄκρον μέρος. Ἀμερίας δέ φησι κορδύλην, σκυτάλης εἶδος. Θεόφραστος (Hist. plant. III 5, 1) δὲ τὴν ἐλάτῃ ἐμφυομένην ἴσως φησὶ καὶ τραχυνομένην ⟨. . .⟩ [ἀπὸ τοῦ ἡ κορύνη.] K

b. κορύνη τὸ ῥόπαλον. εἴρηται δὲ παρὰ τὸ κάρα ⟨ἢ παρὰ τὸ ἄκρον⟩· βαρύτερον γάρ ἐστι περὶ τὸ ἄκρον. $L^{S}U^{S}E^{S}$AGPT

c. ῥόπαλον δέ ἐστιν ἀμυντήριον ἑτερορρεπές, ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος. GPT

24. αὐτοφυῆ: ἐκ φύσεως ἐπικαμπῆ καὶ οὐκ ἐξ ἐπιτεχνήσεως. $KU^{S}E^{S}$

---

1 Dioscor. Mat. med. II 101, 1 Plin. Hist. nat. XVIII 76 Et. M. 87, 42 13 Et. M. 531, 31 (cf. Gen.) Et. Gud. 339, 1 Sturz Eust. 672, 10 15 Hesych. κορδύλη 20 sch. Apoll. Rhod. I 1195 sch. AB *A* 559 Et. M. 705, 23 (cf. Gen.) Et. Gud. 294, 53; 493, 52 Sturz Eust. 672, 12; 862, 47; 1815, 10

---

1 σητανίων Hemsterhuys: σιτανίων K: σατνίων cett. γενομένων pro λεγ. K 3 praem. ἄλλως E: ἀλούς UA: ἀλοῦς T ἄμυλος—γενόμενος om. K 5 add. tacite Casaubon (263) 13 παρὰ τὸ ἄκρον ἢ παρὰ τὸ κάρα cod., correxi 15 κορδύλην Ahrens (ap. Ziegl.): κοτύλην cod. ἐλάτῃ scripsi: ἐλαίαν τὴν cod. 16 de τραχυνομένην dubito 17 lac. indicavi delevi 19 Callierge praeeunte supplevi e scholio a

KUEAT 25 — 27 a. στρόμβου καλὸν ὄστρακον: στρόμβος κογχύλη ἀπὸ τοῦ συνεστράφθαι. τούτου δέ, φησί, τὸ κρέας αὐτὸς ἐπασάμην μετὰ ε′ μερισάμενος, ὅτε ἔλαβον αὐτόν.

K b. ἐν Ἰκαρίαισιν: Ἰκάριαι πέτραι νῦν οὐκ ἂν λέγοιντο αἱ περὶ Ἴκαρον τὴν νῆσον, ὀνομάζοιντο δ' ἄν τινες ἴσως καὶ περὶ Σικελίαν· ὁ γὰρ λέγων ἀγροῖκος Σικελός.

P c. πέτραις ἐνὶ Καρίαισι: ταῖς πρὸς τῇ Καρίᾳ νήσῳ.

$L^{E}U^{E}E^{E}$ [d.] ⟨πέντε ταμὼν πέντ' οὔσιν:⟩ ἤτοι σὺν πέντε ἄλλοις νομεῦσι τοῦτον καταβροχθίσας.

$L^{E}U^{m}E^{E}$ [e.] ⟨ἐγκαναχήσατο:⟩ ἐγέλασε χαρίεν ἐπὶ τῷ τοῦ κόχλου ὀστράκῳ.

G [f.] ἐκαναχήσατο: χαρίεν ἔλεγεν, ἐγέλασεν.

KUEAT 28 — 30 a. βουκολικαὶ Μοῖσαι: ταῦτα ὁ νομεὺς ἢ Θεόκριτος λέγει. ὦ Μοῦσαι, τὸ μέρος τῆς ᾠδῆς τῆς παρ' ἡμῖν ἐκφήνατε, μήπως μου ἐπὶ γλῶτταν φλύκταιναι φύωνται. ἐκεῖνο γὰρ γίνεται τοῖς μηδὲν πρᾶγμα εὐλόγως κρίνουσιν.

G b. βουκολικαὶ Μῶσαι: ὁ λόγος ἐκ τοῦ νομέως.

L^{E} c. ἐπιστροφὴ τὸ σχῆμα. πρὸς τὰς Μούσας.

GPT d. μηκέτ' ἐπὶ γλώσσας ἄκρας: ὁ λόγος πρὸς τὴν Μοῦσαν. ἰδίως δὲ τὸν λόγον ποιησάμενος πρὸς πάσας εἰς μίαν κατέκλινεν. ἢ ὁ λόγος πρὸς τὸν Δάφνιν, ὃ καὶ κρεῖττον.

$L^{E}U^{E}E^{E}$ e. ⟨μηκέτ' ἐπὶ γλώσσας ἄκρας:⟩ πρὸς τὸν Μενάλκαν.

---

2 κογχύλη **K**: κογχύλιον cett. τούτου **T**: τοῦτο **UEA**: τουτ cum accentu utroque **K** rescr. 3 ἐσπασάμην **UEAT** ὅτε seqq. om. **UEAT** 5 Ἴκαρον Ahrens (ap. Ziegl.): Πάρον cod. ὀνομάζονται cod., corr. Wilamowitz αἱ περὶ Σικ. post νῆσον in **K**, corr. et transp. Wilamowitz 10 ἐκελάδησε Jacobs *Spec. emend. in aut. vet. 1786, 41.* Geelio scholiasta legisse videtur ἐγκαγχάσατο vel εὖ καγχάσατο 13 ὁ λόγος ἐκ τοῦ συννομέως ἢ ἐκ τοῦ Θεοκρίτου **UEAT** 14 μέλος **KT** 15 ἐκφήνατε Amstel.: ἐκφάνατε codd. φλύκταινα φύηται **UEAT** 16 ἐκεῖνο Ziegler: ἐκεῖ **K**: ἐν ἐκείνοις **UEA**(**T**) γὰρ om. **K** γίνεται **K**: εἴωθε γίνεσθαι cett. εὐλόγως Geel: εὔλογον codd. κρίνουσιν [illegible]κινοῦσι cett.

f. ὀλοφυγγὼν ἡ ἐπὶ τῆς γλώττης φλύκταινα. λέγουσι δὲ αὐτὴν οἱ Ἀττικοὶ ὀλοφυκτίδα. ὅταν αὕτη γένηται ἐπὶ τῇ γλώττῃ, εἰώθασι λέγειν αἱ γυναῖκες, ὡς ἀποτεθεῖσάν σοι μερίδα οὐκ ἀπέδωκας. KUEAT

33—36 a. τᾶς μοι πᾶς ⟨εἴη⟩ πλεῖος δόμος: τῆς ᾠδῆς καὶ τῆς μουσικῆς, φησί. KL^{m}U^{r}E^{s}A

b. οὔτε γὰρ ὕπνος οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον: οὔτε ὁ ὕπνος ἡμῖν γλυκύτερος οὔτε τὸ ἔαρ τὸ ἐξαίφνης ἐλθὸν τοσοῦτον γλυκύ, ὅσον ἡ μουσουργία. L^{m}U^{r}E^{s}AΘPT

c. οὓς μὲν ὁρῆτε: τουτέστιν, οἷς μέν ἐστε φίλαι, ὦ Μοῦσαι, χαίρουσιν ἐκεῖνοι. UEAT

d. τοὺς δ' οὔτι: ἤγουν τοὺς σοφοὺς οὐδέν τι παρατρέπει τοῦ δέοντος. UEA

e. τούσδ' οὔτι ποτῷ δαλήσατο Κίρκα: ποτῷ τῷ κυκεῶνι. δαλήσατο δὲ ἀντὶ τοῦ ἔθελξε· δαλεῖς γάρ εἰσιν οἱ ἀμαθεῖς. ΘPT

f. δαλήσατο: τὸν Ὀδυσσέα σοφὸν ὄντα οὐ κατέθελξε τὰ τῆς Κίρκης φάρμακα· τοὺς δὲ ἑταίρους ἀγνώμονας ὄντας KUEAT

---

1 Hesych. ὀλοφυγγόνα· φλυκτὶς ἐπὶ τῆς γλώττης. 2 Phot. ὀλοφυκτίς· οἷον ἐπινυκτὶς ἢ δοθιήν. ὅταν δὲ ἐπὶ τῆς γλώττης τοῦτο γένηται, λέγουσιν αἱ γυναῖκες, ὡς ἀποτεθεῖσάν (ὡς ἀποθείς τις Ahrens, ὅσα ποθεῖς τις cod.) σοι μερίδα ⟨οὐκ addidi⟩ ἀπέδωκας (ἀπέδωκεν Ahrens, ἐπέδωκεν cod.). δοκεῖ δὲ ταῦτα ἐπιγίνεσθαι τῇ γλώττῃ καὶ ὅταν ὑπὲρ ἀπόντος φίλου μὴ καλῶς (ἀπόντος καλοῦ ἢ καλῆς cod., corr. Ahrens *Phil. 33, 1874, 390*) διαλέγηται. Hesych. ὀλοφυκτίς 15 Hesych. δαλίς (leg. δαλής)· μωρός. 18 Eust. 10, 18: κατὰ γὰρ τὸν εἰπόντα σοφόν, οὓς οὐ προσορῶσιν αἱ Μοῦσαι, τούτους 'ποτῷ δηλήσατο Κίρκη', τουτέστι τούτους ἡ θηριώδης ἀλογία ἔβλαψεν.

---

1 ὀλοφυγδὼν ἡ φλυκτώδης ἐστὶ φύσκα UEAT, τὴν ἐπὶ γλώσσης φλύκταιναν L^{s} 2 ὀλοφυκτίδα KE ante corr. A: ὀλοφλυκτίδα UE corr. T 4 ἀπέδωκας K: ἀποδεδώκασιν, quod Ahrens negatione deleta recepit, cett. 5 l. restitui auctore Ahrensio: τᾶς μοι πᾶς· πλείων δόσις K: πλείων δόσις LUE: τᾶς μοι πλεῖος· πλείων δόσις A 7 l. om. UAG 8 γλυκερώτερος GPT τὸ ἐξαίφνης—γλυκύ om. LUEA 13 finem scholii deesse putat Ahrens 15 ἔθελξε Ahrens, cf. sch. f: ἐδίδαξε codd. 17 σοφὸν ὄντα K: φησὶν ὄντινα cett. 18 δὲ om. K

καὶ ἀπερισκέπτους ἀπεθηρίωσεν ὁ κυκεών. συώδεις γὰρ ἦσαν καὶ ἀμαθεῖς καὶ ὑπὸ τῆς Κίρκης δυνάμενοι τῷ ποτῷ μετα-
KUEA μορφωθῆναι εἰς ἄλογα ζῷα· g. συώδεις γάρ εἰσιν οἱ ἀμαθεῖς.
P5 h. ⟨οὓς γὰρ ὀρεῦντι:⟩ διὰ τὸν Ὀδυσσέα τοῦτό φησι. οὓς δὲ οὐχ ὁρῶσι, τούτους ἔβλαψεν ἡ ἀμαθία.

X. Ἐργατίναι ἢ θεριστaί

KLUEAGPT a. Ἄδηλον, ἐν ᾧ χωρίῳ διάκειται τὰ πράγματα. Μίλων δ' ἐστὶ καὶ Βάττος ἐν τῷ θερίζειν προσδιαλεγόμενοι ἀλλήλοις. ἐρᾷ δὲ ὁ Βάττος Βομβύκης αὐλητρίδος, Πολυβώτου τινὸς εἴτε θυγατρὸς εἴτε θεραπαινίδος, καὶ ἐπὶ τούτῳ ὁ Μίλων ἐρεθίζει
KUEAGPT αὐτὸν ὡς βραδέως θερίζοντα. b. τοῦ δὲ Βάττου τὴν [μὲν] αὐτοῦ δυσθυμίαν εἰπόντος ὡς Βομβύκης ἐρῶ καὶ διὰ τοῦτο κάμνω τὴν ψυχήν, ὁ Μίλων προσπαίζων αὐτῷ τὴν φίλην αὐτοῦ μάντιν καλαμαίαν φησίν, ἐπεὶ καὶ μέλαινα καὶ λεπτὴ καὶ ἀνάκωλος· τοιαῦται δὲ καὶ ἐν ταῖς χώραις αἱ ἀκρίδες. Βάττος δὲ ἐπὶ τούτοις μήτι μεγαλορρημονεῖν ἔφησεν αὐτῷ· τυφλὸν γὰρ οὐ μόνον τὸν Πλοῦτον, ἀλλὰ καὶ τὸν Ἔρωτα τὸν ἀκρίτως προϊόντα λέγεσθαι. ὑπερεθισθεὶς δὲ ὁ Βάττος ὑπὸ

---

3 ἄλογα Schaefer (ap. Kiessl.), quocum conveniunt et Eust. et sch. rec. in cod. Paris. 2833: ἄλλα codd. γάρ K: δέ cett.

Tit.: Ἐ. ἢ Θ. KLUEA: Ἐ. ἢ Θ. Βάττος (καὶ add. T) Μίλων GPT 7 ἄδ.—πράγματα om. LUEA εἰ ἐν χ. διάκειται τὸ ἆσμα GPT 8 διαλεγόμενοι GPT 9 Βαμβύλης K Πολύβου K 10 θεραπαινίδος K: θεραπαίνης cett. ἐρεθίζει αὐτ. ὡς βρ. θερ. K: ἐρεθίζων αὐτ. ὡς βρ. θερ. σκώπτει GPT: ὡς βρ. θερ. αὐτ. ἔσκωπτε cett. 11 τὴν—δυσθυμίαν et καὶ—ψυχήν om. UEAGPT del. Valckenaer 12 ὡς K: ὅτι GPT: om. cett. Βαμβύλης K 14 καὶ λεπτὴ om. K 15 δὲ bis om. K 16 ἐπὶ τούτοις μήτι μεγαλορρημονεῖν ἔφησεν K: μὴ μεγαλορρημονεῖν (-ήσῃ G, -ῇς P, -ῶν T) ἐπὶ τούτῳ ἔφη cett. 17 τυφλὸν —τὸν Πλοῦτον K: τυφλὸς—ὁ Πλοῦτος cett. τὸν Ἔρωτα τὸν ἀκρ. πρ. scripsi: τὸν ἀκρ. πρ. Ἔρωτα Fritzsche (ed. mai. I 320): τὸν ἀκρ. πρ. K: ὁ Ἔρως cett. 18 λέγεσθαι scripsi: λέγειν K: om. cett. ὑπερερεισθεὶς K, ἐρεθισθεὶς GPT

Μίλωνος εἰς τὴν ἐρωμένην αὐτοῦ ἀπήγγειλεν ᾠδήν. παυσαμένου δὲ αὐτοῦ τῆς ᾠδῆς ἀναδέχεται ὁ Μίλων καὶ ὡς πρέπουσαν ἐργάτῃ ᾠδὴν εἴρηκε περιέχουσαν τὰ περὶ τοῦ Λιτυέρσου τοῦ Μίδου υἱοῦ, ὃν Ἡρακλῆς ἀνεῖλε πολλοὺς ἀναιροῦντα ἐν τῷ θερίζειν. παραινεῖ δὲ αὐτῷ λοιπὸν τὸν κατ' αὐτὸν ἔρωτα διηγεῖσθαι κατὰ τὸν ὄρθρον τῇ μητρί.

1—3 a. *βουκαῖος: ὁ ἐπὶ ἡμιόνων κομίζων τὰς ὕλας ἢ ὁ ἀροτὴρ ὁ τοῖς βουσὶ τέμνων καὶ καίνων τὴν γῆν. [λέγεται ὑποκοριστικῶς.] εἰρῆσθαι δὲ τὸν βουκόλον ὑποκοριστικῶς ⟨φασιν⟩, οἱ δὲ τὸν θεριστήν.* K

b. *βουκαῖον οἱ μὲν τὸν θεριστὴν ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ καὶ τοῦ καίνω τὸ κόπτω καὶ θερίζω, ὁ μεγάλως καίνων· ἢ σὺν βοῇ καὶ ᾠδῇ. τινὲς δὲ τὸν βουκόλον. βέλτιον δὲ τὸν ἀροτῆρα ἀκούειν, τὸν σὺν τοῖς βουσὶ καίνοντα τὴν γῆν. Δίφιλος* (*ὁ Λαοδικεύς*, cf. Athen. VII 314 d) *δὲ ἐν τῷ πρώτῳ τῶν Νικάνδρου Θηριακῶν κύριον ὄνομα τὸν Βουκαῖον λέγει.* UEAGPT

c. *τὸ δ' ἑξῆς· ὦ ταλαίπωρε θεριστά, τί πεπονθὼς οὔτε τὴν τάξιν ὡς πρότερον διατηρεῖς οὔθ' ἅμα τῷ πλησίον θερίζεις, ἀλλὰ καθυστερεῖς;* KUEAPT

---

8 Et. Gen. (Et. M. 207, 30): *βουκαῖος. Νίκανδρος* (*Μένανδρος* codd., corr. Sylburg) *οἷον* (Ther. 5)· *'βουκαῖός τ' ἀλέγοι καὶ ὀροίτυπος'. καὶ Θεόκριτος· 'ἐργατίνα βουκαῖε'. σημαίνει δὲ τὸν ἀροτριαστήν, τὸν τοῖς βουσὶ καίνοντα τὴν γῆν, τουτέστι κόπτοντα καὶ σχίζοντα.* sch. Nic. Ther. 5 Hesych. *βουκαῖος* sch. A B T *N* 824 Eust. 962, 10

---

1 *παυσαμένου — εἴρηκε* in libris post *θερίζειν* leguntur, transposui *παυσάμενος δὲ* **UEAGPT** 3 *ἐργασίαν* (leg. *-ᾳ*) **K** *τοῦ Λιτυέρσου τοῦ* **K**: *τὸν Λυτιέρτην τοῦ* **GP**: *τὸν Λυτιέρσην* (*-την* **T**) *τὸν* cett. 4 *Δείμας* pro *Μίδου* **K** rescr. 5 *δὲ* **K**: *τε* cett. *αὐτῷ* Valckenaer: *αὐτὸν* **K**: om. cett. *κατὰ ταύτην* **K** 8 *καίνων* Ziegler: *κινῶν* cod. delevi 10 supplevi, lac. Ziegler statuerat 11 *ἤκουσαν* post *θεριστὴν* add. **GPT** *ἀπὸ —ᾠδῇ* om. **GP** 14 *καὶ τέμνοντα* post *γῆν* add. **GPT** 17 *ταλαίπωρε* **K**: *ἐπίπονε* cett. *πέπονθας* **UEAPT** 18 *τῷ* **K** ante corr. **UT**: *τὸ* **K** corr. cett. *λήιον* post *πλησίον* add. **UEAPT**

KUEAT d. ὄγμον: τὴν αὔλακα παρὰ τὸ διοιχθῆναι τὴν γῆν. οἱ δὲ τὴν τάξιν, οἱ δὲ τὸν ὄρχον, οἱ δὲ τὸν χόρτον. κυρίως δὲ ἡ ἐπ' εὐθείας τομὴ τῆς αὔλακος, καὶ ἔστιν ὄγμος οἷον ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀρότρου. νῦν δὲ κεῖται ἡ λέξις ἐπὶ τῆς εἰς εὐθὺ τάξεως τοῦ θερισμοῦ, ὡς Ὅμηρος (Λ 68)· 'ὄγμον ἐλαύνει'.

BPT e. οὐ τεὸν ὄγμον: ὄγμος κυρίως ἡ [ἀπὸ] τοῦ ἀρότρου τομή, ἤγουν ἡ αὖλαξ, ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος. νῦν δὲ κεῖται ὁ λόγος ἐπὶ τῆς κατ' εὐθὺ τάξεως τοῦ θερισμοῦ.

L[E] f. ⟨ὄγμος⟩ ἡ ἐπίστιχος φυτεία ἀπὸ τοῦ οἴγειν καὶ ἀνοίγειν.

P g. ὄγμος ἡ τάξις, ὁ ὄρχος. ἄλλοι δὲ ὄγμον τὸ γεωργικὸν ἐργαλεῖόν φασιν.

K[E]L[E]U[E]E[E]P h. οὔθ' ἅμα λᾳοτομεῖς τῷ πλατίον: τὸ λήϊον τέμνεις, θερίζεις.

K[m]L[E]U[E]E[E]P[E] 4. ⟨κάκτος:⟩ εἶδος φυτοῦ ἀκανθώδους ἀπὸ τοῦ καταικαίνω τὸ λυπῶ.

K 5/6 a. ποιός τις: πῶς, φησίν, οὐκ ἀργότερος ἔσῃ προϊούσης τῆς ἡμέρας, ὁπότε νῦν ἀρχόμενος τῆς ἐργασίας οὐκ ἀποτέμνεις τῆς αὔλακος οὐδέν;

UEAT b. ποιός τις δείλαν τε: ποταπὸς ἔσῃ κατὰ μεσημβρίαν

---

1 sch. BT Σ 546 sch. Soph. Phil. 163 sch. Nic. Ther. 571 sch. Opp. Hal. I 625 Et. M. 613,34 (Gen., cf. Reitzenstein *Gesch. d. gr. Etym. 25 n. 68*) Et. Or. 114, 28 Eust. 831, 57; 1161, 54

---

1 διηνοίχθαι K 2 ὄρχον K: ὀρ lac. insequente A: ὁ cum lac. U: ὄρθινον T: om. E οἱ δὲ τὸν χόρτον deleri vult Duebner 3 ἐπ' εὐθὺ τοῦ ἀρότρου τομή UEAT καὶ om. K 4 ἀρότρου K: ἀροτριῶντος cett. 5 εἰς om. UEAT ὁ μὲν pro Ὅμηρος K rescr. 6 ὄ. ἐλαύνει K: ὄ. ἐλαύνοντες ἀνδρὸς μάκαρος κατ' ἄρουραν UEA(T) ἐλαύνωσιν Hom. 7 praeterm. Tricl. 11 οἶσειν cod., corr. Duebner 15 τὸ λ. τέμνεις θερ. P: τὸ λ. τέμνεις LUE: θερ. παρὰ τὸ λ. τέμνειν K 17 ἀπὸ seqq. om. KLUP κακαίνω E, correxi

καὶ δείλην, ὃς νῦν ἀρξάμενος οὐ μειοῖς καὶ ἐλαττοῖς τὸν στίχον τοῦ θέρους; τὸ γὰρ ἀποτρώγεις τοῦτο δηλοῖ.

c. ποταπὸς ἔσῃ προϊούσης ἡμέρας, ὅτε νῦν ῥᾳθυμεῖς τῆς ἐργασίας ἀρχόμενος, καὶ εἴπερ σε καὶ τὸ καῦμα ἐκλύει περὶ τὴν δείλην; L^{m}E^{s}AT

7 a. ὀψαμᾶτα: ὁ μέχρις ὀψὲ θερίζων καὶ μὴ ἐνδούς. K

b. *Μίλων ὀψαμᾶτα*: τουτέστι μέχρι ὀψίας θερίζων καὶ κακοπαθῶν καὶ μὴ ἐνδιδούς. τοῦτο δέ φησιν, ἐπεὶ οὗτος ἐν ἀρχῇ τοῦτον εἶπεν ἐκλελύσθαι. UEA

c. *Μίλων ὀψαμᾶτα*: ἐπεὶ ὁ *Μίλων* ἐν ἀρχῇ τὸν *Βάττον* εἶπεν ἐκλελύσθαι, ὀψαμάτην τὸν *Μίλωνα* ὁ *Βάττος* καλεῖ, τουτέστι μέχρι ὀψίας θερίζοντα καὶ μὴ ἀποκάμνοντα. BPT

[d.] ⟨ὀψαμᾶτα:⟩ νωθρέ, ὀψὲ καὶ βραδέως ἀμῶν· ἢ ὄψιμε καὶ γηραιέ. L^{s}U^{s}E^{s}

e. ἀτεράμνου: λιθίνης, ἀναισθήτου. ἀτεράμνους γάρ φασι πέτρας τὰς σκληρὰς καὶ μὴ τειρομένας, καὶ ἀτέραμνα ὄσπρια τὰ ἀνέψητα. K

f. *πέτρας ἀπόκομμ' ἀτεράμνου*: ἀντὶ τοῦ *λίθινε* καὶ *σκληρότατε*· ἀτεράμνους γὰρ τοὺς σκληρούς φασι, τοὺς μὴ τέρενας καὶ ἁπαλούς· οἷον *πέτρινε*. UEA

g. *πέτρας ἀπόκομμ' ἀτεράμνω*: οἷον *πέτρινε*, *λίθινε*, *σκληρότατε*· ἀτεράμνους γὰρ τὰς σκληρὰς πέτρας φασίν, ἐπεὶ τέρεν τὸ ἁπαλόν. BPT

[8.] οὐδέποτέ σοι συνέβη ἐρᾶν ἀπόντος; L^{s}U^{s}E^{s}

9. τίς δὲ πόθος: οὐδὲ εἷς ἐργάτῃ ἀνδρὶ ἔρως καὶ ἐκτὸς τοῦ προκειμένου ἔργου γίνεται πόθος. ὑποβάλλει δὲ τὸ τοῦ K

---

15 *Galeni Pergameni de Atticissantium studiis testimonia, coll. Guil. Herbst, 1911, 26 sq.*, ubi add. Theophr. Hist. plant. II 4, 2

---

1 ὃς Heinsius: ἧς codd. 3 ὅτε Call.: ὅτι codd. 4 lac. inter καὶ et εἴπερ ind. Ahrens ἐκλύσει Tricl. 13 ἢ ὄψιμε γηραιὲ καὶ μέχρι τῆς ὀψίας ἀμῶν L 16 τειρομένας Call.: τεινομένας cod.

Εὐριπίδου (fgm. 895 Nauck *Trag. graec. fgm.*² *647*)· *'ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν πεινῶσι δ' οὔ.'*

KL^{E}U^{E}E^{E} 11 a. *χαλεπόν, φησίν, ἐντέρων κύνα γεῦσαι· εἰ γὰρ εἴθισται, καὶ τοῖς θρέμμασιν αὐτοῖς ἐπιχειρεῖ. ἔστι δὲ παροιμιῶδες· χαλεπὸν ἐργάτας ἄνδρας ἔρωτος πειραθῆναι.*

UEAGPT b. *χαλεπὸν χορίῳ: ὥσπερ, φησίν, ὁ γευσάμενος χορίου κύων δυσαποδίωκτός ἐστιν, οὕτω καὶ ὁ ἀγροῖκος ἐρωτικοῦ*

L^{E}U^{E}E^{E}GPT *πάθους γευσάμενος.* P c. *παροιμία δέ ἐστιν ἐπὶ τῶν γευσαμένων ἀθέτου τινός, δυσαποσπάστως δὲ ἐχόντων·* d. *χαλεπὸν ἐργάτην ἄνδρα ἔρωτος πειραθῆναι.*

K 12. *σὺ μέν, φησίν, ἀπείρατος ἔρωτος τυγχάνεις, ἐγὼ δὲ ἐρῶ ια' ἡμέρας ἤδη.*

13 a. *ἐκ πίθου: ἡ παροιμία ἀπὸ τῶν ἄφθονα ἐχόντων· ἔοικας, φησίν, ἐκ περιουσίας ζῆν.*

UEA b. *ἐκ πίθου ἀντλεῖς: τοῦτο εἰρωνευόμενός φησιν οἷον· ἐκ περιουσίας καὶ πλήρους πίθου ἀντλεῖς, ὥστε σε ἐρᾶν, καὶ οὐκ ἐκ λαγήνων· ἐγὼ δὲ ἔχω οὐδ' ἅλις ὄξους.*

GPT c. *ἐκ πίθῳ ἀντλεῖς: οἷον οὕτως ἐν περιουσίᾳ ζῇς, ὥστε σε καὶ ἐρᾶν. ἢ εἰρωνευόμενός φησιν· ἐκ περιουσίας, ἀπὸ πλήρους πίθου ἀντλεῖς καὶ οὐκ ἐκ λαγήνου· ἐγὼ δὲ οὐδὲ ὄξος ἔχω.*

K [d.] *ὄξος ἅλης: πλάνης θεράπευμα.*

14 a. *τοιγάρτοι: τουτέστιν ἀπὸ σπόρου ⟨τὰ⟩ πρὸ τῶν θυρῶν ἐκεκόσμητο ἐπιμελείας τυγχάνοντα, νῦν δὲ οὐχ ὁμοίως διὰ τὴν ἐπὶ τῇ ἐρωμένῃ λύπην. τοῦτο οὖν φησι δεῖγμα τοῦ ἐρᾶν, τὸ ἀσκάλευτον εἶναι καὶ ἀγεώργητον ἀπὸ τοῦ σπόρου τὸ πρὸ θυρῶν.*

---

4 Paroemiographi (Greg. Cypr. III 97 al.) 13 Apost. VI 93 f

---

3 *χαλεπόν—γεῦσαι* om. **LUE** 4 *εἴθισται* Wilamowitz: *αἴσθηται* codd. 5 *ἐργάτην ἄνδρα* **LUE** 8 *γευσάμενος* om. **UEA** 9 *ἐφετοῦ* codd., correxi 14 *ζῆν* apographa, evan. in **K** 20 *λαγήνου* scripsi: *λάγνου* **P**: *λαγήνων* **T**: om. **G** 21 interpretatio absurdissima lectionis corruptae *ἅλης* 22 *ἀπὸ σπ. ⟨τὰ⟩—ἐκεκόσμητο* scripsi: *ἀπὸ σπ.—κεκόσμηται* cod.: *⟨πάλαι⟩ ἀπὸ σπ.—⟨πάντα μοι⟩ κεκόσμητο* dubitanter Ahrens (ap. Ziegl.) 26 *τὸ πρὸ θυρῶν* Wilamowitz: *τοῦ πρόσθεν* cod.

b. ⟨διὰ⟩ ταύτην, φησί, τὴν αἰτίαν, ἐξ οὗ σπόρος γέγονε, ἄσκαλα πάντα, τουτέστιν ἠμελημένα πάντα [δι' ἔρωτα].

c. τοιγάρτοι πρὸ θυρῶν [πρὸ θυρῶν] μοι: τοιγαρ- UEAT
οῦν διὰ τὸ ὑπὸ τοῦ ἔρωτος ἐκλύεσθαί με ἀπὸ τοῦ σπόρου ἀτημέλητά μοι πάντα, οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πρὸ τῶν θυρῶν.

d. πάλαι, φησίν, ἀπὸ τοῦ σπόρου πάντα μοι ἦν καλά, UEAGPT
οὐ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ πρὸ τῶν θυρῶν· νῦν δ' οὐδὲν διὰ τὸν ἔρωτα, ἀντὶ τοῦ· νῦν οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πλησίον τῶν θυρῶν μου ἀτημέλητα μένει διὰ τὸν ἔρωτα.

e. τὸ δὲ ἄσκαλα ἀπὸ τοῦ σκαλίς· σκαλὶς δέ ἐστι γεωργικὸν ἐργαλεῖον.

f. ἄσκαλα, τουτέστιν ἀναροτρίαστα, καὶ τὰ προαύλια· πρώην γάρ, φησίν, εἶχον ἄφθονα· νῦν δὲ καὶ τὰ πρὸ θυρῶν μοι ἀσκάλευτα πάντα διὰ τὴν ἐπὶ τῇ ἐρωμένῃ λύπην.

g. ἤγουν ἐρῶντός μου καὶ τὰ σύνεγγυς ἀκατέργαστα $L^{E}U^{E}E^{E}P^{E}$
πάντα καὶ ἀκόσμητα.

15/16 a. ἡ Πολυβώτου με, φησί, λυμαίνεται θυγάτηρ ἢ K
θεράπαινα, ἣ πρώην ἡμῖν θερίζουσι παρ' Ἱπποκόωνι οὕτω καλουμένῳ προσηύλει. τινὲς δὲ πολυβώτην τὸν πλούσιον.

b. τῶν παίδων: ταῦτα ὁ Μίλων ἐρωτᾷ, εἶτα ὁ Βάττος UEAT
ἐπάγει· ἃ Πολυβώτα. δύναται δὲ καὶ αὐτὸς λέγειν ὅλον τὸν στίχον, ἵν' ᾖ· τίς ἄρα σε, ὦ πολυβῶτα, ὦ πλούσιε, συνεκδο-

---

14 14. Hesych. ἄσκαλα· ἀκάθαρτα.

---

1 restitui quae supra leguntur. cod.: ἄσκ. π. τουτ. ἠμελ. ταύτην φ. τὴν αἰτ. ἐξ οὗ σπ. γέγ. τουτ. ἠμελ. πάντα δι' ἔρ., Ziegler: ἄσκ. π. τουτ. ἠμελ. πάντα δι' ἔρ. ταύτην φ. τὴν αἰτ. ἐξ οὗ σπ. γέγ. 4 ἐκλύεσθαι Gaisford: ἐλκύεσθαι codd. ἀπὸ σπόρου, ἤγουν ἀφ' οὗ ἔσπειρα, ἀτημέλητά εἰσι πάντα τὰ χωράφιά μου καὶ ἀσκάλιστα, οὐ T 10 καὶ τὰ πλησίον UEA: οὐδὲ τὰ πρὸ cett. ἀτημέλητα μένει UEA: εἰσὶν ἐσπαρμένα ἀλλὰ ἄσπορα μένουσι cett. 12 τὸ δὲ ἄσκ. ἀπὸ τ. σκ. om. UEA γηπονικὸν GPT 15 ἀφθονίαν et ἄσκαλα GPT 16 διὰ seqq om. GPT

χικόν. πολυβώτην δὲ εἶπεν αὐτὸν διὰ τὸ πλεοναχῶς βωτεῖν· ὦ πολυβῶτα, πολλοὺς ἔχων βόας. οἱ δὲ ζητοῦσι τὸ Πολυβώτου πότερον θυγάτηρ ἢ θεράπαινα. καὶ μὴν ἔνιοι δὲ πολυβώτην προσηγόρευον τὴν πλουσίαν.

QPT c. *ἃ Πολυβώτα: ἀπὸ τοῦ Βάττου ὁ λόγος. ἄδηλον δέ,* 5 *πότερον θυγατέρα ἢ θεράπαιναν τοῦ Πολυβώτου ⟨λέγει⟩. ἡ τοῦ Πολυβώτου οὖν, φησί, λυμαίνεταί με, ἥτις πρώην θεριζόντων ἡμῶν παρ' Ἱπποκίωνι ἠύλει.*

KL^{E}U^{m}E^{E}T 17 a. *εὗρε θεὸς τὸν ἀλιτρόν: δοκεῖ καὶ τοῦτο παροιμιῶδες ἐπὶ τῶν διδόντων δίκην τῆς ἁμαρτίας. ὁ δὲ νοῦς·* 10 *ἁμαρτωλόν σε ὄντα δικαίως μετῆλθε τὸ θεῖον περιπεπτωκότα οἷς ἐπεθύμεις κακοῖς.*

QPT b. *εὗρε θεὸς τὸν ἀλιτρόν: τοῦτο παροιμία ἐστίν· [καὶ] εὗρε θεὸς τὸν αἴτιον καὶ [τὸ] ἔχεις ἅπερ ἐπεθύμεις.*

K 18 a. *ἡ καλαμαία: ταύτην οἱ μὲν γραῦν σέριφον, οἱ δὲ* 15 *ἀρουραίαν ὀνομάζουσιν. ἔστι δὲ ἀκρὶς ⟨ἐν τῇ καλάμῃ γινομένη⟩ καὶ καλεῖται μάντις. ἴσως δ' ἐκ τούτου τὴν ἰσχνὴν καὶ διεφθινηκυῖαν ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν δρῶσαν, ἵν' ᾖ· ἀκρίς σοι ἀντὶ γυναικὸς χρηματισθήσεται, τουτέστι λυμανεῖται καθάπερ ⟨ἡ⟩ ἀκρὶς ἡ καλαμαία.* 20

---

9 Hesych. *ἀλιτρόν· ἁμαρτωλόν, ἄδικον.* 15 Zenob. II 94: *γραῦς σέριφος* (ἔριφος V)· *Ἀπολλόδωρός* (fgm. 198 Mueller *Fgm. hist. gr. I 463*) *φησιν, ὅτι ἔστι τις παροιμιώδης λεγομένη σεριφία* (ἔριφος V) *γραῦς, ἡ ἐν παρθενίᾳ γεγηρακυῖα. οἱ δὲ ἀπὸ τῆς ἀκρίδος· τὴν γὰρ ἀρουραίαν ἀκρίδα ὑπό τινων μάντιν λεγομένην κατὰ Σικελίαν γραῦν σέριφον* (ἔριφον V) *καλεῖσθαι ἢ γραῦν σερίφην* (ἐρίφων V). *λέγουσι δέ, ὅτι εἴ τινι ἐμβλέψειε ζῴῳ, κακόν τι ἐκείνῳ γίνεται.* Hesych. *γραῦς ἔριφος* Suid. *γραῦς σέριφος* 16 Hesych. *καλαμαία· εἶδος ἀκρίδος, ἣν καὶ μάντιν καλοῦσι.* id. *μάντις*

---

1 *βωτεῖν* Ahrens collatis Suida s. v. et Hesychio s. *βοωτεῖν*: *πολυβωτεῖν* codd. 3 *μὴν ἔνιοι* Ahrens: *Πηνελόπη* codd. *δὲ* post *καὶ μὴν* mirum 4 *προσηγόρευον* scripsi: *-ευε* **UEA**: *-ευσε* **T**: *-εῦσθαι* Ahrens 6 suppl. Call. 9 *παροιμία* pro *δοκεῖ—παροιμιῶδες* **LUET** 11 *ἁμαρτωλῷ σοι ὄντι—περιῆλθε—περιπέπτωκας* **LUET** 13 delevi, *παροιμίαι εἰσί* e coni. Call. 14 fort. *ἄδικον* 15 *σέριφον* scripsi e locis sim.: *ἔριθον* cod. 16 supplevi 20 ⟨*ἡ*⟩ *ἀκρ. ἡ καλαμαία* Ziegler: *ἀκρ. τῇ καλαμαίᾳ* cod.

b. *τὰν νύκτα*: *μάντις καλαμαία ἀντὶ τοῦ ἀρουραία. ἔστι* UEA *γὰρ ἀκρὶς λεγομένη μάντις ἐν τῇ καλάμῃ γινομένη. ἴσως οὖν Θεόκριτος ἰσχνὴν εἰπεῖν θέλων καὶ διεφθινηκυῖαν τοῦτό φησιν.*

c. *μάντις τοι τὰν νύκτα χροΐζεται ἁ καλαμαία*: *τὸ* GPT *καλαμαία ἀντὶ τοῦ ἀρουραία. ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη καὶ καλεῖται μάντις. νῦν οὖν τὴν ἰσχνήν φησι καὶ διεφθινηκυῖαν ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν.*

d. *ἡ καλαμαία*: *ἡ ἐπὶ καλάμῃ ἑστῶσα καὶ γινομένη.* K

e. *Ἀρίσταρχος ἐν ὑπομνήσει Λυκούργου Αἰσχύλου* KUEAGPT (Nauck *Trag. gr. fgm.*^{2} *40*) *φησὶ τὴν ἀκρίδα ταύτην, εἴ τινι ἐμβλέψειε ζῴῳ, τούτῳ κακόν τι γίνεσθαι.* f. *ἔστι δὲ χλωρὰ* UEAGPT *καὶ περιμήκεις τοὺς ἐμπροσθίους πόδας ἔχουσα καὶ λεπτοὺς καὶ συνεχῶς αὐτοὺς κινοῦσα· οὐ γὰρ ὡς ἡ κοσκινόμαντις.*

g. *τὴν νύκτα*: *ἡ μάντις ἡ καλαμαία κατὰ τὴν νύκτα* UEAT *χροϊξεῖται καὶ πλησιάσει τῷ χρωτί, τοὶ καὶ σοῦ· ἀντὶ τοῦ· ἡ ἐοικυῖα τῇ καλαμαίᾳ μάντει συνευνασθήσεταί σοι. τινές φασιν εἰκάσαι τὴν Βομβύκην τῇ ἀκρίδι ταύτῃ διὰ τὸ καὶ τὴν ἀκρίδα μέλαιναν εἶναι καὶ αὐτὴν τὴν κόρην Σύραν.*

h. *μάντις καλαμαία διὰ τὸ μὴ λευκὴν εἶναι ὡς οἱ Σύροι καὶ οἱ Αἰγύπτιοι.*

i. *μάντις τοι*: *σκώπτει τὴν ἐρωμένην τοῦ Βάττου καὶ ἀντὶ τοῦ εἰπεῖν ὅτι ἀκρὶς συγκοιμηθήσεταί σοι, ἥ ἐστιν ἰσχνὴ καὶ λεπτὴ καὶ μέλαινα, λέγει ὅτι μάντις καλαμαία. τὴν ἀκρίδα οὖν φησι καλαμαίαν, [ἢ] ὅτι ἐν καιρῷ καλάμης ἐσθίει τὸν*

---

8 *διομένη* cod., correxi 9 *Ἀριστοφάνης* K verba *ἐν—φησὶ* omittens *Ἀρίσταρχος γὰρ ἐν ὑπομνήματι Λυκούργου τὴν ἀκρίδα φησὶ ταύτην* GPT 10 *εἴ τινι ἐμβλέπει* (correxi e Zenobio) *ζῴῳ, τοῦτο κακὸν γίνεσθαι* K: *εἰ προβλέψει* (*προσβλέψει* Call.) *τι τῶν ζώων, τούτῳ* (*τοῦτο* E) *κακὸν γίνεται* UEA: *εἰ προβλέπει* (*ἀποβλέπει* G, *προβλέπεις* T) *τινὶ* (*τι* P) *τῶν ζώων, ἐκείνῳ κακόν τι γίνεσθαι* cett. 12 *περιμήκης* UEA *μακροὺς* post *πόδας* addentes *ἔμπροσθεν* GPT 13 *οὐ γὰρ* seqq. om. GP 15 *πλησιάσοι* UEA *χροΐ* T 16 *μάντει* Duebner: *-τις* codd. 18 *αὐτὴν καὶ* codd., transposui; *ὡς* ante *Σύραν* suppleri vult Ahrens 21 *σκόπει—τῷ Βάττῳ* codd. nostri, corr. Tricl. 24 *ἢ* praeterm. Phav. Lex. s. *χροΐζεται*

στάχυν· τὴν αὐτὴν δὲ καὶ μάντιν, ἢ ὅτι προμαντεύεται λιμὸν φαινομένη, ἢ ὅτι κακόχρους καὶ πρασίζουσα [οὖσα] οἷς ἂν ἐντρανίσῃ ζῴοις κακὸν προμηνύει.

UEAGPT 19 a. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος: τυφλὸν τὸν Πλοῦτόν φασιν, ἐπειδὴ τοὺς πλουτοῦντας ὁρῶμεν πηροῦσθαι τὴν διάνοιαν. Δήμητρος δὲ καὶ Ἰασίωνος αὐτόν φασιν, ἐπεὶ τῇ τῶν καρπῶν εὐφορίᾳ ἰᾶται τὴν ἔνδειαν ἡμῶν.

b. ὑπὸ Διὸς δ' ἐπηρώθη, ὥς φησιν Ἀριστοφάνης (Plut. 87—91), ἵνα μὴ βλέπων ἐπὶ τοὺς δικαίους μόνους ἔρχηται. οἱ δὲ τυφλὸν αὐτὸν διὰ τὸ ἄκριτον.

UEA c. τυφλὸς δ' οὐκ αὐτός: ὁ Δήμητρος καὶ Ἰασίωνος υἱός.

K 20 a. ὠφρόντιστος: ὁ μηδενὸς φροντίζων Ἔρως.

b. φησίν· ἔλπιζε καὶ σὺ περιπεσεῖν ἔρωτι[κῶς] καὶ μὴ μεγαλορρημόνει.

21 a. τὸ λᾶον: κατάτεμνε, θέριζε. λᾶον δὲ τὸ λήϊον Δωρικῶς διὰ τοῦ ᾱ.

$L^{s}U^{s}E^{s}$ b. ⟨κατάβαλλε τὸ λᾶον:⟩ τὸ λήϊον τέμνε ἐκθερίζων.

K 22/23 a. καί τι κόρας: καί τι, φησί, μέλος ἀνάκρουσον καὶ ἀναφώνησον τῇ κόρῃ· οὕτω γὰρ ἥδιον ἐργάσῃ.

$L^{s}U^{s}E^{s}$GPT b. καὶ τι κόρας φιλικὸν μέλος ἀμβάλευ: καί τι φιλικὸν μέλος εἰς τὴν κόρην ἀνάκρουσον.

P 24 a. Μοῦσαι Πιερίδες, συναείσατε τὴν ῥαδινάν μοι: ἄρχεται τῆς ᾠδῆς ὁ Βάττος.

K^{m} b. ἀρχὴ ᾠδῆς βουκόλου.

K c. συναείσατε: σὺν ἐμοὶ ᾄσατε ἢ ἐπιπνεύσατε ᾆσαι.

d. ῥαδινήν: τὴν ἰσχνήν· ἀκρίδι γὰρ αὐτὴν παρέβαλεν ὁ Μίλων.

$U^{s}E^{s}P^{s}$ e. ⟨ῥαδινάν:⟩ τρυφεράν.

---

2 del. Toup 3 ἐνατενίσῃ Hemsterhuys alii 4 τυφλὸς δ' om. UEA 5 ἐπεὶ οἱ πλουτοῦντες πηροῦνται GPT 6 Ἰασίωνος Brubach.: Ἰάσωνος codd. fort. scholiasta ipse haec nomina confudit 7 εὐφορίᾳ UEA: περιουσίᾳ GP: περιουσίᾳ ἢ εὐφορίᾳ T 8 ὑπὸ δὲ Διὸς αὐτὸν πηρωθῆναί φασιν ὡς καὶ Ἀρ. GP(T) 11 Ἰάσωνος libri, corr. Adert 12 ἔρως Apogr. Barb.: ἔρωτος K 13 del. Wilamowitz 17 τέμνων codd., correxi

26/27 a. *Σύραν καλέοντι*: *δηλονότι μέλαινάν πως* K
τυγχάνουσαν τὴν χροιάν· τοιούτους γὰρ εἶναι τοὺς Σύρους
ὡς τοὺς Αἰγυπτίους, μέλανας.

b. *Σύραν καλέοντί τυ πάντες*: *διὰ τὸ ἥκιστα λευκὴν* GPT
αὐτὴν εἶναι· οἱ γὰρ Σύροι μέλανες. ἁλιόκαυστον δὲ τὴν
ὑπὸ ἡλίου κεκαυμένην.

c. *μελίχλωρον*: *οἷον μελίχρουν ἠρέμα καὶ οὐ λίαν μέ-* K
λαιναν· οἱ μὲν ἄλλοι Σύραν, ἐγὼ δὲ μελίχλωρον ἀποκαλῶ.

d. *ἐγὼ δὲ μόνος μελίχλωρον*: *οἱ μὲν ἄλλοι Σύραν* GPT
αὐτὴν καλοῦσιν, ἐγὼ δὲ μελίχλωρον, οἷον μελίχρωτα ἠρέμα
καὶ οὐ λίαν μέλαιναν.

e. *⟨μελίχλωρον:⟩ μελίχρουν καὶ οὐ λίαν μέλαιναν.* $L^{E}U^{E}E^{E}$

28 a. *ἃ γραπτὰ ὑάκινθος*: *τὴν γραπτὴν ὑάκινθόν φα-* KUEAT
σιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι· διά τοι τοῦτο
ἔχειν ἐγγεγραμμένον αἲ αἲ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ
Αἴαντος. εἰς ὃ Εὐφορίων (fgm. 38 Scheidweiler *Diss. phil.*
Bonn. 1908, 40) *ἀπιδὼν εἶπε·*

'πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν
'Ροιτείης ἀμάθοισι δεδουπότος Αἰακίδαο
εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.'

b. *⟨γραπτὰ⟩ ὑάκινθος*: *διὰ τὸ ἐγγεγράφθαι τὸ αἲ αἲ.* UEAT
εἶναι δὲ σύμβολον τῶν ἐπὶ τῷ Αἴαντι μυθολογουμένων· φῦναι
γὰρ ἐκ τοῦ αἵματός φασιν αὐτοῦ τὴν ὑάκινθον, ὅτε ἐμάνη
ἐπὶ Τροίᾳ περιπεσὼν τῷ ξίφει.

---

8 sch. Nic. Ther. 797

---

6 *ὑπὸ ἡλίου κεκαυμένον* K^{m} 10 *μελανόχρωτα* codd., correxi 11 *μέλαιναν* G: *μέλαινα* T: *μέλανα* P 12 *μελίχρουν* sch. c: *μελάγχρουν* codd. 16 *ὃ Εὐφορίων* Toup: *τὸν Εὐφορίωνα* codd. 17 *ἀπιδὼν* K: *φείδων* cett. 18 *ὑάκινθος* K *σὲ* K: *σοι* cett. *φῆμις* Hemsterhuys *Lucian. I 240*: *φημὶ* K: *φάτις* cett. 19 *ῥοιτείης* Brubach.: *ῥοιτείην* T: *ῥοιτείοις* UA: *ῥυτοίοις* E: *ῥητίοις* K *Αἰακίδαο* K: *-δα* cett. 20 *ἀντέλλειν* K: *ἀνατέλλειν* cett. *γεγραμμένα* K: *-ω* cett. *κωκύουσα* K
21 suppl. Ahrens

BPT c. καὶ τὸ ἴον μέλαν ἐντὶ καὶ ἁ γραπτὰ ὑάκινθος: τὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος εἶναι τοῦ ἐν Τροίᾳ μανέντος· διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένην αἰ αἴ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος. διὰ τοῦτο οὖν καὶ γραπτὴν αὐτὴν νῦν εἶπεν.

L^{β} d. γραπτὴν λέγουσι τὴν ὑάκινθον, διότι ἐν τῷ καιρῷ, καθ' ὃν ἐφονεύθη ὁ Αἴας, ἀνεδόθη βοτάνη καὶ εἶχε γραπτὸν τὸ αἰ αἴ.

B [e.] τὸν ὑάκινθον τὸ αἷμα τοῦ Αἴαντος ἔβαψε λευκὸν ὄντα.

E^{β}A [f.] ἔσχον δὲ καὶ τοῦτο· ὅταν ἔμελλον πλεῖν οἱ Σαλαμίνιοι, ἔγραφον τὴν ὑάκινθον ἐν τοῖς ἱστίοις εἰς ἀνάμνησιν τοῦ Αἴαντος.

K 29 a. τὰ πρῶτα λέγοντι: ἐν τοῖς στεφάνοις τὸ ἴον καὶ τὴν ὑάκινθον.

UEAT b. λέγοντι: τὰ πρῶτα ὅμως λέγουσιν, οἷον πρωτολογοῦσιν, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς ὑποκριταῖς πρωτολόγων.

$K^{\beta}L^{\beta}U^{\beta}E^{\beta}$BPT 30 a. ἁ αἶξ τὸν κύτισον: ὁ κύτισος φυτόν, ὃ νεμόμεναι αἱ αἶγες γάλακτος πλήθουσιν.

K b. ἀπὸ κοινοῦ τὸ διώκει, ἐπιζητεῖ.

$KL^{\beta}U^{\beta}E^{\beta}$BP 31 a. ἁ γέρανος: ἀρχομένου γὰρ τοῦ σπόρου αἱ γέρανοι φαίνονται.

BP^{β} b. μεμάνημαι: ἐρωτικῶς διάκειμαι.

K 32/33 a. αἴθε μοι ἦς: εἴθε ἐκεκτήμην τὰ Κροίσου· ἀμφότεροι ἂν ἦμεν ὥσπερ χρυσοῖ τῇ Ἀρφοδίτῃ ἀνακείμενοι.

$L^{\beta}U^{\beta}E^{\beta}BP^{\beta}$ b. χρύσεοι ἀμφότεροι κ' ἀνεκείμεθα τῇ Ἀφροδίτᾳ: ἤτοι στήλας ἡμῶν ἀμφοτέρων χρυσᾶς ἐποιήσαμεν ⟨ἂν⟩ καὶ ἀνεθέμεθα τῇ Ἀφροδίτῃ.

---

17 sch. Nic. Ther. 617 sch. Bern. Verg. Buc. I 79: cytisum: herba est lacti⟨s⟩ habundantiam suggerens.

---

10 ἔσχον—τοῦτο om. E εἶχον A, correxi 15 λέγοντι· τὰ πρ. scripsi ex mente Ahrensii: λέγονται τὰ πρ. UEA: τὰ πρ. λέγοντι T 16 πρωτολόγων Piccolos: προλόγων codd. 20 τοῦ om. KGP 23 ἐκεκτήμην Apogr. Barb.: -οίμην K 24 περίχρυσοι caute Wilamowitz 26 ἡμῶν ἀμφοτέρων cod. Par. 2835 Gailio teste: ἡμῶν ἀμφοτέρας LUE: ἡμῖν ἀμφότεροι GP addidi

34/35 a. τοὺς αὐλούς: σὺ μὲν ἄν, φησίν, αὐλοὺς ἢ ῥόδον ἢ μῆλον εἶχες, ἐγὼ δὲ καλὸν εἶδος ὡς ἂν σχῆμα λαβὼν ὀρχηστοῦ καὶ ὑπ' ἀμφοτέροις τοῖς ποσὶν ὑποδήματα. K

b. ὀρχούμενον δ' ἐγὼ ἐν τῇ εἰκόνι ἐποίουν ἐμαυτὸν ἔχοντα Λακωνικὰ ὑποδήματα. KUEAGPT

c. ἡ ἐμὴ στήλη ἐφαίνετο ἂν ἔχουσα σχῆμα ὀρχηστοῦ καὶ ἐν τοῖς ποσὶ φοροῦσα ὑποδήματα ⟨Λακωνικά⟩. UEAGPT

d. ἀμύκλαι εἶδος ὑποδήματος ἀπὸ Ἀμυκλαίου ⟨τινὸς⟩ τὸ πρῶτον εὑρόντος. KU^{c}E^{c}G

e. σχοῖμι δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας: ἀμύκλαι εἰσὶ Λακωνικὰ ὑποδήματα. GPT

36 a. οἱ μὲν πόδες: ὁ νοῦς· φημὶ διὰ τὴν ὑπερβολὴν τῆς εὐμορφίας τοὺς πόδας σου ὡς ἀστράγαλον γεγλύφθαι. τοῦτο δὲ εἶπε, παρόσον οἱ ἀστράγαλοι ὀρθοί εἰσι καὶ λεπτοὶ καὶ εὔρυθμοι. K

b. οἱ μὲν πόδες ἀστράγαλοί τευ: οἱ μὲν πόδες σου ἀστράγαλοί εἰσιν, οἷον εὔρυθμοι καὶ ὀρθοὶ καὶ λευκοὶ ὡς οἱ ἀστράγαλοι τῶν κυβευόντων. UEAGPT

[c.] ⟨ἀστράγαλοι:⟩ οἱ ἀστέρος δίκην ἀγλαΐζοντες. G$^{P^{m}}$

37 a. τρύχνος: βοτάνη ἱκανῶς μαλακή. τάσσεται δὲ ἐπὶ τρυφερότητος. K

b. ἃ φωνὰ δὲ τρύχνος: εἶδος βοτάνης. τάσσεται δὲ καὶ ἐπὶ τρυφερότητος· τρύχνος γὰρ λάχανον ἱκανῶς μαλακόν. UEAGPT

---

11 Hesych. ἀμυκλαῖδες Phot. ἀμυκλᾶδες Poll. VII 88 Suid. ἀμύκλαι

---

2 εἶδος scripsi: ἄνθος cod. 4 praem. γράφεται καὶ σχῆμα δ' ἐγώ GPT ὀρχούμενον Duebner: -ος codd. 7 add. Ahrens 8 Ἀμυκλαίου om. K addidi 9 τὸ πρ. εὐρ. U: τοῦ πρ. εὐρ. E(G): τοῦ εὐρ. πρ. K 12 φημὶ caute proposui: οὐ cod. 13 ὡς Ziegler: εἰς cod. 14 fort. λευκοί, v. sch. b 16 l. ἀστρ. τευ UEA 17 καὶ ὀρθ. GPT: ἀντὶ τοῦ ὀρθ. cett. καὶ λ. UEA: ἢ λ. cett. post λευκοί G inseruit sch. c 18 τῶν κυβ. om. GPT 20 στρυχνός cod., corr. Ziegler 22 l. τρύχνα UEA

UEAT c. εἰπεῖν: ἀντὶ τοῦ· ἀγνοῶ, εἰ μὴ ἄρα ἀμείλικτον αὐτὸν ἔχεις, ὡς μηδὲ εἰπεῖν τινα ἀξίως.

K 38—40 a. Βοῦκος: ὁ Βουκαῖος, ὄνομα κύριον· παρὰ δὲ Νικάνδρῳ (Ther. 5) ὁ βουκόλος. ὄντως δὴ καλὰς συντιθεὶς ἀοιδὰς ἐλάνθανες ἡμᾶς, ὦ Βουκαῖε· ὡς γὰρ ἄριστα τοῦ κάλλους ἐστοχάσω τῆς ἐρωμένης. τὸ γὰρ ἁρμονίας τοῦτο σημαίνει, τῆς ἐρωμένης· τῆς ἡρμοσμένης, ὅ ἐστι φιλουμένης, οὗ τὸ ἐναντίον ἀνάρσιον.

UEABPT b. ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει Βοῦκος ἀοιδάς: τοῦτο ὁ Μίλων εἰρωνευόμενος ἐν ἤθει φησί. συγκέκοφε δὲ τὸ ὄνομα, τὸν Βουκαῖον Βοῦκον εἰπὼν ὑποκοριστικῶς.

K c. ὡς εὖ τὰν ἰδέαν: ταῦτα λέγων ὑβρίζει αὐτόν, ὡς φανερὸν ἐκ τῆς ἐπαγωγῆς· οἴμοι τοῦ πώγωνος. γυμνότερον γὰρ αὐτὸν ἐλοιδόρησε, παρόσον ἐργάτης ὢν οὐ δεόντως ἐρᾷ. τοὺς δ' εὐήθεις σκώπτουσι μάλιστα ἐκ τῶν γενείων.

BPT d. ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν: καὶ τοῦτο κατ' εἰρωνείαν· ὡς εὖ τὸ τῆς ἁρμονίας εἶδος ἐρρύθμισεν ὁ βουκαῖος.

$L^{E}U^{E}E^{E}BP^{E}$ [e.] ἱκανῶς τὴν τραγῳδίαν ἐποίησε καὶ ἀρίστως αὐτὴν ἥρμοσεν.

$UEAPT^{1,2}$ f. τῶ πώγωνος: τὸ τῆς εἰρωνείας ἐξέφηνεν ὁ Μίλων καταγελῶν αὐτοῦ, ἐπειδὴ ἐρωτικὸν ᾄδει ἐργάτης ὤν.

UEAPT 41/42 a. θᾶσαι δή: ὁ λόγος ἐκ τοῦ βουκαίου. δυνατὸν δὲ καὶ τὸν ἕτερον ταῦτα λέγειν.

G [b.] θᾶσαι δή: καὶ ἄκουσον. καὶ ἔστι τὸ σχῆμα αἴσθησις ἀντὶ αἰσθήσεως.

---

1 ἀμείλικτον Duebner: ἀμίλητον Call.: ἀμίλητον T: ἀμίμητον cett. 9 l. ἄμμι UEA 10 τὸ δὲ βουκαῖος ὑποκ. ὁ βοῦκος, συγκ. τὸ ὄνομα UEA 12 ἑαυτόν cod. 20 συνήρμοσε G L add. ἢ ἄριστα τοῦ κάλλους ἐστοχάσατο τῆς ἐρωμένης e scholio a 22 ὅτι PT^{2} 23 l. om. UEPT δυνατὸν δὲ λέγειν ταῦτα καὶ τὸν βουκαῖον ceteris omissis PT 25 ἄκουσον P^{E}

c. ὁ δὲ *Λιτυέρσας* ἦν *Μίδου νόθος παῖς, γεωργὸς δὲ ὢν* UEA
τοὺς παριόντας θερίζειν ἠνάγκαζε καὶ κατὰ τὴν ἑσπέραν συν-
απέτεμε τοῖς δράγμασιν αὐτῶν τὰς κεφαλάς. ὃν ὁ Ἡρακλῆς
ὕστερον ἔκτεινε. d. *τοῦτον δέ φησιν Ἀπολλόδωρος* (fgm. 37 UEAT
Mueller *Fgm. hist. gr. I 434*) *ᾠδὴν εἶναι θεριστῶν λέγων*
οὕτω· 'καθάπερ ἐν μὲν θρήνοις Ἰάλεμος, ἐν δὲ ὕμνοις Ἴουλος,
ἀφ' ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν
ᾠδὴ Λιτυέρσας.'

e. *θέασαι, φησί, καὶ ταύτην μου τὴν τραγῳδίαν, ἣν* UEABPT
περὶ τοῦ Λιτυέρσου μέλλω ᾄσαι. οὗτος δὲ ὁ Λιτυέρσης οἰκῶν
Κελαινὰς τῆς Φρυγίας τοὺς παριόντας τῶν ξένων εὐωχῶν
ἠνάγκαζε μετ' αὐτοῦ θερίζειν. εἶτα ἑσπέρας ἀποκόπτων τὰς
κεφαλὰς αὐτῶν τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν
ᾔδεν. Ἡρακλῆς δὲ ἀναιρήσας αὐτὸν κατὰ τὸν Μαίανδρον
ποταμὸν ἔρριψεν, ὅθεν καὶ νῦν οἱ θερισταὶ κατὰ Φρυγίαν
ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες ὡς ἄριστον θεριστήν.

f. *εἶτα ἑξῆς ᾄδων ὁ Βάττος τὴν τοῦ Λιτυέρσου ᾠδήν* UEAT
φησι· 'Ἄματερ πολύκαρπε.'

g. *Ἄματερ πολύκαρπε: αὕτη ἐστὶν ἡ τοῦ Λιτυέρσου* PT
ᾠδή, τὸ Ἄματερ πολύκαρπε.

44a. *σφίγγετ' ἀμαλοδέται: ἀπέστρεψε τὸν λόγον ἅσας.* K
ἀμαλοδέται δὲ οἱ τὰς ἀμάλας συνδέοντες. ἀμάλη δὲ συν-

---

1 Sosithei fgm. 2 Nauck *Trag. gr. fgm.*^{2} *821 sqq.* 6 Eust. 1164, 10: *πολλαὶ ᾠδαὶ ἦσαν, οἷον ἴουλος ἡ τῶν ταλασιουργῶν ἢ ἐριουργῶν καὶ λιτυέρσης ἡ τῶν θεριστῶν, ὡς ἔστι καὶ παρὰ Θεοκρίτῳ εὑρεῖν.* 10 Hesych. Phot. Suid. *Λιτ.* 22 Hesych. Suid. *ἀμαλλοδ.* sch. B Σ 553 Apoll. Lex. Hom. 29, 4 Bekk. Eust. 1162, 25 Et. Gen. (Reitzenstein *Gesch. d. gr. Etym. 13, 8*) Et. M. 76, 44

---

1 *Λιτυέρσας* passim scripsi: *Λυτι-* codd. *ἦν Μίδου* Adert: *κώμιδος* codd. 2 *παριόντας* Duebner: *παρόντας* codd. 9 *μου* om. **GPT** *ἦν περὶ τοῦ Λ.* **UEA**: *τοῦ Λ. ἦν* cett. 10 *ὤκει* G(P)T 11 post *Φρυγίας* add. *υἱὸς τυγχάνων νόθος τοῦ Μίδου, γεωργὸς δὲ ὤν* **GPT** e sch. c 12 *ἀποτέμνων* **GPT** 14 *Ἡρ. δὲ ὕστερον τοῦτον ἀποκτείνας ἔρριψεν εἰς τὸν Μ. ποταμόν* **GPT** 16 in fine add. *τοῦτον δὲ καὶ Ἀπολλόδωρός φησι* **GP** e sch. d 22 *δὲ* scripsi: *ὡς* cod. ⟨*ἀμαλοδετῆρες*⟩ post *ὡς* add. Ziegler

ἑστηκεν ἐκ δραγμάτων ρ΄ ἢ καὶ σ΄, δράγματα δέ εἰσιν ὅσα ὁ θερίζων λαμβάνει ἐν τῇ ἀριστερᾷ χειρί, παρὰ τὸ δράττειν.

UEABPT b. *σφίγγετ᾽ ἀμαλοδέται: ἀπέστρεψε τὸν λόγον πρὸς τοὺς ἑπομένους καὶ τὰ θεριζόμενα συνδεσμοῦντας. δράγματα δέ ἐστι τὰ πληροῦντα τῶν σταχύων τὴν ἀριστεράν· ἔνθεν καὶ δραχμή, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι.*

U^{E} c. *ἀμαλοδέτης ὁ τὰς ἀμάλας δεσμῶν ἤγουν τὰ κοινῶς δεμάτια.*

K 45 a. *σύκινοι: παρειμένοι, ἀσθενεῖς· τοιοῦτον γὰρ τὸ ξύλον τῆς συκῆς, ἄγονον ὡς ἐντεριώνην ἔχον.*

UEA b. *σύκινοι ἄνδρες: ἀσθενεῖς, ἀχρεῖοι ὡς καὶ τὸ τῆς συκῆς ξύλον.*

BPT c. *μὴ παριών τις εἴποι· σύκινοι ἄνδρες: σύκινοι οἱ ἀσθενεῖς καὶ ἀχρεῖοι, ὅτι τὸ τῆς συκῆς ξύλον ἀσθενὲς καὶ ἀδύνατον. ὅθεν καὶ συκίνη ἐπικουρία ἡ ἀσθενής.*

P d. *ἀπώλετο χοὗτος ὁ μισθός: ἤγουν, δι᾽ ὃν νῦν ἐργάζονται.*

L^{E}U^{E}E^{E} e. *⟨ὁ μισθός:⟩ ὁ δοθησόμενος ὑμῖν.*

K 46/47 a. *ἃ τομά: φησὶ δεῖν ἀπεστραμμένην τοῦ ἀνέμου κεῖσθαι ὑπὲρ τοῦ μὴ διατινάσσεσθαι καὶ ἐπὶ πλέον αὔξεσθαι· οὕτω γὰρ ἂν λιπαρὸς διαμένοι ὁ καρπός.*

UEABPT b. *ἃ τομά: παρατετηρημένως λέγει τοὺς τὰς ἀμάλας θημονοθετοῦντας οὕτω τιθέναι ὥστε τοὺς στάχυας ἐμπνεῖσθαι ὑπὸ τοῦ ζεφύρου ἢ βορέου· τὸν γὰρ κόκκον ἐνδοτέρω ὄντα οὕτω συμβαίνει πιαίνεσθαι ἐμπνεόμενον.*

---

1 Hesych. *δράγμα· ὅσον περιλαμβάνει τῇ ἀριστερᾷ χειρὶ ὁ θερίζων.* id. *δράγματα* sch. VII 157 b cum loc. sim. Eust. 832, 15; 1162, 24; 136, 10; 421, 26 Et. M. 613, 16 (cf. Gen.) Et. Gud. 151, 58 Sturz 9 Hesych. Phot. Suid. *σύκινον* sch. Ar. Plut. 946 Et. M. 733, 11 15 Macar. VII 82

---

3 *σφίγγετ᾽* om. **UEA** 5 *τὰ* om. **UEA** 6 *ἡ δραχμὴ* **U(E)A** 15 verba *ὅθεν — ἀσθενής* a **PT** omissa in **G** post *ἀχρεῖοι* leguntur; transposui Callierge praeeunte 16 *δι᾽ ὃν* Ahrens: *διὸ* cod. 19 *ἀπεστερημένον* (sic) cod., corr. Wilamowitz 23 *θημοθετοῦντας* **UEA** 25 *συμβαίνει* om. **UEA**

c. κόρθυος: τοῦ ἐκ τῶν ἀμαλῶν συγκειμένου θημῶνος. PT

d. τᾶς κόρθυος: τοῦ σωροῦ τοῦ σίτου. ὅταν γὰρ τὰ δράγματα δεθῇ, τοὺς στάχυας σωρεύουσι πρὸς ἀλλήλους νενευκότας, τὰ δὲ κῶλα αὐτῶν, ἃ τινες αὐλοὺς καλοῦσιν, ἔξω τετραμμένα ἐῶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ σῖτος ῥιπιζόμενος συμπίπτῃ τε καὶ ἄβροχος καὶ ἄσηπτος διαμείνῃ. UEAGPT

e. ἢ ζέφυρον: ἡ σύνταξις οὕτως· ἡ τομὴ ὑμῖν τῆς κόρθυος βλεπέτω ἐς βορέαν ἄνεμον ἢ ἐς ζέφυρον. G

48—51 a. σῖτον ἀλοιῶντας: ἑτέρα παραίνεσις· δεῖ τοὺς μὲν ἀλοῶντας μεσημβρίας ἀλοᾶν διὰ τὸ ἐπιτήδειον εἶναι τὸν καιρόν· τοὺς δὲ ἀμῶντας ἄρτι λευκαινομένης τῆς ἠοῦς ἄρχεσθαι τοῦ ἀμητοῦ, λήγειν δὲ ἐπισκιαζομένης ἤδη τῆς γῆς ἐκκλίνοντας τὸ καῦμα, τουτέστι τὸ μέσον τῆς ἡμέρας ἠρεμοῦντας. KUEAGPT

b. τὸ μεσημβρινόν: ἀντὶ τοῦ μὴ ἐν μεσημβρίᾳ καθεύδειν ἀλλ' ἐνεργεῖν. ἐπιτήδειος γάρ ἐστιν ὁ καιρὸς πρὸς τὸ ἀλοᾶν· φρύγοντος γὰρ τοῦ ἡλίου τὴν καλάμην τὸ ἄχυρον συμβαίνει λεπτότερον γίνεσθαι. UEAGPT

c. οἱ ἐν ἅλωνι συντρίβοντες τὸν σῖτον φεύγουσι τὸν ὕπνον. $L^{E}U^{E}E^{E}$

d. καλάμη τὸ κατωτέρω τοῦ στάχυος, ὅσον τε σὺν τῷ στάχυϊ τέμνεται καὶ ὅσον ἐν τῇ γῇ ἄτμητον ἀπολιμπάνεται. GPT

e. ἄρχεσθαι δ' ἀμῶντας: οὐκ ἀσκόπως· ὁ γὰρ κορυδαλλὸς περὶ τὸ λυκόφως ἐξέρχεται εἰς τὰς νομάς, ὅτε καὶ τοῖς θερισταῖς προϊέναι συμβουλεύει. τότε συμβαίνει τοὺς ἀστάχυας ἀπὸ τῆς δρόσου τηρεῖσθαι. K

---

2 τῆς (sic) σωροῦ τοῦ σίτου. ὅταν γὰρ UEA: κόρθυν τὸν σωρὸν λέγει. ὅταν δὲ cett. 3 νενευκ. UEA: ἔσωθεν GP: νενευκ. ἔσωθεν T 5 τετραμμένα Ahrens: τετραμμένους UEA: ἑστραμμένα cett. ἐῶσιν om. UEA 6 συμπίπτηται (emend. Wilamowitz) UEA: πιαίνηται cett. καὶ ἄβροχος seqq. om. GP 7 ἡμῖν cod. 9 ἐτ. παρ. om. UEAGPT 10 μὲν om. K διὰ—καιρόν om. GPT 12 ἐπισκιαζούσης K 13 ἐλιννύειν δὲ τὸ καῦμα GPT ἠρεμοῦντας scripsi: ἠρεμεῖν codd. 15 ἀντὶ—ἐνεργεῖν om. GPT 16 ἐπιτηδειότατος—ὁ μεσημβρινὸς καιρὸς—φλέγοντος γ. τ. ἡλίου τηνικαῦτα τὴν κ. GPT

UEA f. κορυδαλλῶ: ὁ γὰρ κορυδαλλὸς κατὰ τὸ ἀμφίλυκον ἵπταται ἐπὶ τὰς νομάς.

KUEAGPT g. ὁ κορυδαλλὸς καὶ πρῶτος τῶν ὀρνέων εἰς τὰς νομὰς ἔρχεται καὶ τελευταῖος ἐπὶ κοίτην ἔπεισιν.

$L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}$ h. ⟨καὶ λήγειν εὕδοντος:⟩ εὕδοντος τοῦ κορυδαλλοῦ ἀναπαύσασθαι.

K 52/53 a. εὐκτός: ζηλώσατε, φησίν, ὦ γεωργοί, τὸν τοῦ βατράχου βίον καὶ ἀφθονίαν ἑαυτοῖς καρπῶν περιποιήσασθε, ὅσην ἔχει ἐκεῖνος ἀφθονίαν τῶν ὑδάτων.

UEAGPT b. εὐκτὸς ὁ τῷ βατράχῳ, παῖδες, βίος: μακάριος. ἐπισκώπτει δὲ τὸν ἐργοδότην ὡς μὴ παρεχόμενον αὐτάρκη.

K 54/55 a. κάλλιον ὠπιμελητά: πρὸς τὸν Βουκαῖον ταῦτά φησιν ὅτι, ὦ πλούσιε καὶ φιλάργυρε, καλὸν ἂν εἴη συνήθη ἐργάτην σε ὄντα καὶ γεωργὸν φακὸν ἔψειν καὶ τούτῳ τρέφεσθαι, μὴ τρίβειν δὲ κύμινον, ὃ δεῖγμα τρυφῆς ἐστι, μήπως δι' ἀπειρίαν τὴν χεῖρα πληγῇς.

UEAT b. ὠπιμελητά: ὁ λόγος πρὸς τὸν ἐπιστάτην τῶν θεριστῶν ὀλίγην τροφὴν αὐτοῖς παρεχόμενον.

GPT c. κάλλιον ὦ 'πιμελητά: τὸ ὦ 'πιμελητὰ ἀντὶ τοῦ ὦ ἐργοδότα, ὃν δὴ ἐργοδότην φιλάργυρόν φησι.

KUEAGPT d. καταπρίων τὸ κύμινον: τοῦτο παρ' ὑπόνοιαν — ἔδει γὰρ εἰπεῖν τὸ κρέας —, καθὸ εἰώθασι τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας λέγειν.

---

23 Arist. Eth. Nic. 4, 3, 1121 b 21 Poll. III 115 sch. Ar. Vesp. 1348

---

2 ἐπὶ τὰς νομάς Piccolos: ἐπὶ νομῇ Duebner: ἐν νομῇ Adert: ἐν διανομῇ codd. 3 τῶν ὀρνέων om. K εἰς K: ἐπὶ cett. 4 ἔρχ. K: καθίπταται UEA: ἀφικνεῖται cett. ἐπὶ κοίτην ἔπεισιν K: εἰσέρχεται εἰς τὴν κοίτην UEA: ὑποστρέφει cett. 7 γεωργοί—ἀφθονίαν—καρπῶν K rescr.: γεωπόνοι—ἄφθονον—καρπὸν apographa 10 l. ὁ τῷ β. UEA 11 αὔταρκες ποτὸν παρεχ. GPT 12 βουκαῖον tacite Ziegler: βουκόλον cod. 14 τούτῳ τρέφεσθαι Ahrens (ap. Ziegl.): τοῦτον τρίψασθαι cod. 19 τὸ ἐπιμ. codd., corr. Ahrens 21 l.: καταπρίων K: τὸ κύμινον UEA. omisso lemmate GPT exhibent: τὸ δὲ τὸν φακὸν ἔψειν παρ' ὑπόνοιαν κτλ. 22 lac. post κρέας indicari Ziegler vult καθὸ seqq. desunt in GP καθὰ εἰώθαμεν—καλεῖν UEAT

56—58 a. ταῦτα χρή: ὁ λόγος ἐκ τοῦ Μίλωνος, τινὲς δέ φασιν ὑπὸ τοῦ Βουκαίου λέγεσθαι τοὺς στίχους. ἔδει σε, φησίν, ὦ Βουκαῖε, μνημονεύοντα τοῦ θείου Λιτυέρσου ἐπ' ἔργον τὸν νοῦν ἔχειν καὶ μὴ πρὸς ἔρωτα. K

b. μοχθεῦντας: ἤγουν ἐνδέχεται τοὺς θερίζοντας τοῦ θερισμοῦ φροντίζειν καὶ μὴ τοῦ ἔρωτος. ὁ λόγος ἐκ τοῦ Μίλωνος, οἱ δὲ καὶ τοῖς ἐπάνω ταῦτα συνάπτουσι. UEAT

c. ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ: τινὲς ἐκ τοῦ Μίλωνος λέγουσιν εἶναι τὸν λόγον ἀπὸ τοῦ ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει βοῦκος ἀοιδὰς (v. 38) μέχρι τέλους τοῦ εἰδυλλίου. τινὲς δὲ λέγουσιν, ὅτι ἐκ τοῦ Μίλωνός ἐστιν ὁ λόγος τὸ ἦ καλὰς ἄμμε ποῶν μέχρις ὥμοι τῶ πώγωνος, ὃν ἁλιθίως ἀνέφυσα (v. 40)· τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ θᾶσαι δὴ καὶ ταῦτα ⟨τὰ⟩ τῶ θείω Λυτιέρσα (v. 41), λέγουσι λέγειν τὸν Βάττον μέχρι τοῦ μή τι τάμῃς τὴν χεῖρα καταπρίων τὸ κύμινον (v. 55)· τὸ δὲ ἑξῆς ὡς ἀπὸ τοῦ Μίλωνος, ἤγουν τὸ ταῦτα χρὴ μοχθεῦντας καὶ τοὺς μετὰ ταῦτα δύο στίχους. GPT

d. φιλέργῳ, φησίν, ἀνδρὶ ταῦτα πρεπωδέστατον λέγειν. τὸν δὲ σὸν ἔρωτα, ὦ Βουκαῖε, διηγοῦ σῇ μητρὶ ἐν τῷ θαλάμῳ ἀντ' ἄλλου σπουδαίου. K

e. λιμηρὸν ἔρωτα: πτωχόν. περὶ τοῦ ἔρωτός σου, ὦ Βουκαῖε, καθῆκόν ἐστι τῇ μητρί σου λέγειν ἐν κοίτῃ κατὰ τὸν ὄρθρον κειμένῃ ἢ ἀνισταμένῃ ὄρθρου, μὴ νῦν ἐμοί. KGPT

---

2 *βουκόλου* cod., correxi 4 *ἔρωτα* tacite Ziegler: *ἔρωτας* cod. 12 *ποιῶν* GP 14 suppl. Call. 19 *πρεπωδέστατα* Ziegler 22 *πτωχόν* hoc loco om. GPT addentes in fine *τὸ δὲ λιμηρὸν ἀντὶ τοῦ πτωχόν* *τοὺς ἔρωτας* K 23 *Βουκαῖε* K: *Βάττε* cett. *προσῆκον* GPT *κατὰ—κειμένῃ* om. K

XI. *Κύκλωψ*

LUEAP [*Ἐκ παιγνίων λάμβανε διδασκαλίαν*
λόγον στορεστὴν τυγχάνειν παθημάτων.]

LUEAT a. *Ὑπόκειται Πολύφημος ὁ Κύκλωψ ἐρῶν τῆς Γαλατείας καὶ παρηγορῶν τὸν ἐπὶ τῇ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς.*

KLUEAT b. *προσδιαλέγεται δὲ ὁ Θεόκριτος Νικίᾳ τινὶ ἰατρῷ Μιλησίῳ τὸ γένος, οὗ καὶ ποιημάτιον φέρεται ἀντιγεγραμμένον*

KLUEAQPT c. [*ὑπὸ*] *πρὸς Θεοκρίτου Κύκλωπα, οὗ ἡ ἀρχή·*

'ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ Ἔρωτες
ποιητὰς πολλοὺς ἐδίδαξαν τὸ πρὶν ἀμούσους.'

ἔγραψε δὲ καὶ ἐπιγράμματα ὁ αὐτός. γέγονε δὲ συμφοιτητὴς Ἐρασιστράτου τοῦ Ἰουλιήτου, ὥς φησι Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ τῶν ἰατρῶν ἀναγραφῇ.

QPT d. *ὑπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ τῇ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς. προσδιαλέγεται δὲ ὁ Θεόκριτος*

---

9 Plut. Quaest. conv. I 5, 1, 622 c

Tit.: *K.* arg. c, XIII a: *K. καὶ Γαλάτεια* **KLUET**: *K. ἢ Γ.* **GP**: om. **A** 4 *Πολ. ὁ Κύκλ.* Valckenaer: *ὁ Πολ. Κύκλ.* **LUEA**: *ὁ Κύκλ.* **T** verba *ἐρῶν—καὶ* eici vult Ahrens 5 *παρηγορῶν* recepi Ahrensio auctore ex arg. d: *ποιῶν* codd: *ποιμαίνων* Meineke 6 *δὲ ὁ* om. **K** 7 *τὸ γένος οὗ καὶ* om. **LUEAT** *ποίημά τι* **K** *φέρεται—Κύκλωπα* om. **K** 8 *ὑπὸ Θ. πρὸς* codd., corr. Meineke 9 *γὰρ* post *ἦν* add. omnes praeter **K** *Θεόκριτος* Ad. Th. Arm. Fritzsche *De poet. gr. buc., Diss. phil. Giss. 1844, 4,* *καὶ* pro *οἱ* Bentley *Opusc. phil. 470* 10 *πολλοὺς ποιητὰς* **K**, *πολλάκι ποιητὰς* Call. *τὸ* Dilthey *Coni. crit. in Anth. gr., Ind. schol. Gott. 1891/92, 14*: *τοὺς* codd. 11 *ἔγραψε* **K**: *γέγραφε* cett. *καὶ* om. **K** *ἐπιγράμματα* **KE**: *ἐπιγραμμάτιον* cett. *ὁ αὐτός* Buecheler *Rhein. Mus. N. F. 39, 1884, 275*: *ἑαυτοῦ* **K**: *ἐπ' αὐτοῦ* Gercke *ib. 42, 1887, 602*: om. cett. una cum verbis *γέγ. δὲ συμφ.* 12 *τοῦ Ἰουλιήτου* Buecheler: *τοῦ ποιητοῦ* **K**: *ἰατροῦ Μιλησίου* cett. *ἢ* ante *ὥς* add. **K** *ὁ Ἐφ.* om. **K** 13 *ἀγρῶν* **K** *ἀναγραφῇ* **K**: *ἀνατροφῇ* cett.

ἰατρῷ Νικίᾳ Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου ἰατροῦ ὄντος καὶ αὐτοῦ. μέμνηται δὲ τοῦ Νικίου καὶ ἀλλαχοῦ (XIII 2; XXVIII) *ὁ Θεόκριτος.*

1—3 a. *οὐδὲν ποττὸν ἔρωτα: οὐκ ἔστι* ⟨*πρὸς*⟩ *τὰ τοῦ* K
ἔρωτος ἄλγη οὔτε ἔγχριστον φάρμακον οὔτε ἐπίπαστον εἰ μὴ αἱ Μοῦσαι. ταύταις καὶ ὁ Κύκλωψ τὸν εἰς τὴν Γαλάτειαν ἔρωτα παρηγόρει.

b. *οὐδὲν ἔρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι εἰ μὴ* L[r]UEAGPT
ἡ παιδεία καὶ αἱ Μοῦσαι. ταύταις γὰρ ὁ Κύκλωψ πρὸς διαγωγὴν τοῦ ἔρωτος τῆς Γαλατείας ἐχρῆτο. καὶ Φιλόξενος (fgm. 7 Bergk *Poet. lyr. gr. III*[4] *611*) *τὸν Κύκλωπα ποιεῖ παραμυθούμενον ἑαυτὸν ἐπὶ τῷ τῆς Γαλατείας ἔρωτι καὶ ἐντελλόμενον τοῖς δελφῖσιν, ὅπως ἀπαγγείλωσιν αὐτῇ, ὅτι ταῖς Μούσαις τὸν ἔρωτα ἀκεῖται. καὶ Καλλίμαχος* (Epigr. 46, 1. 3 = Anth. Pal. XII 150, 1. 3)·

> *ὡς ἀγαθὸς Πολύφαμος ἀνεύρατο τὰν ἀοιδάν,*
> *αἱ Μοῦσαι τὸν ἔρωτα κατίσχανον.*

3/4 a. *τὸ διὰ μούσης καὶ ᾠδῶν ἄγειν τὸν ἔρωτα κοῦφόν* L[r]U[r]EAP
τέ ἐστι καὶ ἡδύ· τὸ δὲ περιγενέσθαι σοφίας οὐ ῥᾴδιον.

b. *κοῦφον δέ τι: τὸ κατὰ φιλοσοφίαν ἐρᾶν κουφό-* KUEAGPT
τητα παρέχει τῷ πάθει.

c. *ἤγουν· ⟨οὐ⟩ συντόμως γίνεται ἡ σοφία καὶ [σύν-* UEAGPT
τομον] τὸ μουσικὸν εἶναί τινα.

d. *εὑρεῖν δ' οὐ ῥᾴδιον: τὴν σοφίαν λέγει, ὅτι οὐκ* KUEAGPT
ἔστιν εὐχερὲς περιγενέσθαι παιδείας.

---

4 supplevi 5 *ἔγχριστον φάρμακον — ἐπίπαστον* scripsi: *-ῳ -ῳ -ῳ* cod. Ziegler lacunam post *ἐπιπάστῳ* indicare maluit 13 *αὐτῇ* Reiske: *αὐτῷ* **UEA**: *αὐτοῦ* **L**: *αὐτὸν* cett. 14 *ἀνακεῖται* **GP** 16 *ἀγαθὰν—ἐπαοιδάν* Anth. 17 *κατίσχανον* Brub.: *κατίχανον* codd. Theocr.: *κατισχναίνοντι* Anth. 20 *ἐρᾶν* **K**: *τῷ ἔρωτι* cett. *κουφότητα* Duebner: *κουφότατον* codd. 21 *τὸ πάθος* Call. 22 addidi, cf. sch. d ⟨*περι*⟩*γίνεται* scil. *τοῦ πάθους* Ahrens del. Ahrens 24 *φιλοσοφίαν* **T** 25 *εὐχερῶς* **K** *περιγενέσθαι* **KT**: *περιγίνεσθαι* cett. *παιδείας* **K**: *σοφίας* **UEAGP**: *φιλοσοφίας* **T**

U^r e. *εὔκολόν ἐστι, φησί, τὸ δι' ᾠδῆς θεραπεῦσαι τὸν ἔρωτα· εὑρεῖν ⟨δέ⟩ τινα ἔχοντα μοῦσαν καὶ ᾠδήν, ἤγουν σοφίαν, ⟨οὐ⟩ ῥᾴδιον.*

$L^5U^5E^5P^m$ f. *χωρὶς παιδείας οὐ κατορθοῦται.*

K 7 a. *οὕτω γοῦν ῥᾴϊστα: τοῦτον, φησί, τὸν τρόπον καὶ ὁ παρ' ἡμῖν Κύκλωψ καθ' ἑαυτὸν ᾄδων ἐπεκουφίζετο πολὺ τοῦ ἔρωτος τῆς Γαλατείας.*

UEAGPT b. *οὕτω γοῦν ῥᾴϊστα: ῥᾷον γὰρ διῆγε καὶ ὁ παρ' ἡμῖν Κύκλωψ διὰ τῶν ᾠδῶν. τὸ δὲ παρ' ἡμῖν ἐπὶ τῆς Σικελίας φέρει, καθὸ καὶ Συρακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι καὶ ἡ πλάνη τοῦ Ὀδυσσέως περὶ Σικελίαν που γέγονε.*

K^5 c. *⟨διᾶγ':⟩ ἔφερε καὶ ὑπέμεινε.*

K 10/11 a. *ἤρατο δ' οὐ μάλοις: οὐκ ἤρατο ὥστε μῆλα διδόναι ἢ ῥόδα ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν, ἀλλὰ μανίαις εἰς ἔκστασιν φερούσαις.*

KUEAGPT b. *ἤρατο δ' οὐ μάλοις: ἠράσθη δὲ οὐκ ἐλαφρῶς καὶ [τῶν] κατὰ μέρος αὐτῆς, ⟨οὔτε κικίννων⟩ οὔτε ῥόδων οὔτε μήλων· μήλων μὲν τῶν ἐπὶ τῆς ὄψεως, ῥόδων δὲ τῆς γυναικείας ἥβης, ὅτι τὸ γυναικεῖον μόριον καὶ ῥόδον καὶ ῥοδωνιάν φασιν, ὡς Κρατῖνος ἐν Νεμέσει* (fgm. 109 Kock *Com. att. fgm. I 48*)·

K c. *'ὡς γ' ἐσθίων τοῖς σιτίοισιν ἥδομαι,*
ἅπαντα δ' εἶναί ⟨μοι⟩ δοκεῖ ῥοδωνιά
καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια'·

---

19 Hesych. *ῥόδον. ῥοδωνιά*

---

2 supplevi 5 *ῥᾴϊστα* Ziegler: *οὐκέστι* cod. 6 *ἐπεκούφιζε* cod., mutavi 8 *ῥᾷον* scripsi Ahrensio auctore: *ῥᾴδιον* codd. 16 l. et *δὲ* om. **K** *τῶν* ante *κατὰ* delevi, *τῶν* ante *ἐπὶ* deest in **UEAGPT** 17 supplevi 19 **K** verba *ὅτι – φασιν* una cum verbis *Κρατῖνος* et *Νεμέσιον* (sic) et *καὶ ῥοδιὰν καὶ μῆλα καὶ σέλινα καὶ σίσυμβρα* (sic) e scholiis b et c iteratis ante sch. a praebet, unde huc traxi *ὅτι τὸ γυν. μόρ. καὶ ῥόδον καὶ ῥοδιάν φησι* (corr. Ziegler) **K**: *παρόσον καὶ ῥοδωνιὰν αὐτὴν ἔσθ' ὅτε λέγει* (*λέγουσιν* Hemsterhuys) cett. 21 *ὡς γ'* scripsi: *ὡς γοῦν* **K**: *ὥστ' οὖν* **Apogr. Barb.** *σιτίοισιν* Meineke *Fgm. com. gr. II 83*: *σιτίοις* cod. 22 *μοι*, quod Heinsius (354) supplevit, fuisse videtur in libro, ubi nunc legi nihil potest

d. *κικίννων δὲ τῆς κόμης, ὡς καὶ ὁ κωμικός* (Ar. fgm. 218 KUEA *ib. I 447*)·

'λεῖος ὥσπερ ἔγχελυς
χρυσοῦς ἔχων κικίννους'.

e. *ἀλλ' ὀρθαῖς: ὀρθὸν πρᾶγμα τὸ ἀληθές φησι· γενι-* K
κῶς. ὡς γὰρ ἠράσθη εἰς ἄκρον μανίας ἐλιλακώς, οὐ κατὰ μέρος, φησίν, ἤρατο ⟨τῶν⟩ περὶ τὸ πρόσωπον καλῶν μήλων, ἀλλ' οὐδὲ τοῦ ῥόδου· οὕτω γὰρ καλεῖται τὸ μόριον τῆς γυναικός.

f. *ἀλλ' ὁλοαῖς μανίαις: ἤγουν εἰς ἄκρον μανίας* $L^{E}U^{E}E^{E}GP^{m}$ *[ἐνόμιζε], τουτέστι γενικῶς ἐπεμάνη αὐτῆς. ἢ ⟨ὀρθαῖς:⟩ τεταμέναις ἰσχυραῖς.*

12. *αὐταί: ἀντὶ τοῦ μόναι. Ὅμηρος* (Θ 99)· *'Τυδείδης* K *δ' αὐτός περ ἐών' ἀντὶ τοῦ αὐτόματος καὶ μόνος. Καλλίμαχος* (H. Apoll. 6)· *'αὐτοὶ νῦν κατοχῆες ἀνακλίνασθε θυράων'.*

14. *αὐτοῦ: αὐτόθεν ἐκ τοῦ αἰγιαλοῦ καταλειπόμενος καὶ τὴν Γαλάτειαν ἀείδων κατετήκετο μὲν τῷ ἔρωτι, παρεμυθεῖτο δὲ τῇ ᾠδῇ.*

17. *⟨φάρμακον:⟩ τὴν διὰ τῆς ᾠδῆς παραμυθίαν λέγει.* $L^{E}U^{E}E^{E}P^{m}$

20. *πακτᾶς: ἤγουν τυροῦ πεπηγότος· ὃ οἱ Ἀττικοὶ τρο-* UEAPT *φαλίδα καλοῦσι.*

21 a. *μόσχω γαυροτέρα: γαυροτέρα τοῦ μόσχου, ἢ* $L^{E}U^{E}E^{E}GP^{m}$ *σκιρτῶσα καὶ ἀγαλλομένη πλέον μόσχου ἢ λαγνοτέρα τούτου.*

---

1 κικκιν- utroque loco codd., corr. Duebner *κικκίνοις ταῖς κόμαις* **UEA** 3 *λεῖος* Wilamowitz ex Athen. VII 299 b: *λέγει* **K**: *κέχρηται* cett. 7 *ἤρατο—μήλων* (*μῆλον* typothetae deberi videtur) Ahrens (ap. Ziegl.): *κρατεῖ—μελῶν* cod. supplevi 10 *μανίας* scripsi: *καρδίας* codd.: *⟨ἐκ⟩ καρδίας* Ahrens 11 *ἐνόμιζε* glossam esse ad *ἀγεῖτο* pertinentem et ultimis verbis veram lectionem *ὀρθαῖς* explicari Duebner vidit *ἢ* seqq. post *ἐνόμιζε* leguntur in codd., transp. Wilamowitz *τεταμένως ἰσχυρῶς* **GP** 15 *ἀνακλίνεσθε πυλάων* Callim. 16 *καταλειπόμενος—ἀείδων* Ahrens (ap. Ziegl.): *καταλαμπόμενος—ἰδὼν* cod. 20 *τροφ.* Call.: *προφ.* codd. 22 *γαυρ. τοῦ μόσχου* et *ἢ λαγν. τούτου* om. **LUEP** *ἤγουν σκιρτ.* **LUE**

K b. φιαρωτέρα: λαμπροτέρα, καθαρωτέρα· φιαρὸν γὰρ τὸ λαμπρόν.

c. φιαρωτέρα — γράφεται σφριγανωτέρα — ⟨ὄμφακος ὠμᾶς⟩, ὅ ἐστι νέας παρθένου· ὄμφαξι γὰρ ἀπεικάζουσι τὴν ὥραν.

$L^{E}U^{E}E^{E}A$ d. φιαρωτέρα ὄμφακος ὠμῆς: φιαρὸν τὸ εὐσθενές· ἤγουν λαμπροτέρα ἢ στρυφνοτέρα.

UEAΘPT 24. λύκον πολιὸν ἀντὶ τοῦ λευκόν. οἱ γὰρ λύκοι αἰθαλώδεις τὴν χροιάν· ἐπεὶ οὖν ἐκ μέλανος καὶ λευκοῦ εἰσι τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς. ἢ πολιοὺς ἀντὶ τοῦ παλαιούς.

K 28. οὐδ' ἔτι πα νῦν: οὐ δύναμαι παύσασθαι ἐξ ἐκείνου τοῦ χρόνου, καθ' ὃν εἶδόν σε, οὔτε μετὰ τοῦτο οὔτε μέχρι τοῦ νῦν.

$KL^{E}U^{E}E^{E}AP^{m}$ 31. ὀφρῦς: παρὰ τὸ τοὺς ὤπας φυλάττειν καὶ ῥύεσθαι, ὠπορύς τις οὖσα.

$U^{r}EAT$ 37. οὐ χειμῶνος ἄκρῳ: ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ χειμῶνος, ὥστε ἄκρον ἐνταῦθα ἡ ἀκμὴ τοῦ χειμῶνος. ἢ ἄκρον λέγει τὸ τέλος μὲν τοῦ φθινοπώρου, ἀρχὴν δὲ τοῦ χειμῶνος.

K 38/39 a. τὶν τὸ φίλον γλυκύμαλον: αὐτὴν λέγει τὴν Γαλάτειαν τὴν προσφιλῆ ἑαυτῷ μῆλον χαριέστατον. ὁ δὲ νοῦς· συρίζω δὲ ὡς οὐδεὶς τῶν Κυκλώπων ὁμοῦ σέ τε, ὦ Γαλάτεια, τὸ χαριέστατον ἐμοὶ μῆλον, καὶ ἐμαυτὸν ᾄδων.

---

1 Hesych. Phot. Suid. φιαρόν 8 sch. ABT K 334 Eust. 809, 38 Et. M. 680, 28 15 Melet. (Cram. An. Ox. III 69, 26) Joh. Maur. 165 (Reitzenstein *Gesch. d. gr. Et. 178*) Et. M. 644, 34 (cf. Gen.) Et. Gud. 444, 24. 33 Sturz Et. Or. 117, 6 (Soranus) sch. Opp. Hal. I 258 Eust. 144, 42

---

3 σφιγγανεωτέρα cod., corr. e Call. Ziegler supplevi 6 εὐσθενές E: ἀσθενές cett. 15 παρὰ τὸ τ. ὦπ. ῥ. ὠπορύς τις οὖσα ἢ παρὰ τὸ τ. ὦπ. φυλάττειν καὶ ῥ. K, qui correcturam exempli sui pro altera explicatione habuit: ὀπωρύς τις οὖσα, ἡ τ. ὦπ. ῥυομένη καὶ φυλάσσουσα cett. 17 l. om. UET 21 ἑαυτῷ μῆλον χαριέστατον scripsi: ἑαυτοῦ τοῦ μήλου χαριεστέραν cod.: ἑαυτοῦ ceteris deletis Ziegler

b. *γλυκύμαλον: ναί, φησίν, οὕτω συρίζειν ἐπίσταμαι* UEAQPT *ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν σὲ τὸ προσφιλέστατόν μοι γλυκύμαλον, ἤγουν τὸ γλυκὺ μῆλον.*

c. *γλυκύμηλον δὲ ὡς μελίμηλον· ἔστι γάρ τι μήλου* KUEAQPT *γένος. Σαπφώ* (fgm. 93 Bergk *Poet. lyr. gr. III*[4] *120*)· *'γλυκύμαλον ἐρεύθεται ἄκρῳ ἐπ' ὄσδῳ.'*

41 a. *πάσας ἀμνοφόρως: γράφεται καὶ μαννοφόρους.* K *μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος· μανιάκια ἐχούσας, τουτέστι χρυσᾶ περιτραχήλια.*

b. *ἀμνοφόρως: ἀμνίδας καὶ βρέφη φερούσας. ἢ μαν-* UEAT *νοφόρους. μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον μανιάκιον.*

c. *σκυμνοὺς ὀξυτόνως ἐπὶ ἄρκτων, βαρυτόνως δὲ ἐπὶ* K *λεόντων.*

d. *καὶ σκυμνὼς τέσσαρας: σκυμνοὺς τῇ τάσει ὡς* UEAQP *μωρούς, ὅταν ἐπὶ ἄρκτων ὡς νῦν· ἐπὶ δὲ τῶν λεόντων σκύμνοι κυρίως λέγονται ὡς φίλοι.*

42 a. *ἀφίκευσο: οὕτω Συρακούσιοι τὴν σο πλεονάζουσι* K *συλλαβήν, ἥπερ κάθουσο στεφάνουσο ἀντὶ τοῦ κάθου στεφάνου.*

b. *ἕξεῖς: γράφεται ἕξῃς, ἤτοι· εἰς τὸ μέλλον οὐδὲν* $L^{E}U^{E}E^{E}QP^{m}$ *χεῖρον ἡμῖν γενήσεται.*

43. *τὴν λευκὰν δέ: τὴν θάλασσαν προσρήγνυσθαι τῇ* K

---

4 Diosc. Mat. med. I 115, 3 8 Poll. V 99 13 sch. AT Σ 319 sch. Eur. Hec. 205; Or. 1213. 1385 Jo. Philop. *Περὶ τῶν διαφ. τον.* 16, 25 Egenolff Et. M. 720, 21 Et. Gud. 505, 35 Sturz

---

2 *σὲ* Ahrens: *δὲ* **UEAGP**: om. **T** 4 *μελίμηλον* Geel: *μελίλωτον* codd. *τι* **UEAG**: *τοι* **P**: *τοῦ* **K**: om. **T** 6 *γλυκύμαλον* Call.: *γλυκὺ μᾶλον* **T**: *γλυκὺ μᾶλλον* **GP**: *γλυκύ τι μᾶλον* cett. *ἐρεύθεται* sch. Hermog. *Rhet. gr. VII 983 Walz*: *ἐρεύγεται* codd. Theocr. *ὡς* ante *ἄκρῳ* add. **UEAGPT** *ἐπ' ὄσδῳ* **UEAP**: *ἐπ' οὔδῳ* **T**: *ἐς πόδῳ* **G**: *σποδῷ* **K** 8 *ἐχούσας* scripsi: *ἔχουσαι* cod. Ziegler lac. ante *μανιάκια* statuere praeoptavit 10 l. om. **UE** 15 *καὶ σκυμνὼς* om. **UEP** *σκυμνοὶ* et *μωροί* Ahrens 19 *ἥπερ* in libro legitur post l. scholii 43, transposui 20 *γρ. ἕξῃς* om. **LUEG**

γῇ. τὸ δὲ ὀρεχθεῖν παρὰ τὸ ⟨ὀρέγεσθαι ἤγουν⟩ ἐκτείνεσθαι· Ὅμηρος (Z 466)· 'παιδὸς ὀρέξατο'. γράφεται ἐρεχθεῖν.

45. ῥαδιναί: λεπταὶ καὶ εὔφθαρτοι παρὰ τὸ ῥαίειν· Ὅμηρος (ε 221)· 'εἰ δ' αὖ τις ῥαίῃσι θεῶν'. ἢ ⟨ῥαδινὸν τὸ⟩ εὐάγωγον διὰ τὸ ἐν ἀπαλότητι ⟨ῥᾷον δινεῖσθαι ἤγουν⟩ εὔστρεπτον ⟨εἶναι⟩.

KU^{r}EAT 46. ἔστι μέλας: οὐκ ἀσκόπως· παραδίδωσι γὰρ ὁ Κρατεύας καὶ ἄλλο νλευκόν, οὗ τὸν καρπὸν πινόμενον πρὸς παιδοποιΐαν φησὶ συντελεῖν. τινὲς δέ φασι τρίψαντα τὸν καρπὸν οὕτω διδόναι πιεῖν.

E^{g} [49.] τίς ἀντὶ τούτων κύματα καὶ θάλασσαν θέλει ἑλέσθαι.

K 52. ὑπὸ τεῦς: ὡς ὑπὸ τοῦ ἔρωτος τὴν ψυχὴν ἔφη καίεσθαι.

54—56. ὤμοι ὅτι: ὁ νοῦς οὗτος· φεῦ, ὅτι μὴ ἐτέχθην καὶ ἔφυν ἰχθύς, ὡς ἂν διαδὺς κατεφίλησά σε· καὶ τὴν χεῖρα ἐφίλησα ἄν, εἰ μὴ τὸ στόμα ἤθελες.

U^{r}EAP^{m}T 57 a. μήκων': λέγεται ⟨καὶ⟩ ἡ κεφαλὴ μήκων καὶ ἡ ἀνθοφόρος βοτάνη.

K b. [ἢ μάκων' ἁπαλάν] ⟨πλαταγώνια:⟩ τῆς μήκωνος τὰ φύλλα, ἢ παρὰ τὴν πλατύτητα ἢ παρὰ τὸ πλαταγεῖν, ὅ ἐστι κτυπεῖν· 'χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπε (Ψ 102).' παρατιθέντες γὰρ τῷ ἀντίχειρι οὕτω τὰς τῶν ἐρωμένων ἐτεκμαίροντο ἐκ τοῦ ψόφου φιλίας.

---

1 sch. T Ψ 30 Eust. 1285, 63 4 Apoll. Lex. Hom. 138, 10 Bekker Eust. 1316, 63 sch. rec. ad l. 339, 11 Ahrens 8 Theophr. Hist. plant. IX 18, 5 Diosc. Mat. med. II 179 Plin. Hist. nat. XXIV 78 19 sch. III 29 g cum loc. sim.

---

1 ἐρεχθεῖν cod., corr. Ziegler supplevi ex Eustathio (ὀρέχθεον ἀντὶ τοῦ — ὠρέγοντο ἤτοι ἐξετείνοντο), locum mutilum esse Ziegler animadverterat 4 supplementa locis similibus debeo 7 γὰρ K: δὲ cett. Κρατεύας Reinesius alii: Κρατῖνος codd. 9 τινὲς seqq. om. UEAT μετὰ τὸ τριβῆναι antea post καρπὸν inserentes fort. τριβέντα—δίδοσθαι, δεδόχθαι pro διδόναι Ahrens (ap. Ziegl.) 14 οὕτως cod. 17 supplevi ἡ om. UEAT 19 l. mutavi

c. πλαταγώνια: τὰ τῆς μήκωνος καὶ τὰ τῆς ἀνεμώ- KUEAGPT
νης φύλλα ἀπὸ τοῦ πλατάσσειν, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον καὶ τύπτοντες τῇ ἑτέρᾳ χειρί, ὥστε ψοφεῖν, οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἑταίρων, ἀποπειρώμενοι τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ εὐψόφως ἐπικρουσθείη.

58/59. ἀλλὰ τὰ μέν: ἐν θέρει τὰ κρίνα, ἐν χειμῶνι αἱ KU^{r}EAT
μήκωνες καὶ τὰ πλαταγώνια αὐτῶν, ὥστε οὐκ ἔστιν εὑρεῖν τὰ δύο κατὰ τὴν αὐτὴν ὥραν.

60/61. νεῖν: νήχεσθαι, κολυμβᾶν. ἐάν τις ἐνθάδε πλέων KUEAPT
ἔλθῃ ξένος, κολυμβᾶν μαθήσομαι.

63/64a. ἐξέν θοις Γαλάτεια: τοῦτό φησιν· εἴη ἂν πεί- K
θειν ⟨σε⟩, ὦ Γαλάτεια, ἐξελθοῦσαν ἐπιλαθέσθαι μὲν τῆς θαλάσσης, ἔρωτι δὲ τῷ πρὸς ἐμὲ παρακαθέζεσθαί μοι, ὥσπερ ἐγώ σοι.

b. ⟨λάθοιο:⟩ ἐπιλάθοις εἰσελθεῖν εἰς τὴν θάλασσαν. L^{s}U^{s}

67/68a. ἃ μάτηρ: ἡ Θόωσα. Ὅμηρος (α 71)· 'Θόωσα KL^{s}U^{s}E^{s}
δέ μιν τέκε μήτηρ.'

b. ⟨ἀδικεῖ με:⟩ ὅτι προσελθοῦσα οὐδέποτε χρήσιμόν τι K
περὶ ἐμοῦ διείλεκται.

c. ἃ μάτηρ ἀδικεῖ με: ὅτι οὐ μαστροπεύει μοι. αὕτη UEAGPT
ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθώς φησιν ὁ ποιητής (α 71 sq.).

---

1 τὰ τῆς ante ἀνεμ. om. **K** 2 πλατάσσειν H. Stephanus *Thes. III 356a* e Suida: πλάσσειν codd. Theocr. 3 αὐτὰ Call.: αὐτὸ **UEAGPT**: om. **K** καὶ τύπτοντες—οὕτω **K**: τύπτουσι —καὶ οὕτω cett. 5 ἑταίρων **K**: ἐρωμένων cett. ἀποπειρώμενοι scripsi coll. sch. III 29 d: τεκμαιρόμενοι Duebner: ὥσπερ καὶ ἀπὸ codd. τοῦ τῆς **UEAP**: τῆς τοῦ **G**: ταύτης τῆς **K**: τῆς **T** 6 ἢ pro εἰ **K** εὐψ. **K**: ἀψ. cett. ἐπικρουσθείς **K**, -ήσεται prop. Wilamowitz 8 πλαταγ. **K**: φύλλα cett. ὥστε seqq. om. **UEAT** 10 νεῖν νήχ. κολυμβᾶν **K**: νῦν μὲν ὦ κόρη (κόριον **T**)· νῦν (μὲν add. **PT**) ὦ κόρη cett. 11 ἔλθοι **K** 12 πείθειν Wilamowitz: παθεῖν cod. 13 ⟨σε⟩—ἐξελθοῦσαν scripsi: ἐξελθοῦσα cod. 17 ἡ Θόωσα om. **K** 18 μιν **K**: με cett. τέκε νύμφη Hom. 19 l. addidi 21 με **UEA**

K 70/71 a. φλασῶ: προσποιήσομαι, φησί, κεφαλαλγεῖν, ὡς ἂν λυπηθῇ καὶ αὐτὴ ἡ Γαλάτεια.

U^{r}EAGPT b. φασῶ τὰν κεφαλάν: προφασισθῶ καὶ πρόφασιν ποιήσομαι, φησί, κεφαλαλγεῖν· οὐ γὰρ τοῦ ἔρωτός μου ἡ μήτηρ φροντίζει.

K 72—74 a. ὦ Κύκλωψ: ὥσπερ συστραφεὶς καὶ ἀναστρέψας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως πρὸς ἑαυτὸν διαλέγεται· ποῦ τὰς φρένας, ὦ Κύκλωψ, ἐκπεπετασμένας ἔχων μετέωρος εἶ; ἐὰν ἀπελθὼν ἐπ' ἐργασίαν τραπῆς καὶ τυροβόλους πλέκῃς καὶ τοῖς θρέμμασι τροφὴν συνάξῃς, πολὺ μᾶλλον εἶναι δόξεις νουνεχέστερος.

L^{E}U^{E}E^{E} b. ⟨τὰς φρένας ἐκπεπότασαι:⟩ τῶν φρενῶν ἀπέπτης.

c. ⟨μᾶλλον ἔχοις νοῦν:⟩ εἰς φρόνησιν πλείονα ἔλθοις.

K 75 a. τὰν παρεοῦσαν: ὁ νοῦς· τί πρὸς ἀμηχανίαν τρέπῃ; Ἡσίοδος (fgm. 219 Rzach, ed. a. 1902, 400)· 'νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν [τὰ] ἀνέτοιμα διώκει'. ἡ παροιμία· 'τὸν θέλοντα βοῦν ἔλαυνε.'

UEAGPT b. τὰν παρεοῖσαν ἄμελγε: κατὰ τὴν παροιμίαν· 'τὸν θέλοντα βοῦν ἔλαυνε', ἤγουν τὴν ἀγαπῶσαν φίλει.

K 78 a. κιχλίζοντι: σφόδρα γελῶσι καὶ διαχέονται. τῶν δὲ κατὰ μίμησιν ἡ φωνὴ τοῦ κατ' ἀρχὰς $\bar{\chi}$ τραπέντος εἰς $\bar{\kappa}$.

UEAGPT b. [πολλαὶ συμπαίσδεν με] ⟨κιχλίζοντι:⟩ γελῶσι δὲ πᾶσαι, ἐπὰν ἀκούσωμαι αὐτῶν. ἴσως δὲ καταγελῶσιν αὐτοῦ.

---

16 Mant. prov. III 14 20 Hesych. Phot. Suid. κιχλισμός Bekk. An. gr. 271, 30 Clem. Alex. Paed. II 46 (186, 2 Staehlin) Et. M. 516, 17

---

2 λυπηθείη cod., tacite corr. Ziegler 3 πρόφασιν GP: πρόφατον T: πρόσφατον cett.: προσποίητον Ahrens 4 φησί scripsi: φωνὴν UEAT: φωνεῖν GP: delendum censuit Duebner 6 ἀναστρέψας scripsi, in K discerni non potest nisi ἀ . . . . . ψας: ἀλγήσας apographa 9 ἀπελθὼν Apogr. Barb.: ἐπελθὼν K τραπείης—πλέκοις—δόξῃ cod., corr. Wilamowitz 16 λείπων K, corr. Apogr. Barb. τὰ ante ἀν. deest apud ceteros auctores hunc versum laudantes 22 l. traditum falsum esse Ahrens vidit 23 καταγελῶσιν αὐτοῦ Ahrens: καταγελῶσαι αὐτοῦ UEAGP: καταγελῶμαι αὐταῖς T

79 a. *κἠγών*: *δῆλον ὅτι οὐκ ἀηδής εἰμι, ὅπου γε καὶ* K
κόραι με φιλοῦσιν.

b. *⟨κἠγών τις φαίνομαι εἶναι:⟩ ἤγουν τῶν ἐπισή-* $L^{E}U^{E}E^{E}$
μων εἰμὶ καὶ ὀνομαστῶν.

80 a. *οὕτω τοι Πολύφαμος*: *ὁ λόγος πρὸς τὸν Νικίαν.* K
ἀστείως δὲ τὸ ἐποίμαινεν ἐπὶ τοῦ ποιμένος ἀντὶ τοῦ μετεχειρίζετο.

b. *οὕτω τοι Πολύφαμος*: *πρὸς Νικίαν ὁ λόγος ἐκ* UEAGPT
τοῦ ποιητοῦ, ἤγουν· οὕτως ὁ Πολύφημος, φησί, μετεχειρίζετο τὸν ἔρωτα.

81 a. *μουσίσδων*: *τῇ σοφίᾳ τῶν Μουσῶν ᾄδων.* UEAGP

b. *ῥᾷον δὲ διᾶγεν*: *ῥᾷον δὲ διῆγεν ᾄδων ἢ εἰ χρυσίον* KUEAGPT
εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

c. *χρυσὸν ἔδωκεν*: *ἀντὶ τοῦ εἶχε δοῦναι τῇ Γαλατείᾳ* $E^{E}A$
εἰς τὸ πεῖσαι.

XII. *Ἄϊτης*

a. *Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Ἄϊτης, γέγραπται δὲ* KLUEAGPT
Ἰάδι διαλέκτῳ. ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου πρὸς ἐρώμενον· ὅθεν καὶ τὸ ἐπίγραμμα Ἄϊτης, ἐπειδὴ τοὺς ἐρωμέ-

---

19 Et. M. 43, 1 (cf. Gen.): *ἄϊτης ὁ ἐρώμενος παρὰ τὸ ἄειν, ὅ ἐστι πνέειν· ὁ εἰσπνέων τὸν ἔρωτα τῷ ἐραστῇ· φασὶ γὰρ γίνεσθαι τὸν ἵμερτα ἐκ τοῦ εἰσπνεῖσθαι ἐκ τῆς μορφῆς τοῦ ἐρωμένου· ὅθεν καὶ εἰσπνήλας καλοῦσι τοὺς ἐραστὰς οἱ Λάκωνες. ἢ ἄϊτης κυρίως ὁ μέσος, ὁ μήτε θρασὺς μήτε ἰταμός· ἴτης οὖν, ἄϊτης ὁ μὴ ἴτης, ὅ ἐστιν ἰταμός, ἀλλὰ θυμήρης ὡς ὁ ἐραστής. ἢ ὁ ἅμα τινὶ ἰὼν, τοῦ ᾱ τὸ ὁμοῦ σημαίνοντος. οὕτως Μεθ-*

---

2 *με* tacite Ziegler: *μὲν* cod. 12 *εἰ* om. K 13 *ᾅδε* (leg. *ὅδε* vel *ὧδε*) post *εἶχεν* add. K *ὅπερ* K

Tit.: *ἀ.* arg. a: *ἀ. ἐρώμενος ἰάδι* K super scholiis: *ἀ.* (*καὶ* add. K) *ἰακὸν τῇ κοινῇ ἰάδι* K super verbis poetae, LUAT: om. EGP 17 *ἐπιγέγραπται* GP *ἄϊτης* Ziegler: *ἀείτης* ubique K: *ἄϊτας* cett. 19 *ὅθεν καὶ* (*τὸ* add. T) *ἐπίγραμμα ἀ.* KLUEAT: *ἐπιγέγραπται δὲ οὕτως* GP *ἐπεὶ καὶ* GP, *ἐπειδὴ καὶ* T

νους ἀΐτας ἔνιοι καλοῦσιν ὡς ⟨οἱ⟩ Θεσσαλοί. καὶ γὰρ Ἀλκμὰν (fgm. 125 Bergk *Poet. lyr. gr. III*⁴ *73*) *τὰς ἐπεράστους κόρας λέγει ἀΐτιας· οἱ δὲ ἀΐτας τοὺς ἑταίρους· φασὶ δέ τινες λέγεσθαι τοὺς ἀγαθούς, οἷον μὴ ἴτας ἀντὶ τοῦ μὴ ἰταμούς· ἢ ἀΐτης ὁ συναΐτης καὶ σύμπνους. εἰ δὲ ἐπὶ ἐρωμένου τάσσοιτο, ἀΐτης ἂν λέγοιτο ἀπὸ τοῦ εἰσάειν καὶ εἰσπνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι.*

ἐκτίθεται δὲ πῶς ὁ ἐρῶν ⟨. . .⟩ καὶ οὐ φείδεται θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακτῆρας, εὔχεται δὲ τῶν δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους παραμένουσαν, ἵνα καὶ μετὰ θάνατον οἱ μεθ' ἡμᾶς φημίσωσι τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν, λέγοντες ἡμᾶς ἐκ τοῦ χρυσοῦ γένους πεφυκέναι τοὺς δύο, οἵτινες ἀμοιβὴν φιλίας ἔπνευσαν πρὸς ἀλλήλους. καὶ τοὺς Μεγαρεῖς ἐπαινεῖ ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ἐμπεσόντος πολέμου ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου καὶ ὑπὲρ [τῆς] ἐκείνου τελευτήσαντα· ὅθεν

ὁδιος. Et. Gud. 57, 19 De Stefani Lex. *Αἰμ.* 617, 46 Choerob. Orth. (Cram. An. Ox. II 173, 1) Hesych. *ἀΐταν* Phot. *ἀείταν* Suid. *ἀείτης* Lex. Bachm. 85, 9 Eust. 732, 24; 1500, 29; 1547, 18 sch. 12/16 b cum loc. sim.

2 Et. M. 43, 40 (cf. Gen.) Et. Gud. 58, 3. 11 De Stefani Choerob. Orth. (l. l. 173, 4) Suid. *ἀϊτία*

---

1 addidi **2** *τοὺς κόρους* **GP**, *τὰς ἐπ. χορδὰς* Meineke ex arg. b, ubi videas **3** *ἀΐτιας* Ahrens: *ἀΐτας* codd. *ἑταίρους μεταθέσει τοῦ ἀντιστοίχου ἢ ἀΐτας οἱονεὶ μὴ ἰταμούς* **G(P)** *τινες λέγεσθαι* **K**: *γενέσθαι* **LUEAT** **4** *ἢ* om. **K** **5** *συναείτης καὶ σύμπνους* **K**: *συναέτης* (*-αΐτης* **T**, *-α*$^{\tau}$ cp. **UA**) *καὶ συμπολίτης* **LUEAT**: *σύμπνους καὶ συναΐτης καὶ συμπορευτής* **GP** *εἰ—λέγοιτο* om. **GP** *ἀείτης ἂν λέγοιτο* **K**: *λέγεται* **LUEAT** **6** *πνεῖν* **GP** **7** *ἐντίθεται* **GP** lacunam verbo quodam laudandi explendam censeo. verba *καὶ οὐ φείδεται*, quae in **K** desunt, a vv. dd. varie tentata sunt *ἐνθεασμοῦ* pro *θεασάμενος* Ahrens **9** *αὐτοῖς* om. **K** **10** *γένους* pro *τέλους* **GP** *οἱ μετ' αὐτοὺς φημ. αὐτῶν τὴν ὁμ. λέγ. ἐκ* **GP** **12** *περφ. τοὺς δύο* Wilamowitz: *περφ. τοὺς δὲ* **KLUEAT**: *αὐτοὺς γεγενῆσθαι* **GP**: *περφ. τοιούσδε* Ahrens *οἵτινες* **GP**: *εἴ τινες* **K**: *ἢ οἵτινες* **LUET**: *ἢ εἴ τινες* **A** **13** post *ἀλλ.* add. *διὰ τὴν πρὸς ἀλλήλους φιλίαν* **LUEAT** **14** *ἐμπεσόντος πολέμου* post *Διοκλέα* scripsi coll. sch. 27/33 e: *ἐμπεσόντα εἰς πόλεμον* (*εἰς πόλ. ἐμπ.* **LU**) codd. post *τελευτήσαντα* **15** *τῆς* deleto *τελευτήσαντα* restitui: *τελευτῆς*

τοὺς Μεγαρεῖς θάψαι αὐτὸν δημοσίᾳ καὶ τιμᾶν ὡς ἥρωα ἀγῶνά τε ἐπ' αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλήματος ἀγωνίζεσθαι, τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα τοῦτον ὑπὸ τοῦ κριτοῦ στεφανοῦσθαι.

b. Ἐρατοσθένης ἀΐτην τὸν ἑταῖρόν φησιν, Ἀλκμὰν (v. LUEAT supra) δὲ τὰς ἐπεράστους κόρας ἀΐτιάς φησιν.

1 a. ἠοῖ ἦλυθες: ἐν τῇ τρίτῃ ἡμέρᾳ, ἀφ' οὗ οὐκ εἶδόν UEAGPT σε. καὶ συντάσσεται οὕτως· ὦ φίλε κοῦρε, σὺν νυκτὶ τρίτῃ καὶ ἠοῖ ἦλυθες.

b. ἦλυθες, ὦ φίλε κοῦρε, σὺν νυκτὶ τρίτῃ καὶ ἠοῖ τρίτῃ, ἤγουν μετὰ τρεῖς ἡμέρας καὶ νύκτας.

2 a. οἱ δὲ ποθεῦντες: οἱ δὲ ἐρῶντες, εἰ μίαν ἀπο- KUEAGPT λειφθῇ ὁ ἐρώμενος ἡμέραν, τὸν πάντα αἰῶνα τῆς αὐτοῦ παρουσίας ἐστερῆσθαι νομίζουσι καὶ ὥσπερ καταγεγηρακέναι.

b. οἱ δὲ ποθεῦντες: οἱ ἐρῶντες ἐν μιᾷ ἡμέρᾳ ἀπο- UEAGPT δυρόμενοι γηρῶσιν.

c. ἔστι δὲ παρὰ τὸ Ὁμηρικόν (τ 360)· 'αἶψα γὰρ ἐν KUEAGPT κακότητι βροτοὶ καταγηράσκουσιν.'

---

1 sch. 27/33 f sch. Ar. Ach. 774

---

codd. ὑπὲρ τῆς ἐκ. τελευτῆς ἐμπεσόντα εἰς πόλεμον ⟨ἀποθανεῖν⟩ Meineke, ὑπὲρ τῆς ἐκ. ⟨σωτηρίας⟩ τελευτῇ ἐμπεσόντα [εἰς πόλ.] Ahrens

1 οἱ *M*. **LUEAT** ἢ pro δημ. καὶ **GP** 2 ἐπ' αὐτὸν **K** φιλημάτων **GP** 3 τὸν δὲ seqq. om. **LUEAT** αὐτῶν Call. cum sch. 27/33 f: αὐτὸν **K**: τινα **GP** ἥδιστα sch. 27/33 f: ἥδιστον **KGP** 5 Ἐρατοσθένης restitui pro librorum verbis ὑπόθεσις Ἐρατοσθένους, quae in **LUEA** huic, in **T** praecedenti argumento praefixa leguntur. vocem ὑπόθεσις praetermisi, quippe quae inscriptio sit argumenti alioquin ab omnibus iure neglecta 6 ἐπεράστους κόρας ἀΐτιας scripsi: ἀΐτας χορδὰς ἀπεράστους (ἐπ- **T**) codd. ἀΐτιας vel ἀϊτίας ex Etymologico Duebner Bergk Ahrens revocaverunt; κόρας ex arg. a repetii, quamvis χορδάς mendum sit ita inveteratum, ut iam Suidas et Etymologici auctor ante oculos habuerint 12 ἀπολειφθῇ ὁ ἐρώμενος ἡμ. **K**: καὶ μόνην (-ον **P**) ἡμ. τοῦ ἐρωμένου ἀπολειφθεῖεν (-ληφθεῖεν **GPT**) cett. 13 τὸν—ἐστ. **K**: τὴν πᾶσαν ζωὴν ἐστ. τῆς αὐτοῦ (-ῶν **GPT**) παρ. cett. 14 καὶ seqq. om. **UEAGPT**

K 8/9 a. τόσσον ἔμ' εὔφρανας: πρὸς τὴν ὑπερβολὴν τῆς διαφορᾶς ἀπέδωκεν. ἔστι γὰρ τοιοῦτον· ὅσον τόδε διαφέρει, τοσοῦτον καὶ σὺ φανεὶς ἐμὲ ηὔφρανας, ὥστε καλλίων εἶ παρὼν ἢ ἀπών.

UEAGP b. τόσσον ἔμ' εὔφρανας: ἡ σύγκρισις κακή. ὤφειλε γὰρ εἰπεῖν· ὅσον ἔαρ χειμῶνος διαφέρει, τοσοῦτον εἶ καὶ σὺ γλυκύτερος.

KL^{m}U^{r}T c. σκιερὰν ὑπὸ φαγόν: ἐπαινέσειεν ἄν τις ἐκ τῆς παραβολῆς τὸν ποιητήν· παραβάλλει γὰρ τῷ μὲν πόθῳ τὸ καῦμα, τὴν δὲ παρουσίαν τοῦ ἐρωμένου φηγῷ κατασκιαζούσῃ.

UEAGPT d. σκιερὰν δ' ὑπὸ φαγόν: ὡς ἄν τις, φησί, φλεγόμενος ὑπὸ τοῦ ἡλίου εἰς σκιὰν φηγοῦ παρέλθῃ, οὕτω κἀγώ σοι προσανεπαυσάμην ἀσμένως.

K 10/11 a. εἴθ' ὁμαλοί: ὁ νοῦς· εἴη ἡμᾶς ἐξ ἴσου φιλεῖν, ὅπως ἂν καὶ τοῖς μετὰ ταῦτα ἀνθρώποις ὑμνηθῶμεν.

UEAGPT b. εἴθ' ὁμαλοί: εἴθε, φησίν, ἐνεχώρει ὅμοιον γενέσθαι τὸν εἰς ἀλλήλους ἡμῶν ἔρωτα, ἵνα καὶ ἐπὶ τῶν μεταγενεστέρων περιβόητος ἡμῶν ἡ φιλία ᾖ.

L^{g}U^{g}E^{g} c. ⟨ἐπ' ἀμφοτέροισιν Ἔρωτες:⟩ ἤτοι ⟨ἡ⟩ κατὰ τοὺς ἀμφοτέρους φιλία.

UEAPT d. ἐπ' ἐσσομένοις δέ: ἐπὶ πᾶσι δὲ τοῖς ἐσομένοις καὶ μέλλουσιν ἔσεσθαι, ἤτοι τοῖς μεταγενεστέροις, γενοίμεθα ἀοιδή, ἤτοι ἄκουσμα.

KUEAGPT 12—16 a. δοιὼ δή τινε: τοῦτο ὡς πρὸς τοὺς προγενεστέρους· ἵνα οἱ μεταγενέστεροι τῆς φιλίας ἡμῶν μνησθέντες λέγωσιν ὅτι δύο πρὸ ἡμῶν ἐγένοντο ἄνθρωποι, ἕτερος μὲν ὑπὸ Λακώνων λεγόμενος εἴσπνηλος, τουτέστιν ἐραστής, ἕτερος δὲ ὑπὸ Θεσσαλῶν ἀῖτας, τουτέστιν ἐρώμενος· οὗτοι δ' ἀλλήλους ἐξ ἴσου ἐφίλησαν τοῦ χρυσοῦ γένους ὡς ἔοικεν ὄντες.

---

1 ἔμ' Apogr. Barb.: με K rescr. 8 ἐπαινέσειεν Apogr. Barb.: -ση K: -σοι U: -σει LT 10 φηγῷ κατασκιαζούσῃ scripsi: φηγὸν -σαν K: δρυὶ -σῃ LUT 17 ὑπὸ codd., correxi 19 ἡ addidi 20 φίλους L, φιλ U^{op} 26 λέγουσιν GP 27 εἴσπνηλος K: εἴσπνιλος UAG: ἴσπνιλος EPT

b. *εἴσπνηλος: παρὰ Λάκωσιν. εἴρηται δὲ παρὰ τὸ εἰσάειν* K
καὶ εἰσπνεῖν τοῖς ἀγαπῶσι τὸν ἔρωτα. ὁ νοῦς· δύο δή τινες
ἄνδρες ἐπ' ἴσης ἀλλήλους ἐφίλησαν, ὁ μὲν εἴσπνηλος, τουτ-
έστιν ἐραστής, ὡς Λακωνίζων εἴποι⟨ἂν⟩ ἀνήρ, ὁ δὲ ἀΐτης, τουτ-
έστιν ἐρώμενος, ὡς πάλιν φαίη ἂν ἀνὴρ Θεσσαλός.

c. *εἴσπνηλος ἀπὸ τοῦ εἰσπνεῖσθαι.* UEPT

d. *Ἀμυκλαῖσδων: ὁ τῇ Ἀμυκλαίων χρώμενος διαλέκτῳ* KUEAPT
ἀντὶ τοῦ Λακώνων. οὗτοι γάρ φασιν ἐμπνεῖν τὸ ἐρᾶν, Ἀμύκλαι
δὲ πόλις Λακωνική.

[e.] *Ἀμυκλαῖσδων δέ φησι κατὰ μετάθεσιν τοῦ ᾱ·* UEAPT
Ἀμυκλιάζων.

f. *ἴσῳ ζυγῷ: ἀντὶ τοῦ ὁμοίως. ἀπὸ δὲ τοῦ ζυγοῦ μετ-*
ήνεκται, ὅτι ἴσον ἐστὶ καὶ μὴ ἑτερορρεπές, ὥστε μὴ γεγονέναι
ἑτέρου ῥοπήν τινα ὑπὸ τοῦ σταθμοῦ.

17—21 a. *⟨τοῦτο:⟩ τὸ φημίζεσθαι ἡμᾶς τοῖς μετα-* $L^{E}U^{E}E^{E}P^{m}$
γενεστέροις.

b. *ἀθάνατοι: εἴη τινά, ὦ ἀθάνατοι, †μετάθεσιν εἰς τὰ* K

---

1 Et. Gen. (Et. M. 306, 22): *εἰσπνήλης· ὁ ἐρώμενος. Καλλί-*
μαχος (fgm. 169 Schneider, II 430)· *'μέμβλετο δ' εἰσπνήλαις, ὁπ-*
πότε κοῦρος ἴοι φωλεὸν ἠὲ (ἢ codd., corr. Tittmann) *λοετρόν'.*
ὁ ὑπὸ τοῦ ἔρωτος εἰσπνεόμενος· Λακεδαιμόνιοι γὰρ εἰσπνεῖν
φασι τὸ ἐρᾶν. ἢ παρὰ τὸ ἔπεσθαι τοῖς ἐρωμένοις, ἐπνήλης
(ἐσπνήλης A) *τις ὢν καὶ εἰσπνήλης.* Et. Gen. (cod. A in altera
glossarum serie): *εἰσπνήλης· ὁ ὑπὸ τοῦ ἔρωτος εἰσπνεόμενος.*
Georg. Choerob. ad Theod. Alex. Can. 166, 33 Hilgard arg. a
cum loc. sim. 7 Serv., Prob., sch. Bern. ad Verg. Georg.
III 345

---

4 *εἴποι ἂν* Ziegler: *εἴπη* cod. 5 *Ἀμυκλαῖσδων* cod., corr.
Schultz e sch. a 6 *εἴσπνιλος* codd. 9 *Λακωνική* K: *-ῆς* cett.
10 *Ἀμυκλαῖσδων—Ἀμυκλιάζων* scripsi: *μυκλαῖσδων—Ἀμυκλάζων*
(hoc om. P) codd.: *μυκλαῖσδων—⟨ἀντὶ τοῦ⟩ Ἀμυκλίζων* Tricl.
12 *ὁμοίῳ* P *ἀπὸ—ἑτερορρεπές* vulgo post *σταθμοῦ*, transposui
13 *ὅτι* UEA: *ἔτι* P: *εἴ τι* T *ὥστε μὴ* Duebner: *ὡς μήτε* codd.:
ὡς μήτι Ahrens 14 *ἑτέρου ῥοπήν* scripsi: *ἑτέραν ῥοπήν* Geel:
ἑτέρου τρόπον UE: *ἕτερον τρόπον* APT: *ἑτερόρροπον* deleto
τινα Ahrens 17 *μετὰ διηκόσια ἔτη* tacite Ziegler, exspectares
μετὰ διακοσίας γενεάς

ἔτη† εἰς Ἅιδου κατιόντα ἀπαγγεῖλαί μοι, ὅτι ἡ σὴ διάθεσις καὶ τοῦ ἐρωμένου παρὰ πᾶσιν ἀνθρώποις θρυλλεῖται. βούλεται δὲ λέγειν, ὅτι εἴη τὴν διάθεσιν ἡμῶν συμπαρατείνεσθαι τῷ παντὶ αἰῶνι.

UEAGPT c. ἀθάνατοι: προσληπτέον τὸ ὦ ἔξωθεν ἐπὶ κλητικῆς, ἵν' ᾖ· εἰ γὰρ τοῦτο ὦ Κρονίδα Ζεῦ γένοιτο, εἰ ὦ ἀγήρῳ ἀθάνατοι, ἤγουν ὦ Ζεῦ καὶ ὦ ἕτεροι θεοὶ μὴ γηράσκοντες καὶ ἀθάνατοι.

d. εἰ γὰρ ἀγήρῳ ἀθάνατοι: νοητέον ἔξωθεν ἡμεῖς. τοῦτο δὲ οὐχ ὡς θεοὺς αὐτοὺς εἶναί φησιν, ἀλλ' ὡς καὶ τοῖς μεταγενεστέροις διὰ μνήμης εἶναι καὶ ᾄδεσθαι καὶ μὴ ἐπιλησθῆναι.

e. εἰ γὰρ ἀγήρῳ ἡμεῖς, ὦ ἀθάνατοι, ἤγουν διὰ μνήμης ὑπάρχοιμεν.

K f. ἀνέξοδον: παρόσον οὐκ ἔστιν ἐπανελθεῖν εἰς φῶς τοὺς ἐν Ἅιδου.

KUEAGPT 23/24 a. ἐγὼ δέ σε: ἐγὼ δέ σε ἐγκωμιάζων — λέγει δὲ πρὸς τὸν ἐρώμενον — [ὅτι] οὐδὲν ψεύσομαι περὶ σοῦ οὐδὲ ἐπάνω τῆς ῥινὸς ψεῦσμα γεννήσω· εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τῆς ῥινὸς κείμενα καὶ φυόμενα ψυδράκια καλεῖν ψεύσματα, καὶ εἶναι ταῦτα τῆς περὶ τὸν ἔχοντα ἄνθρωπον αὐτὰ ψευδολογίας σημεῖον.

K b. ψεύδεα: τοὺς ἐπὶ τῆς ῥινὸς φυομένους ἰόνθους Σικελιῶται ψεύσματα ἔλεγον ⟨ὡς⟩ τοὺς ψεύστας διελέγχοντας· τούτους δὲ φύεσθαι τοῖς φιλοψεύσταις τῶν ἀνθρώπων. ἴονθος

---

25 sch. ξ 50 Suid. *ἴονθος* Et. M. 473, 17 (cf. Gen.) Et. Gud. 279, 50 Sturz Eust. 1750, 10

---

7 θεοὶ οἱ μὴ GPT 14 ὑπάρχοιμεν Reiske: -ομεν codd. 17 ἐγκωμιάζω K 18 τὸν ὅμοιον GP praeterm. Call. 19 ψεῦδος G ἢ μᾶλλον φύσω post γεννήσω add. UEAGPT 20 κείμενα καὶ om. iidem ψεύδους (sic) G 21 αὐτὰ pro ταῦτα K τῆς — αὐτὰ om. UEAGPT 24 ψεύσματα scripsi: ψεύδεα (— διελέγχοντα) Ahrens (ap. Ziegl.) adstipulante Kaibelio *Com. gr. fgm. I 1, 218*: ψευστὰς (a *ψευστή) Buecheler *Rhein. Mus. N. F. 30, 1875, 47*: ψεύστας cod. suppl. Ahrens

δέ ἐστιν ὁ παραγινόμενος κατὰ τὸ ἄνθος τῆς ἡλικίας· ⟨ἢ⟩ εἴρηται [δὲ] παρὰ τὸ ὄνθος οἷον μολυσμός τις τῆς ὄψεως· οἱ δὲ ὄνοθος, ὃν διὰ φαυλότητα ὀνόσαιτό τις.

c. ⟨ψεύδεα ῥινός:⟩ φύσκαι ἐπὶ τῆς ῥινὸς λεπταὶ αἱ λε- UEAT
γόμεναι ἴονθοι ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γινόμεναι, ἃς ψυδράκια ἐκάλουν· καὶ οἱ Σικελιῶται τὸν ταῦτα ἐκφύσαντα ψευδηγόρον ἐσημαίνοντο εἶναι. ἴονθος δὲ λέγεται παρὰ τὸ ὄνθος οἱονεὶ μολυσμός τις τῆς ὄψεως.

25. ἦν γὰρ καί τι δάκῃς: ἐὰν γὰρ καὶ δηκτικόν τι UEAGPT
καὶ λυπηρὸν δράσῃς, ὡς καὶ ὁ λόγος 'ὁ τρώσας ἰάσεται'.

26 a. ἔχων δ' ἐπίμετρον: ὑπὲρ τὸ μέτρον, τῷ ἐπιμετρη- K
θέντι περίσσευμα. θέλει δὲ λέγειν ὅτι διπλάσιον τῆς λύπης ὠφέλησας. οἱ δὲ μεταφορικῶς ἀπὸ τῶν ἀλεύρων.

b. ⟨διπλάσιον:⟩ περισσοτέραν ὠφέλειαν. $L^{E}U^{E}E^{E}$

27—33 a. Νισαῖοι Μεγαρῆες: τοὺς πλησίον τῆς KUEAGPT
Ἀττικῆς Μεγαρέας Νισαίους καλεῖ. ἐπίνειον γὰρ Μεγαρέων ἡ Νίσαια, ἀφ' οὗ Νισαῖοι καλοῦνται οἱ Μεγαρεῖς· καὶ αὐτὸ ἐκλήθη ἀπὸ Νίσου τοῦ Πανδίονος. τάχα δ' ἀπὸ τοῦ συνοικήσαντος αὐτῷ Μεγαρέως τοῦ Ποσειδῶνος ⟨οἱ Μεγαρεῖς ὠνομάσθησαν⟩.

b. ⟨ἀριστεύοντες ἐρετμοῖς:⟩ ναυτικοὶ γάρ εἰσι. μαρ- K

---

10 Mant. prov. II 28 cum nota Leutschii 17 Paus. I 39, 4—6 Plut. Quaest. gr. 16, 295 a Steph. Byz. *Νίσαια*

---

1 ἢ addidi δὲ deleto, cum tria mihi videantur veriloquia 3 ὄνοθος Ziegler: ὁ νόθος cod. 4 l. add. Call. 5 ὄνθοι E 15 τοὺς πλησίον—καλεῖ K: *Νισαίους τοὺς πρὸ* (πρὸς Kiessling) *τῆς Ἀττικῆς* cett. 16 ἐπίνειον—οἱ Μεγ. om. K 17 Νίσαια Warton: Νίσα UEA: Νίσσα GPT καὶ αὐτὸ ἐκλήθη K: ὠνομάσθησαν δὲ cett. 18 τάχα δ' ἀπὸ τοῦ desunt in UEAGPT συνοικήσαντος K: συνοικήσαντες G: συμβοικήσαντες UEAP: συμβοσκήσαντες T: συνοικίσαντος Amstel. 19 αὐτοῖς K Μεγ. τοῦ Ποσ. om. UEAGPT adiecit haec Ahrens (ap. Ziegl.) 21 membra scholii disiecta composui; verba ναυτικοὶ γάρ εἰσι adhaerent scholio 26 a, cetera in scholio 27 a post Πανδίονος inserta leguntur. supplevi quae uncis inclusa sunt

τυρεῖ δὲ αὐτοῖς ⟨καὶ⟩ Σιμωνίδης (fgm. 199 Bergk *Poet. lyr. gr. III*⁴ *523*) ⟨τὴν⟩ ναυτικήν.

UEABPT c. ἀριστεύοντες: καὶ Σιμωνίδης (v. supra) ἐπαινεῖ τοὺς Μεγαρεῖς.

K d. ὁ δὲ νοῦς· ὦ Νισαῖοι Μεγαρεῖς, εὐδαιμονοίητε διὰ τοῦτο, ὅτι τὸν Ἀθηναῖον φιλόπαιδα Διοκλέα καταφυγόντα πρὸς ὑμᾶς μεῖζον ἢ τοὺς ἄλλους ξένους ἐτιμήσατε.

e. αἰεί οἱ: Εὐμόλπου . . . ἐπιστρατεύσαντος τῇ Ἀττικῇ ἐπ' Ἐλευσῖνος φυγὼν Διοκλῆς εἰς Μέγαρα ἦκε, καί ποτε πολέμου καταλαβόντος τοῦ ἑαυτοῦ ἐρωμένου ὑπερασπίσας ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δὲ ἀπέθανεν· ὅθεν αὐτὸν ὡς ἥρωα σέβονται οἱ Μεγαρεῖς.

UEABPT f. οἰκείοιτε: μακαρισθείητε, ὅτι ὑπερβαλλόντως Διοκλέα ἐτιμήσατε. οὗτος γὰρ Ἀθήνηθεν φεύγων εἰς Μέγαρα, φιλόπαις ὑπερφυῶς ὤν, ἔν τινι μάχῃ ἠρίστευσε καὶ ὑπερασπίζων τινὸς ἐρωμένου ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δ' ἐτελεύτησεν. ὅθεν τοὺς Μεγαρεῖς θάψαι αὐτὸν καὶ τιμᾶν ὡς ἥρωα ἀγῶνά τε αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι· τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα, τοῦτον ὑπὸ τοῦ κριτοῦ ὡς κρείττω στεφανοῦσθαι.

K 35—37 a. ἦ που τὸν χαροπόν: τὸν Γανυμήδην παρέλαβεν ὡς θεὸν καὶ τὰ περὶ γλυκύτητα τῶν φιλημάτων εἰδότα. ἔστι δὲ ὁ νοῦς οὗτος· δοκεῖς μοι ὄντως, ὦ μακάριε κριτά, ἐπικαλεῖσθαι πολλὰ τὸν Γανυμήδην σύνθρονον σαυτῷ πολλάκις γίνεσθαι ἀξιῶν, ὡς αὐτοῦ παρόντος ἄξιος εἶης τῶν φιλημάτων κριτής, καὶ τὸν μυθευόμενον Λύδιον λίθον τοῦ χρυσοῦ

---

8 arg. a cum loc. sim.

---

8 octo fere litterae evanuerunt 13 l. οἰκείοιτε T: οἰκείητε G: οἰκοίοιτε cett. 17 ὅθεν et quae sequuntur ex arg. a repetita sunt 19 αὐτῶν UEA: αὐτοῦ P: αὐτὸν T: om. G 20 ὑπὸ τοῦ κριτοῦ Ahrens ex arg. a: ὑπ' αὐτοῦ codd. 23 οὗτος cum ω super ο cod. 24 σύνθρονος tacite Ziegler σαυτῷ Wilamowitz: τούτῳ cod. 25 φιλημάτων scripsi: φιλουμένων cod. 26 τὸν μυθευόμενον Λύδιον Ziegler: τὴν μυθευομένην Λυδίαν cod.

τῆς ὕλης [ὄντως] κριτὴν ἀποδεῖξαι τὸ σὸν ἀντικρὺ στόμα. τοῦτον γὰρ δή φασιν ἐν Πακτωλῷ τῆς Λυδίας ὄρει τὴν γένεσιν ἔχοντα δεδημιουργῆσθαι ὑπὸ τῆς φύσεως εἰς δοκιμασίαν [τοῦ χρυσοῦ] ἀνθρώποις τῆς ἐν τῷ χρυσῷ διακειμένης ἀρετῆς· ᾧ δὴ τὸ σόν, ὦ φίλε, παραβάλλειν δοκῶ μοι στόμα καὶ τὸν ἐπὶ φαυλότητι χρυσοῦ λίθον Λύδιον τὸ σὸν στόμα εἶναι φαίην ἂν ἀληθῶς.

b. *Γανυμήδεα: εὔχεται, φησίν, ὁ κριτὴς τῷ Γανυμήδει.* UEAGPT *ἵν' ἐπιτήδειον ἔχῃ τὸ στόμα πρὸς τὸ δικάζειν τὰ φιλήματα οὕτως ὡς ἡ Λυδία λίθος δοκιμάζει τὸν χρυσόν, εἴτε καλὸς εἴτε καὶ μή. ⟨ἔστι δὲ⟩ ἡ λεγομένη χρυσῖτις· ⟨Λυδία δὲ λέγεται⟩ ὡς τοῦ λίθου τούτου παρὰ Λυδοῖς εὑρισκομένου. τὸ δὲ ἑξῆς οὕτως· εὔχεται τῇ Λυδίᾳ πέτρᾳ ἴσον ἔχειν τὸ στόμα, ἥτινι οἱ ἀργυραμοιβοὶ τὸν χρυσὸν δοκιμάζουσιν.*

XIII. Ὕλας

a. *Ἐπιγράφεται τὸ εἰδύλλιον Ὕλας. πάλιν δὲ τῷ Νικίᾳ* KLUEAGPT *προσδιαλέγεται ὡς καὶ ἐν τῷ Κύκλωπι* (XI 2). *ἐκτίθεται δὲ τὰ περὶ τὸν Ὕλαν καὶ Ἡρακλέα· τοῦ μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγήν, τοῦ δὲ Ἡρακλέους τὴν πλάνην καὶ τὴν ὑπὲρ τοῦ Ὕλα βάσανον.* b. *εἴρηται δὲ Δωρίδι διαλέκτῳ.* GPT

2 Theophr. De lapid. (fgm. II 45—47 Wimmer ed. a. 1866, 346) Plin. Hist. nat. XXXIII 126

1 del. Wilamowitz, cf. p. 256, 23 2 simili vitio laborat Theophrastus, qui lapidem Lydium *ἐν τῷ ποταμῷ Τμώλῳ* inveniri refert 3 proscripsi 4 *διακειμένης* apographa: *δεικνυμένης* K rescr. 5 *φαυλότητι* Wilamowitz: *φιλότητι* cum *α* super *τι* cod. 6 (τοῦ-)*χρυσοῦ* Ziegler: *χρυσὸν* cod. 9 *εἴτε κ. εἴτε* T: *εἴτε κ. ἔστιν* UEAG: *ἅτε κ. ἐστι* P 10 supplevi locum ex mente Ahrensii, in UEA vacuum ante *ὡς* spatium conspicitur *χρυσῖτις* Ahrens collato Hesychio s. v.: *χρυσᾶ* codd. 11 *τοῦ λίθου τούτου—εὑρισκομένου* Amstel.: *τοὺς λίθους τούτους—εὑρισκομένους* codd.

Tit.: Ὕλλας arg. a, sch. Apoll. Rhod. I 1236: Ὕλλας *δωρίδι* K: *Θεοκρίτου Ὕλλας δωρίδι* LUEAT: om. GP 15 *τὸ παρὸν εἰδ.* GPT Ὕλλας ubique codd., emend. Call.

UEABP 1/2 a. *οὐχ ἁμῖν, φησί, μόνοις τοῖς θνητοῖς τὸν Ἔρωτα ἔτεκεν, ὅστις ποτέ ἐστιν, ἀλλὰ καὶ Ἡρακλῆς ἠράσθη. ἐπεὶ δὲ τὰ τῆς [ὑπὸ τῶν Νυμφῶν] γενέσεως τοῦ Ἔρωτος εἰς πολλὰ διαλλάττει, διὰ τοῦτό φησι· ᾧτινι τοῦτο θεῶν τέκνον ἔγεντο.*

K b. *τὸ οὐχ ἁμῖν περισπᾶται· ἔχει γὰρ διαστολὴν πρὸς τὸν Ἡρακλέα. ὁ δ' ἀναδιπλασιασμὸς ἐρῶντος ἔχει μίμησιν.*

c. *ἀμφιβάλλει, τίνος υἱὸν εἴπῃ τὸν Ἔρωτα. Ἡσίοδος* (Theog. 116—120) *μὲν γὰρ Χάους καὶ Γῆς, Σιμωνίδης* (fgm. 43 Bergk *Poet. lyr. gr. III*[4] *408*) *Ἄρεος καὶ Ἀφροδίτης, Ἀκουσίλαος* (fgm. 3 Diels *Fgm. d. Vorsokr. II*[3] *207*) *Νυκτὸς καὶ Αἰθέρος, Ἀλκαῖος* (fgm. 13[B] Bergk *l. l. 152*) *Ἴριδος καὶ Ζεφύρου, Σαπφὼ* (fgm. 132 Bergk *l. l. 131*) *Γῆς καὶ Οὐρανοῦ καὶ ἄλλοι ἄλλων.*

4. *οἳ θνητοί: ἀντὶ τοῦ ἐφήμερον ζῶμεν βίον. παρατηρητέον δέ, ὅτι κἀνταῦθα δεύτερον περὶ τοῦ αὐτοῦ λέγει μι-*

---

7 sch. Apoll. Rhod. III 26: *Ἀπολλώνιος μὲν Ἀφροδίτης τὸν Ἔρωτα γενεαλογεῖ, Σαπφὼ δὲ Γῆς καὶ Οὐρανοῦ, Σιμωνίδης δὲ Ἀφροδίτης καὶ Ἄρεως· 'σχέτλιε παῖ δολόμηδες Ἀφροδίτας, τὸν Ἀρῃ δολομηχάνῳ τέκεν'. Ἴβυκος* (fgm. 31 Bergk *Poet. lyr. gr. III*[4] *247*) 〈. . .〉 *ὁ δὲ Ἡσίοδος ἐκ Χάους λέγει τὸν Ἔρωτα. ἐν δὲ τοῖς εἰς Ὀρφέα* (fgm. 67 Abel, p. 180) *Χρόνου* (Zoega, *κρόνου* cod.)· *'αὐτὰρ Ἔρωτα Χρόνος* (Zoega, *κρόνος* cod.) *καὶ πνεύματα πάντ' ἐτέκνωσε'.* Serv. Verg. Aen. I 664: secundum Simonidem, qui dicit Cupidinem ex Venere tantum esse progenitum; quamquam alii dicant ex ipsa et Marte, alii ex ipsa et Vulcano, alii vero Chai et primae rerum naturae eum esse filium velint. Diog. Laert. IV 26. 27 Apollodori est, cf. Hefermehl *Studia in Apoll. Περὶ θεῶν fgm. Genev., Diss. phil. Berol. 1905, 30 n.*

---

3 del. Wilamowitz ut repetita e p. 257, 17 7 *ἐρῶντος* Ziegler, cf. sch. 4: *ἐρωτωντος* cum o super altero ω (i. e. *ἐρωτῶντος* correctum in *ἔρωτος*) cod. 8 *ἀμφιβάλλει—εἴπῃ* scripsi: *ἀμφιβάλλουσι—εἶπε* (hoc praetermittitur inde a Call.) cod.: *ἀμφιβάλλουσι, τίνος υἱὸν τὸν Ἔρωτα 〈χρὴ νομίζειν〉* Wilamowitz *Antig. von Kar., Phil. Unt. IV 70* 11 *Ἀκουσίλαος* Call.: *-ίλλας* cod. 13 *Ἴριδος* Gaisford: *Ἔριδος* cod. *Γῆς* Blomfield *Mus. Crit. I, 1826, 14*: *Ἀφροδίτης* cod., quod loco Pausaniae IX 27, 3 defendi posse Neue *Sapph. fgm. 1827, 97* et Bergk arbitrantur: *Ἀφροδίτης 〈ἢ Γῆς〉* Wilamowitz l. l.

μούμενος τὸν ἐρῶντα. πέφυκε γὰρ ὁ Ἔρως τὴν περὶ ⟨τοῦ⟩ αὐτοῦ μνήμην τοῖς ἐρῶσιν ἐμβάλλων.

6 a. λῖν τὸν λέοντα ἀπὸ εὐθείας τῆς λίς. καὶ Ὅμηρος UEABPT (*A* 480)· ‘ἐπί τε λῖν ἤγαγε δαίμων’ καὶ (*O* 275)· ‘λὶς ἠυγένειος’.

b. ὃς τὸν λῖν: ἱστορεῖται λέοντας ὑφ’ Ἡρακλέους διαφθαρῆναι τὸν Ἐλικώνιον, τὸν Λέσβιον, τὸν Νεμεαῖον. K

c. λῖν: τὸν ἐν Νεμέᾳ, οὗ καὶ τὴν δορὰν ἐφόρει. $L^{E}U^{E}E^{E}BP^{m}$

7—9 a. Ὕλα: τὸν Ὕλαν Σωκράτης (fgm. 11 Mueller *Fgm. hist. gr. IV 499*) υἱὸν Ἡρακλέους φησίν, Ἀπολλώνιος δὲ ὁ Ῥόδιος (I 1213 al.) Θειοδάμαντος, ⟨Νί⟩καν⟨δρος (fgm. 48 Schneider, p. 57) δὲ⟩ Κήυκος, Εὐφορίων (fgm. 87 Scheidweiler *Diss. phil. Bonn. 1908, 61*) δὲ Πολυφήμου τοῦ Ποσειδῶνος ἐρώμενον [καὶ ἄλλοι ἄλλων]. K

b. ὅσσα μαθών: Ἀριστοφάνης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα, Ἡρόδωρος (fgm. 4 Mueller *Fgm. hist. gr. II 29*) δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεσπίου.

---

9 sch. Apoll. Rhod. I 1207: Σωκράτης ἐν τῷ πρὸς Εἰδόθεόν φησι τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι. I 40: τὸν Πολύφημον Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος, Σωκράτης (Ἰσοκράτης cod., corr. Meineke) δὲ καὶ Εὐφορίων Ποσειδῶνος.

---

1 supplevi 2 ἐμβάλλειν cod., correxi 6 Call. post ἱστορεῖται add. γάρ, quod in γ′ mutavit Rob. Unger *Theb. parad. I 1839, 401* λέοντας Call.: -α cod. 7 Νεμαῖον cod., corr. Heinsius 11 Θειοδάμαντος Hemsterhuys: Θεοδάμαντος Brubach. in marg.: Φιλοδάμου cod. Νίκανδρος δὲ Hemsterhuys: καὶ cod. 12 Εὐφορίων Call.: Εὐφορίδης cod. 13 Πολυφήμου Hemsterhuys: Εὐφήμου cod., quod Kiessling defendere conatur scholio Pind. Pyth. IV 35 14 ἐρώμενον Brubach.: ἐρωμένου cod. verba, quae loco mota esse Duebner iudicaverat, Ahrens circumsaepsit ut repetita e sch. 1/2 c 15 Aristophanis Boeoti fragmentum (cf. *Fgm. hist. gr. IV 337 sqq.*) falsa Calliergis lectione adducti Aristotelis reliquiis inseruerunt (fgm. 475 Rose, 1556 a 26) 16 Ἡρόδωρος Hemsterhuys: Ἡρόδοτος cod. 18 Θεσπίου scripsi collatis Diod. Sic. IV 29; V 15; Apoll. Bibl. II 65. 66: Θεστιάδος K: Θεστιάδους Apogr. Barb.: Θεστιάδου Hemsterhuys

UEABPT c. φορεῦντος: ἢ τοῦ ἔχοντος τὰς τρίχας τῆς κεφαλῆς πεπλεγμένας, ἵν' ᾖ τὸ φοροῦντος ἀντὶ τοῦ φέροντος καὶ ἔχοντος· ἢ τοῦ τοὺς πλοκάμους φοροῦντος, ἤγουν ἐνδυομένου καὶ περιβαλλομένου· ἴσως γὰρ ἂν φαλακρὸς ἦν, περιεβάλλετο δὲ ἀλλοτρίας τρίχας τῇ κεφαλῇ.

d. Ὕλας παῖς ὑπῆρχε Θειοδάμαντος τοῦ Δρύοπος.

e. μαθών: ὁ Ἡρακλῆς. πεπαιδεῦσθαι αὐτόν φασιν οἱ μὲν ὑπὸ Ῥαδαμάνθυος, οἱ δὲ ὑπὸ βουκόλων Ἀμφιτρύωνος, ⟨οἱ δὲ ὑπὸ Χείρωνος⟩ καὶ Θεσπίου.

KUEABPT 10—13 a. χωρὶς δ' οὐ: οὐδέποτε, φησίν, ὁ Ἡρακλῆς αὐτοῦ ἐχωρίζετο, οὔτε μεσούσης τῆς ἡμέρας, οὔτε ταῖς ἑωθιναῖς ὥραις, οὔτε τὸν καιρόν, καθ' ὃν οἱ νεοσσοὶ οἱ ἐν οἰκήματί τινι ὄντες ἀποβλέποιεν εἰς τὴν κοίτην, πτερυσσομένης τῆς μητρὸς καὶ λοιπὸν ἀναχωρούσης, τὴν τελευταίαν ἐκδεχόμενοι τροφήν.

K b. ὀρτάλιχοι: οἱ νεοσσοί. ἢ στρουθῶν γένη. θρηνητικὸν δὲ τὸ ζῷον ἐλπίδι τροφῆς.

UEABPT c. ὀρτάλιχοι: νεοσσοὶ μικροί, μηδέπω πετόμενοι. μινυροὶ δὲ ἀντὶ τοῦ μινυρίζοντες καὶ λεπτῇ φωνῇ θρηνοῦντες.

KUEABPT d. σεισαμένας: πτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας τοὺς νεοσσοὺς λάβῃ.

---

6 sch. Apoll. Rhod. I 131: Ὕλας· οὗτος Ἡρακλέους ἐρώμενος, υἱὸς δὲ Θειοδάμαντος τοῦ Δρύοπος. καὶ Μνασέας μὲν οὕτως. Ἑλλάνικος δὲ Θειομένη ἀντὶ Θειοδάμαντος ὀνομάζει. 18 Hesych. Phot. ὀρτάλιχοι· οἱ μήπω (μηδέπω Phot.) πετόμενοι νεοσσοί.

---

2 τὸ φορ. Call.: καὶ φορ. EAT: διφοροῦντος GP: om. U 4 περιεβέβλητο T 6 Θειοδάμαντος scripsi: Θεοδάμαντος Crispinus: Θεοδήμαντος codd. Δρύοπος Geel: Δρύωπος G: Δρυόπου UEAP: δρυτόμου T 9 suppl. Ahrens Θεσπίου scripsi ut supra: Θεστιάδου G: -άδος P: -άδους T: -άδ cp. cett. 11 οὐδὲ μεσούσης τ. ἡμ. οὐδὲ τ. ἑ. ὥραις K: οὔτε πρωῒ οὔτε μεσούσης τῆς ἡμέρας cett. 12 οὔτε κατὰ τὸν καιρόν Tricl. 13 πτερυσσομένης K: περιπτυσσομένης cett. 18 μηδέπω Ahrens e cod. Paris. 2884: μηδέποτε codd. nostri 20 περιπτυσσομένης T ἅπαντας pro ὑπὸ τὰς K rescr., rectum habent apographa 21 λάβοι GP

e. *πέτευρον: ἐπίμηκες ξύλον. ἔνιοι τὴν δοκόν, οἱ δὲ* K
πηκτὸν ὀρνιθοτροφεῖον.

f. *πέτευρον δὲ σανίδιον λεπτὸν καὶ τεταμένον, ᾧ εἰς* UEAΘPT
τοὺς ὀρόφους ἀντὶ τῶν κεράμων πολλοὶ χρῶνται. οἱ δὲ αἰθα-
λόεν πέτευρον τὴν δοκὸν λέγουσιν, ὡς καὶ Ὅμηρος· 'αὐτὴ
δ' αἰθαλόεντας (χ 239) ἀνὰ ῥῶγας μεγάροιο (χ 143)'.

g. *τινές φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτευρον διὰ τὸ αἴτιον*
εἶναι αἰθάλης. ἢ ἀπὸ τοῦ αἰθεσθαι λίαν οὕτως αὐτὸ ἔφη.

14 a. *ἕως κατὰ γνώμην ὁ παῖς, τὴν Ἡράκλειον γνώμην* K
τε καὶ καλοκἀγαθίαν, διδαχθείη.

b. *⟨κατὰ θυμόν:⟩ κατὰ τὴν ἰδίαν βούλησιν.* $L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}P^{m}$

15 a. *αὐτῷ δ' εὖ ἔλκων: ἑαυτῷ δ' εὖ βιῶν, ἐπ' εὐδοξίᾳ* K
τῇ ἑαυτοῦ ζῶν. ἢ ψιλῶς τὸ αὐτῷ, ἵν' ᾖ τῷ Ἡρακλεῖ.

b. *αὐτῶ δ' εὖ ἔλκων: ἀντὶ τοῦ αὐτόθεν· ὡς παραυ-* UEAΘPT
τόθεν ἐκ νεότητος καλῶς ἕλκων καὶ κατὰ μηδὲν ἐλαττούμενος
μηδὲ ἐλλείπων ἀνὴρ γένοιτο. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν
βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν.

18 a. *πασᾶν ἐκ πολίων: ἐξ ἑκάστης πόλεως οἱ πρῶτοι* K
συνηθροίσθησαν ἐν τῇ Ἀργοῖ Ἰάσονι.

[b.] *⟨ὧν ὄφελός τι:⟩ παρ' ὧν βοήθειά τις.* $L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}$

[19.] *⟨Ἰαολκόν:⟩ εἰς τὴν Μαγνησίαν.*

20. *Μιδέα πόλις Ἄργους, οἱ δὲ κώμην αὐτήν φασιν.* UEAΘPT
Ἀργεία δὲ καὶ ἡ Ἀλκμήνη.

22/23 a. *ἅτις Κυανεῶν: Καρύστιος ὁ Περγαμηνός* KU^{ε}EAPT
(fgm. 16 Mueller *Fgm. hist. gr. IV 359*) *φησι Κυανέας μὲν*
ὑπ' ἀνθρώπων, ὑπὸ δὲ θεῶν Φόρκου πύλας καλεῖσθαι. Τι-

---

1 Hesych. Phot. Suid. *πέτευρον* Poll. X 156. 57 22 Steph. Byz. *Μίδεια* Eust. 270, 45

---

4 *κεραμίων* T 5 *αὐτοὶ* GPT 6 *αἰθαλόεντος* Hom. 10 *διδαχθείη* tacite Ziegler: *-θῇ* cod. 11 *οἰκείαν* L 14 *αὐτόθι* codd., corr. Duebner *ὡς παραυτόθεν* Ahrens: *ὥσπερ αὐτόθεν* codd. 19 *τῇ Ἀργοῖ* Wilamowitz: *τῷ ἱερῷ* cod. 22 *Μίδεια* Ahrens 26 *Φόρκου* Meineke *Men. et Philem. rell. 1823, 141*: *Ὅρκου* codd. *καλεῖσθαι* K: *κεκλῆσθαι* cett.

μοσθένης (fgm. 26 Wagner *Die Erdbeschr. d. Tim. von Rhodus, Diss. phil. Lips. 1888, 69*) δέ φησιν ἀπὸ τοῦ Ἱεροῦ ὡς κε′ σταδίους εἶναι νησίδιον σκοπελῶδες, καλεῖσθαι δὲ τὰς τούτου
K ἄκρας Κυανέας. b. καὶ τὸ μὲν νησίδιον τῆς Εὐρώπης, ἡ δὲ ἄκρα τῆς Ἀσίας, ἀπέχουσι δ' ἀλλήλων σταδίους κε′.

KUΓEAPT c. συνδρομάδων: διὰ τὸ συντρέχειν καὶ συνέρχεσθαι ἀλλήλαις καὶ συνθραύειν τὰς διαπερώσας ναῦς. μόνην δέ φασι τὴν Ἀργὼ προνοίᾳ τῆς Ἀθηνᾶς διαβεβηκέναι.

K d. ἀφ' οὗ τότε: ὥσπερ εἱμαρμένον ταῖς Συμπληγάσι πέτραις, ὡς, εἰ διαβαίη τις ἅπαξ αὐτὰς ἀβλαβής, καὶ τὸ μετὰ ταῦτα μηδένα τι πάσχειν δεινόν. ἐξ ἐκείνου οὖν τοῦ χρόνου, ἀφ' οὗ ἡ Ἀργὼ διέβη, ἔστησαν τῆς συνδρομῆς.

UΓEAPT e. ἦν δὲ πεπρωμένον ταῖς Συμπληγάσι πέτραις, ὡς, εἰ διαβαίη τις μία ναῦς αὐτὰς ἀβλαβῶς, ἐξ ἐκείνου τοῦ χρόνου στῆναι. διὸ καὶ ἔστησαν τῆς Ἀργοῦς διαβάσης.

EᴱA f. συνδρομάδων: συνέκρουον γὰρ αἱ Συμπληγάδες πέτραι, ἤγουν αἱ Κυάνεαι, τὰς ναῦς. μετὰ τὸ περαιωθῆναι δὲ τὴν Ἀργὼ ἐκεῖσε ἔπαυσαν.

KUEABPT 24. Φᾶσις πόλις καὶ ποταμὸς ἐν Κόλχοις ὁμώνυμος, παρ' ὃν Ἕλληνες Μιλησίων ἄποικοι.

K 25—28 a. Πελειάδες: αἱ Πλειάδες. φησὶ Καλλίμαχος (fgm. 381 Schneider, II 572), ὅτι τῆς βασιλίσσης τῶν Ἀμαζόνων ἦσαν θυγατέρες ⟨ἑπτά⟩, αἳ Πλειάδες καὶ Πελειάδες προσηγορεύθησαν. πρῶτον δ' αὗται χορείαν καὶ παννυχίδα συνεστήσαντο παρθενεύουσαι. ὁ δὲ νοῦς· καθ' ὅν, φησί, καιρὸν ἀνατέλλουσιν αἱ Πλειάδες θάλλει τε πᾶσα ἡ γῆ ταῖς βοτάναις τοῦ ἔαρος, τηνικαῦτα τοῦ ἀπόπλου ἐφρόντιζον. τὰ ὀνόματα

---

4 Strab. VII 319 sch. Lyc. 363, 17 Scheer 19 Steph. Byz. Φᾶσις

---

2 ὡς κε′ Wilamowitz e sch. b: ὡς εἰς ι′ K: ὡσεὶ cett. 3 καὶ pro verbis σκοπελῶδες καλεῖσθαι δὲ K 11 μηδέν cod., corr. Wilamowitz 19 πόλις ἣ ποτ.—ὃν K: ποτ. καὶ πόλις—ἣν cett. 23 suppl. Wilamowitz καὶ idem: αἳ cod.

τῶν Πλειάδων· Κοκκυμώ, Γλαυκία, Πρῶτις, Παρθενία, Μαῖα, Στονυχία, Λαμπαδώ.

b. θεῖος ἄωτος: ἄωτος τὸ ἀπάνθισμα τῶν ἡρώων, οἷον οἱ πρῶτοι τῶν ἡρώων.

c. Πελειάδες: περὶ ἀνατολήν, φησί, τῶν Πελειάδων ἤρξαντο στέλλεσθαι τὸν πλοῦν καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Κόλχους. ἔστι δὲ ὁ καιρὸς ἀρχομένου τοῦ θέρους, διὸ καὶ ἐπήγαγε τετραμμένου εἴαρος, τουτέστι λήξαντος. UEAQPT

d. θεῖος ἄωτος: τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων. καὶ εἴρηται ἄωτος ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνεῖν καὶ ὀδωδέναι.

29. ⟨νότῳ τρίτον ἅμαρ ἀέντι:⟩ διὰ τριῶν ἡμε- ρῶν νότου πνέοντος. $K^m L^E U^E E^E P^m$

30 a. εἴσω δ' ὅρμον: καθωρμίσθησαν ἐν τῇ Προπον- τίδι κατὰ τὴν Κίον, τὴν νῦν καλουμένην Προῦσαν, ἔνθα τὰ κατὰ τὸν Ὕλαν ἦν [ἔνθα] καὶ Ἡρακλῆς ἀπὸ τῶν ἡρώων ἀπελείφθη. KUEAQPT

b. Κιανῶν: ⟨Κιανοὶ⟩ οἱ τὴν Κίον κατοικοῦντες γεωργοί. ἔστι δὲ πόλις τῆς Μυσίας, ἡ νῦν καλουμένη Προῦσα ἀπὸ τοῦ ⟨τῶν⟩ Βιθυνῶν βασιλέως Προυσίου. Κίος δὲ ἀπὸ Κίου τοῦ υἱοῦ Ὀλύμπου, ἀφ' οὗ τὸ ὄρος ὁ Ὄλυμπος. K

c. ⟨Κιανῶν:⟩ τῶν κατοικούντων περὶ τὴν Κίον ἀν- θρώπων. $L^E U^E E^E P^m$

[31.] σπουδαίως σύρουσι.

32. κατὰ ξυγὰ δαῖτα πένοντο: ἤγουν σύνδυο εἰς τὰ περὶ τροφὴν ἠσχολοῦντο. $L^E U^E E^E Q P^m$

10 Et. M. 117, 50 (cf. Gen.) Eust. 949, 1; 1429, 9 14 Strab.

2 Στ. et Λ. nomina suspecta 3 altero loco ἄωτος (ἄωτον cod.) deleri vult Ziegler ἀπ. τῶν ἡρώων Duebner: ἀπ. τῶν ἀνθῶν cod. 9 l. om. UEP 14 ὅθεν τὰ GP 15 ἦν Wilamowitz: ἢ codd. ἔνθεν GP, del. idem 16 ἀπελείφθη K: κατέλειφθεν UEAP: καταλέλειφθεν G: κατελείφθη T 17 suppl. Call. 18 τῆς νῦν καλουμένης Προύσης cod., emend. Ziegler 19 suppl. Call. Βιθυνῶν Warton et Toup: Ἀθηνῶν cod. 21 κατοικ. om. LUP 23 hunc interpretem εὖ ῥύοντι legisse subveniente Duebnero Ahrens indagavit; exspectares εὖ ῥύονται 25 τὸ LUE

K 34 a. στιβάδεσσιν⟨ὄνειαρ⟩: τὸν λειμῶνα, παρόσον ἐποίουν τὰς στιβάδας ἐκ τῆς ἐν τῷ λειμῶνι φυομένης ὕλης. στιβάδα δὲ καλοῦσι τὴν ἐξ ὕλης χορτώδη κατάστρωσιν.

$L^{s}U^{s}E^{s}P^{m}$ b. ⟨μέγα στιβάδεσσιν ὄνειαρ:⟩ ἐπιτήδειος εἰς στρωμνήν.

$L^{s}U^{s}E^{s}GP^{m}$ 37. ἀστεμφεῖ Τελαμῶνι: τῷ στερεῷ καὶ ἐμβριθεῖ τὴν ψυχήν, ἀκαμπεῖ καὶ σκληρῷ οἱονεὶ ἀστρεφεῖ.

$L^{s}U^{s}E^{s}P^{m}$ 39. ἄγγος ἀπὸ τοῦ ἄγεσθαι ἐν αὐτῷ τὸ ὕδωρ.

K 40 a. ἡμένῳ ἐνὶ χώρῳ: ἀντὶ τοῦ ἐν ταπεινῷ τόπῳ ἀπὸ τοῦ ἧσθαι τὸ καθέζεσθαι μεταφορικῶς.

UEAGPT b. θρίον κυρίως τὸ τῆς συκῆς φύλλον παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι, τρίον καὶ θρίον. ἀπ' αὐτοῦ καὶ θρίαμβος· οἱ γὰρ παλαιοὶ προπομπὴν ποιοῦντες φύλλα συκῆς ἐκρέμων τῇ προπομπῇ καὶ ἔβαινον.

K 41 a. κυάνεόν τε χελιδόνιον: ἤτοι κυανοῦν καθ' ἑαυτό. ἔστι δὲ εἶδος φυτοῦ πολύφυλλον μελανόχροιον. καλεῖται δὲ χελιδόνιον, ὅτι ἅμα τῇ παρουσίᾳ τῆς χελιδόνος ἀνθεῖ.

b. ἀδίαντον: εἶδος ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα, λιπαρὰ δὲ καὶ μέλανα, τὰ κλωνία σπιθαμιαῖα τὰ μέγιστα. καυλὸν δ' οὐκ ἔχει οὐδὲ ἄνθος οὐδὲ καρπόν, ῥίζαν δὲ ἄχρηστον καὶ λεπτήν. καλεῖται δὲ οὕτως παρὰ τὸ μὴ δεύεσθαι

XII 564 Steph. Byz. *Προῦσα* sch. Apoll. Rhod. I 1177. 1346 Et. M. 512, 37 (cf. Gen.) Eust. Dion. Per. 805

8 Et. M. 6, 51 (cf. Gen.) Et. Or. 14, 17 11 Et. M. 455, 20. 45 (cf. Gen.) Et. Gud. 264, 38; 265, 10 Sturz Et. Or. 72, 18 Hesych. Phot. Suid. *θρία* Suid. *θρίαμβος* sch. Ar. Equ. 950 sch. Nic. Al. 495. 347 Epim. (Cram. An. Ox. II 376, 13) Ecl. (ib. 449, 1) 16 Theophr. Hist. plant. VII 15, 1 Diosc. Mat. med. II 180 Plin. Hist. nat. XXV 90 sch. Nic. Th. 857 18 Theophr. Hist. plant. VII 14, 1 Diosc. Mat. med. IV 134 Plin. Hist. nat. XXII 62 sch. Nic. Th. 846 21 Hesych. Phot. *ἀδίαντον* Lex. Bachm. 29, 15 Eust. 1231, 27

---

1 suppl. Call. 8 *ἄγεσθαι* restitui ex Et.: *ἄγχεσθαι* P: *ἐγχεῖσθαι* cett. vocem *ἔγχος* potius explicantes 10 *τὸ καθ.* Apogr. Barb.: *τοῦ καθ.* verbis *τοῦ ἧσθαι* superscripsit K 15 *κυανοῦν* scripsi: *κυανὸν* cod. 18 *εἶδος* scripsi: *ἄνθος* cod. 19 *τὰ κλωνία* in cod. est post *λιπαρὰ δέ*, transposui

ὕδατι, ἐπεί, ἐὰν ἐπιχεύηται ὕδωρ ἐπὶ τῶν φύλλων, οὐ μένει, ἀλλ' ὀλισθαίνει· δεῦσαι γὰρ τὸ βρέξαι.

c. χελιδόνιον: φυτάριον πλατύφυλλον, μέλαν ὡς ἡ UEABPT χελιδών, ⟨ἣ⟩ ὃ ἅμα τῷ φανῆναι τὴν χελιδόνα ἀνθεῖ.

d. καὶ τὸ ἀδίαντον δέ ἐστι διαπαντὸς ἄβροχον καὶ ταχέως UEAP ὡς ξηραινόμενον, κἂν ὕδωρ αὐτῷ ἐπιβληθῇ καὶ ἐπιχεθῇ, διολισθαίνει.

e. ἔστι δὲ ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα καὶ UEABPT μέλανα. καυλὸν δ' οὐκ ἔχει οὐδὲ ἄνθος οὐδὲ καρπόν, ῥίζαν δὲ μόνον ἄχρηστον καὶ λεπτήν.

f. τὸ ἀδίαντον βοτάνη ἐστὶν ἀεὶ ἄβροχος. ὅθεν καὶ τὸ ὄνομα, ἀπὸ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ διαίνω τὸ βρέχω, ἤγουν τὸ μηδόλως βρεχόμενον διὰ τὸ εἶναι ὀρθόν τι καὶ ὀξὺ καὶ γλίσχρον.

42 a. εἰλιτενὴς ⟨ἄγρωστις⟩: ἡ εἰλουμένη ἀπὸ τῆς K βλαστήσεως κισσοειδῶς. ἔστι δὲ πρασοειδὴς βοτάνη.

b. ⟨εἰλιτενὴς⟩ ἄγρωστις: ἡ συνεστραμμένη, καθὸ εἰ- UEAPT λεῖται ἐπὶ μῆκος καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς. ἄγρωστις δέ ἐστιν ἡ παρὰ τοῖς γεωργοῖς ἀγρία καλουμένη.

c. τὴν ἄγρωστιν ἄλλοι φασὶ βοτάνην πρασοειδῆ, ἣν ἰδιωτικῶς φασι κολλητζίδαν.

---

15 Et. Gen. (Et. M. 299, 17): εἰλιτενὴς (-γενὴς A) ἄγρωστις· Θεόκριτος· 'καὶ εἰλιτενὴς ἄγρωστις'. ἡ ἐν τοῖς ἕλεσι τεινομένη (γινομένη codd., em. Meineke)· ῥιζοβόλος γὰρ καὶ (ἡ codd., corr. Wordsworth) ἐπιπολὺ διϊκνουμένη, πλεονασμῷ τοῦ ῑ (in cod. A desunt verba Θεόκρ. — ἄγρωστις et ῥιζοβόλος seqq.) Et. Gen. (Et. M. 330, 38) cit. ad sch. I 30 b Hesych. ⟨ε⟩ἰλιτενής· κισσὸς ἄκαρπος. sch. Soph. Ant. 826 19 Hesych. Suid. ἄγρωστις Eust. 1553, 36

---

3 ὡς ἡ GP: ὡσεὶ cett. 4 suppl. Hemsterhuys τὴν χελιδόνα Reiske: τῇ χελιδόνι codd. 6 κἂν Piccolos: καὶ codd. 10 μόνην UEA 15 addidi 17 suppl. Call. 19 verba ἄγρωστις—καλουμένη alteram scholii partem praecedunt in U 21 κολλητζίδαν T: -ίδα cett.

K 43. *χορὸν ἀρτίζοντο: συνέβη, φησί, καθ' ὃν καιρὸν ἦλθεν ἀντλῆσαι, τότε τὰς Νύμφας αὐτόθι χορείαν συστήσασθαι.*

UEABPT 44. *δειναὶ θεαὶ ⟨ἀγροιώταις⟩: παρόσον φόβον ἔσθ' ὅτε αὐτοῖς ἐγγεννῶσί τε καὶ ἐπάγουσιν, ὅθεν καὶ νυμφολήπτους τινάς φαμεν [καὶ οἱ νυμφόληπτοι].*

UEABP 45. *⟨ἔαρ θ'⟩ ὁρόωσα: ἱλαρὸν καὶ ἡδὺ βλέπουσα, ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος.*

UEAPT [46 a.] *κρωσσὸς τὸ ἀγγεῖον — μέγα, κροσσὸς δὲ ὁ τοῦ πύργου καὶ ὁ τοῦ ἱματίου — μικρόν.*

$L^{s}U^{s}E^{s}P^{s}$ b. *ἐπέβαλε τῷ ὕδατι πολυχώρητον ὑδρίαν.*

K 47. *πᾶσαι ἔφυσαν: ὁ μὲν κατένευσεν ἀντλῆσαι, καὶ πᾶσαι τῆς χειρὸς αὐτοῦ ἐπελάβοντο.*

48. *πασάων γὰρ ἔρως: πάσας, φησίν, ὁ πρὸς αὐτὸν πόθος εἶχεν εὐθύς. συμφωνεῖ δὲ τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος* (I 1234 sqq.) *καὶ Νίκανδρος* (fgm. 48 Schneider, p. 57). *ὁ μέντοι Ὄνασος ἐν Ἀμαζονικοῖς φησιν αὐτὸν εἰς τὴν κρήνην πεσεῖν καὶ ἀποθανεῖν.*

K 49—52 a. [*Ἀργείῳ ἐπὶ παιδί:*] *κατηνέχθη, φησίν, ὁ*

---

8 Eust. 600, 23; 603, 22; 976, 28 10 Hesych. *πολυχανδέα: πολλὰ χωροῦσαν.* 13 sch. Apoll. Rhod. I 1236: *Θεόκριτος ἐν τοῖς Βουκολικοῖς ἐν τῷ Ὕλᾳ ἐπιγραφομένῳ ὑπὸ πασῶν φησιν αὐτὸν τῶν Νυμφῶν ἡρπάσθαι. Ὄνασος δὲ ἐν τῷ α΄ τῶν Ἀμαζονικῶν πεσόντα τὸν Ὕλαν φησὶν ὑποβρύχιον γενέσθαι. καὶ Νίκανδρος ἐν τῷ δευτέρῳ τῶν Ἑτεροιουμένων ὑπὸ πασῶν φησιν αὐτὸν ἁρπαγῆναι Νυμφῶν. ὁ δὲ Ἀπολλώνιος ὑπὸ μιᾶς.* ib. I 1207: *Ὄνασος ἐν πρώτῳ Ἀμαζονικῶν ἀληθέστερον τὴν ἱστορίαν ἐκτίθεται, οὐχ ἡρπάσθαι αὐτὸν ὑπὸ Νυμφῶν, ἀλλὰ κατηνέχθαι εἰς κρήνην καὶ οὕτως ἀποθανεῖν.* Philarg. Verg. Buc. VI 43: alii dicunt eum aquatum ad puteum sive fontem isse ibique praecipitem lapsum periisse. quidam vero a nymphis adamatum raptum esse ac numquam apparuisse. sch. Bern. ib. Serv. Verg. Aen. I 619

---

3 suppl. Ahrens 5 praeterm. Call. 6 suppl. Call.
[illegible]t. *ἐν ⟨α΄⟩ Ἀμαζονικῶν* 19 l. falsum seclusi

Ὕλας εἰς τὸ ὕδωρ, ὡς ἀστὴρ ἄνωθεν ἐξ οὐρανοῦ κατενεχθείη, ὃς σύμβολον γένοιτ' ἂν ναύταις ἀνδράσι δεξιοῦ πλοῦ καὶ παραινετικὸς ὡς πρὸς τὸ συμπαρασκευάζεσθαι τὴν ταχίστην τὸν ἀπόπλουν. κατὰ καιρὸν δέ φησι καὶ προσφόρως τῷ πράγματι.

b. *πυρσὸν ὠνόμασε τὸν ἀστέρα τὸν Ὕλαν προφαίνων δηλονότι· καὶ ὁ Ὕλας πῦρ ἦν ἄντικρυς ἐπιφανεὶς ταῖς Νύμφαις ἐρωτικῶς φλέγων αὐτάς.*

c. *κουφότερ' ὦ παῖδες: εὔλυτα καὶ εὐτρεπῆ ποιεῖτε* KUEABPT *τὰ ἱστία· οὔριον γὰρ ἐπιγενήσεται πνεῦμα — ὡς τοιούτου ὄντος σημείου, ἐπὰν πέσῃ ἀστήρ.*

54. *παρεψύχοντ' ἐπέεσσι: παρεμυθοῦντο χαριέντως.* KL^{s}U^{s}E^{s} *βουκολικῶς τὸ παρεψύχοντο ὡς ἐπὶ τῶν πηγῶν.*

56 a. *ᾤχετο Μαιωτιστί: ἀντὶ τοῦ Σκυθιστί· Μαιῶται* K *γὰρ ἔθνος Σκυθικὸν παροικοῦν τὴν Μαιῶτιν λίμνην, τοξικώτατον. Σκυθικοῖς δὲ ὅπλοις ἐχρήσατο Ἡρακλῆς, ὥς φασιν Ἡρόδωρος* (fgm. 5 Mueller *Fgm. hist. gr. II 29*) *καὶ Καλλίμαχος* (fgm. 365 Schneider, II 566).

b. *ᾤχετο Μαιωτιστί: ἤτοι Σκυθιστί· Μαιῶται γὰρ οἱ* UEABPT *Σκύθαι οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ ὁ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου.*

58—60 a. *ἀραιά: λεπτή, ἀσθενής. οὐχ ὡς κατὰ φύσιν* KL^{m}U^{r}E^{m}AT *ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος, ἀλλ' ἢ ἐν βάθει ὄντος ἢ ὑπὸ τῶν Νυμφῶν κατεχομένου.*

b. *εἴδετο πόρρω: ἄγαν ἐγγὺς ὢν πόρρωθεν ἐδόκει* KUEABPT

---

20 Lycophr. 56 sch. Lyc. 40, 27; 169, 4 Scheer

---

2 *δεξιὸς πλοῦς* cod., emendavi 3 *συμπαρασκευάζεσθαι* scripsi: *ζῆν παρασκευάζεσθαι* cod. 8 *καὶ* om. **K** *εὐπρεπῆ* **KGPT** 11 **LU(E)** haec: *παρ. χαρ. δὲ ὡς ἐπὶ πηγῆς φησιν* 16 *Ἡρόδωρος* Hemsterhuys: *Ἡρόδοτος* cod 19 *οἱ* ante *περιοικ.* om. **UEAPT** 22 *λεπτ. ἀσθ.* om. **AT**, inter lineas habent **LUE** 23 *ἀλλ' ἢ ἐν β. ὄντος ἢ ὑπὸ τ. N. κατεχόμενος* (corr. Brubach. in marg.) **K**: *ἀλλ' ἐν β. ὄντος τῷ* (τὸ **UT**) *κατέχεσθαι ὑπὸ τ. N.* cett. 25 *ὁ ἄγαν* **K** *πόρρω* **KET**

ἀκούειν διὰ τὸ λεπτὴν αὐτοῦ καὶ ἀμαυρὰν φέρεσθαι τὴν φωνήν.

K c. ⟨τρὶς — τρίς:⟩ ἢ ὡμοίου τὸν Ὕλαν ἢ αὐτὸς ὡμοιοῦτο.

$L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}P^{m}$ d. ⟨ἤρυγε:⟩ ἀνέπνευεν· ἐρυγὴ γὰρ ἡ πνοή.

K 62—65 a. νεβρῷ φθεγξαμένας: οὐκ ἤρτηται, ⟨ἀλλὰ⟩ καθ' ἑαυτό. διασαφηνιστέον δὲ οὕτω· νεβροῦ φθεγξαμένου λέων τις κατ' ὄρος ᾐσθημένος καταλιπὼν τὴν εὐνὴν ὀξέως ἂν ἐπιδράμοι πρὸς τὴν βορὰν ἐπειγόμενος· τοιούτῳ δὴ τῷ θυμῷ καὶ Ἡρακλῆς τότε συσχεθεὶς περιήει τὴν ὕλην τὸν Ὕλαν ἀναζητῶν.

UEAQP b. ὥσπερ νεβροῦ φθεγξαμένης ἐκ κοίτης λέων ἀκούσας σπεύδει ἐπὶ τὴν ἑτοίμην τροφὴν αὐτοῦ.

$L^{\varepsilon}U^{\varepsilon}E^{\varepsilon}Q P^{m}$ 67. ⟨ὕστερα:⟩ τῷ Ἡρακλεῖ τῆς ἀναζητήσεως τοῦ Ὕλα.

K 68. ναῦς μὲν γ' ἄρμενα: ἐν ... ναῦν Ἀργὼ φησι κατασκευάσασθαι. ἡ μὲν ναῦς τὰ σιτία καὶ τὰ προσήκοντα φέρουσα μετέωρα τῶν ἐνόντων.

69. ἵστια δ' ἠΐθεοι: τὰ δὲ ἱστία μεσούσης νυκτὸς ἐξεκάθαιρον, ἐξήπλουν μένοντες τὸν Ἡρακλέα· τὸ γὰρ ἐξαπλῶσαι ἐκκαθῆραι λέγουσιν.

70. ὃ δ' ᾗ πόδες: ὁ δ' Ἡρακλῆς, ὅπου οἱ πόδες αὐτὸν ἦγον, ἐκεῖ ἐπορεύετο.

72. οὕτω μὲν κάλλιστος: ἐπειδή, φησίν, ἐλείφθη παρὰ τοῦ Ἡρακλέους, ὁ Ὕλας ἐναρίθμιός ἐστι τοῖς θεοῖς.

UEAPT 73. λιποναύταν: καθάπερ λιποτάκτην.

$U^{\varepsilon}E^{\varepsilon}P^{\varepsilon}$ [74 a.] ⟨ἠρώησε:⟩ κατέλειψεν, ἐξέφυγεν, ἀπὸ τοῦ ἐρωῆσαι.

KUEAPT b. τριακοντάζυγον Ἀργώ: λ' ἔχουσαν καθέδρας ἐρετῶν, ὡς ξ' εἶναι τοὺς πλέοντας.

---

1 φαίνεσθαι K 3 l. addidi αὐτὸ cod., correxi 5 add. Vahlen *Opusc. acad. I 306* 6 ἑαυτόν cod., tacite corr. Ziegler 13 l. falsum ἁλώμενος dat G 14 locus evanidus. videor mihi legere πρῶ χρ (formae cuiusdam vocis χρόνος compendium) πρώτ. εκ . . ., apographa nihil nisi πρωτ habent 17 ἐξεκάθαιρον tacite Ziegler: -ηρον K: -ηραν Apogr. Barb. 24 λειποbis UEAP 25 ἀπὸ seqq. om. UP ἐρωῆσαι Brubach. in marg. ἀραιῶσθαι E 27 ὡς ξ' εἶναι ἐρετῶν τοὺς καθεύδοντας τοὺς (καὶ pro τοὺς T) πλ. PT

75 a. *πεζᾷ δ' ἐς Κόλχους*: *τοῦτο ἰδίως ὁ Θεόκριτος* K
λέγει, ὅτι πεζῇ ἦλθεν εἰς Κόλχους, τῶν ἄλλων λεγόντων μὴ παραγενέσθαι, ἀλλὰ κατὰ βουλὴν τῆς Ἥρας ἀπολειφθῆναι, ἵνα δόξῃ Ἰάσων κατωρθωκέναι τὸν ἆθλον.

b. *πεζᾷ δ' εἰς Κόλχως*: *ἰδίως πεζόν φησι τὸν Ἡρακλέα* HEAPT
εἰς Κόλχους ἐλθεῖν. ἡ γὰρ πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς ὑπὲρ τοῦ τὸν Ἰάσονα κατορθῶσαι μόνον δοκεῖν τὸν εἰς Κόλχους πλοῦν καὶ μὴ ἐξιδιοποιήσασθαι τὸν ἆθλον αὐτοῦ.

c. *Μνασέας* (fgm. 31 Mueller *Fgm. hist. gr. III 154*) K
Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος.

II. *Φαρμακεύτριαι*

a. *Ὑπόκειται Σιμαίθα Δέλφιδος Μυνδίου τινὸς ἐρῶσα,* KEAQ
ὃν παιδικοῖς προσλιπαροῦντα ἐν παλαίστρᾳ ἡ Σιμαίθα φίλτροις τε καὶ φαρμάκοις διά τινος θεραπαίνης Θεστυλίδος ὑποδιακονουμένης ἐφ' ἑαυτὴν πειρᾶται μεταφέρειν, ἐπικαλουμένη τήν τε Σελήνην καὶ τὴν Ἑκάτην ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. τὴν δὲ Θεστυλλίδα ὁ Θεόκριτος ἀπει-

---

2 sch. Apoll. Rhod. I 1289 Apoll. Bibl. I 117. 18

---

1 *ἐς Κόλχους* tacite Ziegler: *ἐν Κόλχοις* cod. 3 *παραγίνεσθαι* cod., corr. Ziegler 8 *καὶ* post *δοκεῖν* in libris, transp. Call.

Tit.: *Φαρμακεύτριαι* Athen. XI 475 e; Eust. 1767, 20: *Φ-αι δωρίδι* K: *Φ-αι δωρίδι. ποιεῖται τὸν λόγον πρὸς τὴν δούλην* A: *Φ-α* Serv. Verg. Buc. VIII 1. 21: *Φ-α δωρίδι* GP: om. E 13 *Μυθίου* K 14 *παιδικοῖς* KG: *-ῷ* cett. *προσλιπαροῦντα* scripsi: *προλιπαροῦσα* G: *ἐκλιπαροῦσα* K: *προσταλαιπωροῦντα* cett. 16 *ἐφ'* K: *ὑφ'* cett. *μεταφέρειν* K: *μετάγειν* cett. 17 *ὡς — θεάς* om. K

ροκάλως ἐκ τῶν Σώφρονος μετήνεγκε Μίμων (fgm. 5 Kaibel *Com. gr. fgm. I 1, 155*)· ⟨. . .⟩.

KEA b. [καί μ' ἁ Θευμαρίδα:] ⟨. . .⟩ πρὸς τὴν Σελήνην καὶ τὴν Ἑκάτην φησί. ταύτας γὰρ συνεργοὺς εἰς τὴν περὶ τοῦ ἐρωμένου φαρμακείαν παραλαμβάνει. τὴν δὲ τῶν φαρμάκων ὑπόθεσιν ἐκ τῶν Σώφρονος Μίμων (fgm. 4 Kaibel *ib. 154*) μεταφέρει †ὑπο τε το . . . ὀφιγγα ὀρρο . . ποτὲ βληθέν†.

E^{g} 1 a. ⟨δάφναι:⟩ συνετέλουν γὰρ αἱ δάφναι ταῖς γοητείαις.

b. ⟨φίλτρα:⟩ τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα.

KEAG 2 a. στέψον: στεφάνωσον. κελέβη δέ ἐστι ποτήριον ξύλινον κυλικῶδες. Εὐφορίων ἐν Ποτηριοκλέπτῃ (fgm. 8 Scheidweiler *Diss. phil. Bonn. 1908, 25*)· Ἅστις ἐμὴν κελέβην Ἀλυβηΐδα μοῦνος ἀπηύρα'. Ἀλύβη ἐστὶν ὄνομα πόλεως.

b. οἰὸς ἀώτῳ: προβάτου ἄνθει ἀντὶ τοῦ ἐρίῳ. ὡς συνεργοῦντος δὲ τούτου πρὸς τὰς φαρμακείας τερατεύεται.

---

10 Et. M. 502, 14

---

2 lacunam, quam Duebner post ἀπειροκάλως statuerat, ad finem argumenti reieci; exspectatur enim, ut, quid in Thestylidis persona vituperandum sit, expressis dicatur verbis 3 hoc scholium, quod in libris ad v. 69 vel 70 refertur, argumenti deperditi partem puto; verba τὴν δὲ — μεταφέρει ex argumento fluxisse viderat iam Bethe *De Theocriti edd. antiquiss., Ind. schol. Rost. 1896, 11* l.: καί μ' ἁ Θ. (v. 70) **K**: φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο πότνα Σελάνα (v. 69) **E**(**A**) 4 συνεργεῖν εἰς τὰ — φάρμακα **K** rescr., apographa dant vulgatam lectionem κατὰ τοῦ ἐρωμ. Piccolos 5 Φαρμακευτριῶν Duebner, traditum defendit Kaibel 6 Σώφρονος Adert: εὐφορίωνος codd. 7 quae post μεταφέρει in **K** rescripta leguntur, desunt in **EA**. ἀπὸ τὲ τὸν στρόφιγγα κτλ. apographa. latent fortasse ipsius Sophronis verba 8 γοητείαις Sanctamandus: γοητρίαις cod. 9 φιλίαν cod. Genevensis teste Aderto: φίλον **E** 10 στέψον τὴν κελέβην· στεφάνωσον τὴν κεφαλήν (κελέβην Call.) **EAG** κελέβη δέ ἐστιν ὄνομα πόλεως· ἔστι δὲ καὶ ποτήριον κτλ. **K** omissis ultimis inde ab Ἀλύβη 11 ἐν ποτηριοκλέπτῃ ἢ ὁ ποτηριογλύπτης **EA**(**G**): ὁ ποτηρογλύπτης **K** 12 ἐμὴν **K**: ἐμεῦ cett. 13 μοῦνος Steph. Byz. s. Ἀλύβη: μοῦνον codd. Theocr. Ἀλύβη Hemsterhuys: ἄλλως κελεύη **EAG** 15 θεραπεύεται **K**

3. καταθύσομαι: γράφεται καὶ ⟨καταδήσομαι, ἤγουν⟩ καταμαγεύσω· δεσμεύειν γάρ φασιν αἱ φαρμακίδες, ὅταν πρὸς κατοχήν τινα παρ' αὐταῖς καταμαγεύσωσιν.

6. ⟨ἀνάρσιος:⟩ ὁ εἰς φιλίαν ἀνάρμοστος. E^{E}

10 a. ⟨ἐκ θυέων:⟩ ἐκ τῶν θυσιῶν, μαγειῶν· θύος γὰρ τὸ θῦμα.

b. ἀλλὰ Σελάνα: *Πίνδαρός* (fgm. 104 Schroeder *Poet. lyr. gr. I*^{5} *423*) φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενείων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται ⟨παρ⟩εῖναι Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην. KEAG

c. ταῖς ἔρωτι κατεχομέναις τὴν Σελήνην ἀνακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης ποιεῖ τὴν Φαίδραν ἐν τῷ Καλυπτομένῳ Ἱππολύτῳ (Nauck *Trag. gr. fgm.*^{2} *491*). παρ' ἣν δὲ αἰτίαν τοῦτο ἔπραττον, ἔνιοί φασιν, ὅτι ἐπειδὴ σιγηλὴ ἡ νύξ, δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς καὶ νυκτός. *Μένανδρος* (fgm. 739 Kock *Com. att. fgm. III 209*)· ‘ὦ νύξ, σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης’. ἢ ὅτι καὶ ἡ Σελήνη περὶ ἐρωτικά τινα ἐνενοσήκει, παρὸ καὶ ταῖς τῷ αὐτῷ πάθει κεχρημέναις συμπράσσει· τὰ γὰρ περὶ Ἐνδυμίωνα πρόδηλα. ἢ ὅτι διάπυρος ἡ θεός, καὶ τὸ πάθος δὲ τοιοῦτον, εἰ καὶ ‘ἠπεδανὴ ταῖς φλοξίν’, ὥς φασιν.

11/12 a. ἥσυχα, δαῖμον: σοὶ γὰρ καλὸν ὕμνον προσυμνήσω, ὦ Σελήνη, καὶ τῇ Ἑκάτῃ. χθονίαν δὲ τὴν Ἑκάτην KAG

---

2 Harp. Suid. καταδεδέσθαι 22 sch. a et b ad Apollodorum Atheniensem refert Hefermehl *Studia in Apoll. περὶ θεῶν fgm. Genev., Diss. ph. Berol. 1905, 27, n. 5*

---

1 γράφ. καὶ om. K suppl. Hamaker, Toup *Cur. post. 6* καταδήσομαι pro καταμαγεύσω reponi voluerat 9 παρεῖναι Bergk *Poet. lyr. gr. I*^{3} *314*: εἶναι codd. καὶ ante Ἥλιον add. EAG 11 τὰς—κατεχομένας—μετακαλεῖσθαι K 12 ποιεῖ K: φησὶ cett. κατακαλυπτομένῳ EG 15 καλυπτομένοις A ante corr., G ἔρωτι EA 17 δὲ pro δὴ K 19 τὰ δὲ K 20 ἡ (ὃ Apogr. Barb.) καὶ K ἠπεδανὴ Ahrens: -ὸν K: -οῖ cett. 22 ἀκαλὸν (Hesych. s. v., Et. M. 44, 29) vel ἤκαλον (Et. M. 424, 16) cautissime prop. Ahrens 23 καὶ Ἑκάτῃ K

φησί, παρόσον Περσεφόνης τροφός, ἢ παρόσον ⟨νερτέρων⟩ πρύτανιν αὐτὴν τέθεικε Σώφρων (fgm. 7 Kaibel *Com. graec. fgm. I 1, 155*).

EAG b. τᾷ χθονίᾳ θ' Ἑκάτᾳ: τὴν Ἑκάτην χθονίαν φασὶ θεὸν καὶ νερτέρων πρύτανιν, καθὰ καὶ Σώφρων (v. supra, cf. ib. p. 161)· Ἥραν μιχθεῖσαν Διὶ γεννῆσαι παρθένον, ὄνομα δὲ αὐτῇ θέσθαι Ἄγγελον. ταύτην δὲ μετὰ τὴν γέννησιν [ὑπὸ] ταῖς Νύμφαις δοθῆναι παρὰ τοῦ Διὸς τρέφεσθαι. αὐξηθεῖσαν δὲ κλέψαι τὸ τῆς Ἥρας μύρον, ᾧ τὸ πρόσωπον αὐτῆς ἐθὰς ἦν χρίεσθαι, καὶ δοῦναι Εὐρώπῃ τῇ Φοίνικος θυγατρί. αἰσθο- 10

UEAG μένην δὲ | τὴν Ἥραν ἐφορμῆσαι βουλομένην αὐτὴν κολάσαι. τηνικαῦτα μὲν τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας οἶκον καταφυγεῖν, ἐκεῖθεν δὲ πρὸς ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν μὲν Ἥραν ἀποστῆναι, τὸν δὲ Δία τοὺς Καβείρους κελεῦσαι ἀναλαβόντας καθᾶραι αὐτήν. ἐκείνους δὲ ἐπὶ τὴν Ἀχερουσίαν λίμνην ἀπαγαγόντας ἁγνίσαι. ὅθεν τὴν θεὸν ἀποκεκληρῶσθαι τοῖς τεθνεῶσι καὶ καταχθονίοις φασίν. 15

KUEAG c. τᾷ χθονίᾳ Ἑκάτᾳ: Καλλίμαχος (fgm. 556 Schneider, II 691) κατὰ λέξιν ὧδέ φησιν· 'τῇ Δήμητρι μιχθεὶς ὁ Ζεὺς τεκνοῖ Ἑκάτην διαφέρουσαν ἰσχύϊ καὶ μεγέθει τῶν θεῶν'. ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς Περσεφόνης ζήτησιν ⟨. . . διὸ⟩ καὶ νῦν Ἄρτεμις καλεῖται καὶ Φύλαξ καὶ Δαδοῦχος καὶ Φωσφόρος καὶ Χθονία. 20

---

18 sch. c Apollodoro dat L. Malten *Herm. 45, 1910, 550 n. 1* 22 Hesych. *φυλάδα*

---

1 ⟨νερτέρων⟩ πρύτανιν Adert: πρυτανεῖον **K**: -είαν **A**(G) 2 τέθεικε Σώφρων **K**: κέκληκε **AG** 7 ὑπὸ del. Jacobs (p. XXXIV), φασι in eius loco ponit Brub. in marg. 9 ἐθὰς Ahrens: ἠθὰς Duebner: ἔθος **AG**: ἡ θεὸς **E** 11 καὶ ante ἐφ. add. **UEA** 18 Καλλ.—φησιν om. **UEAG** 19 κατὰ λέξιν ὧδέ φησιν Reitzenstein *Ined. poet. graec. fgm. III, Ind. lect. Rost. 1892/93, 23*: κατὰ λέξιν φησὶν οὕτως Schneider: καταλέξω δέ φησι **K** 20 τῶν θεῶν om. **K** 21 ἀναζήτησιν **UEAG** 22 verba φησίν. διὸ suppl. Reitzenstein, φασιν Schneider addiderat. cf. Malten l. l. 549 Φύλαξ **K**: φυλακὴ cett. 23 ἡ Χθ. pro καὶ Χθ. **K**

d. *τὰν καὶ σκύλακες: διὰ τὸ σκύλακας ἐκφέρεσθαι δεῖπνα τῇ Ἑκάτῃ. Ἀριστοφάνης ἐν Δαιταλεῦσι* (fgm. 204 Kock *Com. att. fgm. I 443*)*· 'τί δαί; κυνίδιον [λεπρὸν] λευκὸν ἐπρίω τῇ θεᾷ εἰς τὰς τριόδους;'* UEAG

13. *ἠρία: οἱ τάφοι κοινῶς παρὰ τὸ ἐνηρεῖσθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ὅ ἐστι γῆν.* KUEAG

14. *δασπλῆτι: ᾗ οὐκ ἄν τις πελάσειεν· ἢ διὰ τὸ δᾱ ἐπιτατικὸν πολυπέλαστε· ἢ ἀντὶ τοῦ πολεμική, ἵν' ἔγκειται ἡ δαΐς, τουτέστιν ἡ μάχη· ἢ ἡ προσπελάζουσα ταῖς δᾳσί, τουτέστι φωσφόρος, ἐπεὶ ἡ αὐτή ἐστι τῇ Σελήνῃ.*

---

1 sch. Lyc. 45, 25 Scheer (Sophr. fgm. 8 Kaibel *Com. gr. fgm. I 1, 155* Hesych. *ἄγαλμα Ἑκάτης. Ἑκ. ἄγ.* Lex. Bachm. 10, 17; 22, 3 Plut. Aet. Rom. 68, 280 b 5 Et. Gen. (Reitzenstein *Ind. lect. Rost. 1892/93, 25*, cf. Et. M. 437, 11): *ἠρία· διάφορος τόνος διάφορον ποιεῖ σημαινόμενον. ἐὰν μὲν προπαροξυτόνως, σημαίνει τὰ ἔρια κατὰ ἔκτασιν, ἐὰν δὲ παροξυτόνως ἠρία, σημαίνει τοὺς τάφους παρὰ τὴν ἔραν τὴν γῆν. τὸ παλαιὸν γὰρ ἐν τοῖς κοιλώμασι τῆς γῆς ἔθαπτον μήτε σιδήρῳ μήτε χαλκῷ κεχρημένοι. ἢ παρὰ τὸν ἀέρα, ἤγουν τὸν σκότον τὸν ἐπικείμενον τοῖς τεθνεῶσι. Θεόκριτος* ⟨. . . (poetae versum excidisse probavit Wilamowitz *Textg. 128 n. 1*) . . .⟩ *'πάντα δένδρεα καὶ ἠρία κεκμηώτων'. καὶ Καλλίμαχος· 'τίνος ἠρίον ἵστατε τοῦτο'.* Et. Gud. 248, 52 Sturz Et. Or. 70, 24 sch. T Ψ 126 sch. Apoll. Rhod. I 1165 Hesych. Harp. Phot. Suid. *ἠρία* 7 Et. Gen. (Et. M. 249, 6): *δασπλῆτις· ἡ Ἐρινύς. Καλλίμαχος* (*καλὸν* codd., corr. Schneider fgm. 534, II 677)*· 'δασπλῆτα Κορυβάς'. σημαίνει δὲ κυρίως τὸν δυσπροσπέλαστον, ᾧ οὐκ ἄν τις προσπελάσοι διὰ τὸν φόβον.* ⟨*ἢ*⟩ *παρὰ τὸ δᾱ* ⟨*ἐπιτατικὸν καὶ τὸ πελάζω* add. V, *ἢ τὴν ὀργὴν* falso AB⟩ *ἡ μεγάλως προσπελάζουσα, ἡ ἄγαν χαλεπὴ* [*ἐν* del. Sturz] *οἷς ἂν προσπελάσῃ. ἢ δασπλῆτις λέγεται ἡ Ἐρινὺς παρὰ τὸ πλήσσειν τοὺς ἁμαρτωλούς. Θεόκριτος δὲ Ἑκάτης αὐτὸ εἶναι ἐπίθετον λέγει.* sch. o 234 Apoll. Lex. Hom. 56, 20 Bekker Eust. 1780, 59 sch. Nic. Th. 610

---

3 *λεπρὸν* interpretamentum vocis *λευκὸν* esse docuit Sternbach *Wien. Stud. VIII 1886, 257*, cum Toup ex parte contraria *λευκὸν* eiecisset 5 *κοινῶς* om. K *ἐνηρεῖσθαι* Piccolos: *ἐνηρίσαι* codd.: *ἐνεῖρθαι* Ahrens 6 *γῆν ἢ ἐστιν ἱερά* UEAG 7 *ᾗ—πελάσειεν* K: *ἢ ἣν—διαπελάσειεν* cett. 8 *πολεμική* K: *-ήν* cett. 9 *ἢ* ante *ἡ προσπ.* om. UEAG *ταῖς δᾳσί* K: *τὰς δάδας* cett. 10 *φωσφορική* K

15/16 a. *φάρμακα*: *ἔτι καὶ νῦν ἐν τῷ Σεληναίῳ ὄρει ὅλμους δεικνύουσι τῆς Μηδείας καὶ Κίρκης, ἐν οἷς ἔκοπτον τὰ φάρμακα.*

b. *Περιμήδας*: *αὕτη ἐστὶν ἡ παρ' Ὁμήρῳ* (*Λ* 741) *Ἀγαμήδη, 'ἣ τόσα φάρμακα εἶδεν, ὅσα τρέφει εὐρεῖα χθών'.*

17. *ἴυγξ*: *ὄρνεον Ἀφροδίτης, ᾧ αἱ φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας. εἰς γὰρ τροχὸν κήρινον ἐμβαλοῦσαι καὶ διὰ ἱμάντος ἑκατέρωθεν ἀνάψασαι τοῦτο, περιστρέφουσαι ῥομβοῦσι τὸν κυκλίσκον ὑπὲρ πυρᾶς ἐπάδουσαι ὃ βούλονται· ὁ δὲ ἀναδινούμενος ἡσύχως τήκεται. ἐπιλέγουσι δὲ αὐτῷ εἰ τύχοι· ὡς οὗτος τήκεται ὁ ῥόμβος, οὕτω καὶ ὁ ἐμοῦ ἐρῶν τακείη. λέγουσι δὲ καὶ αὐτὸν τὸν ἔρωτα ἀπὸ τοῦ ἐνόντος ζῴου ἴυγγα, ὥς φησι καὶ Πίνδαρος* (Nem. IV 35). 〈. . .〉 *καθά φησιν Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων* (Hist. an. II 12, 504 a 12) *μικρῷ μεῖζον σπίζης αὐτὸ λέγων· ἢ κιναίδιον ἢ*

---

6 sch. Pind. Pyth. IV 381 a. b; Nem. IV 56 sch. Lyc. 125, 31 Scheer sch. Opp. Hal. I 565 Hesych. Phot. Suid. *ἴυγξ* Et. Gen. (Et. M. 479, 55) Et. Gud. 285, 10 Sturz Lex. *Αἰμ.* 625, 52 Dion. Ornith. I 23 sch. Aristid. Panath. 307, 17 Dindorf Nic. Greg. ad Syn. Cyr. De insomn. 360 Reines. Tzetz. Chil. XI 578 15 sch. V 116/117 c. d cum loc. sim.

---

2 *ὅλμους* K: *ὅρμους* cett. 5 *ἑκαμήδη* K *Περιμήδη λεγομένη* post *Ἀγαμ.* add. UEAG *εἶδεν* Brub. *ἴδεν* K: om. cett.: *ᾔδη* Hom. 7 verba *εἰς γὰρ* (mutata in *αἱ γὰρ*) — *τακείη* ad v. 28 pertinere Adert iudicat *τρ. κήρινον* Adert: *κηροῦ τρ.* G: *τρ. κηρὸν* cett. 8 *διὰ ἱμάντος*, quod Adert coniecit, G: *διάμματος* EA: *διάμματα* K: *δι' αἵματος* U *ἑτέρωθεν* K 9 *ὑπὲρ πυρᾶς* scripsi: *ὑπὲρ πυρίας* UEAG: *περὶ πυρὰν* K *ὃ βούλονται* om. KG 10 *ἀναδαινύμενος* K 11 *τύχοι* G: *-η* cett. *καὶ Δέλφις ἐρῶν ἐμοῦ* K 12 *ἐνόντος* UEA: *ἐντὸς* K: *ἐντὸς ἢ ἀπὸ τοῦ ἐνόντος* G: *ἐνέντος* Hemsterhuys 13 lac. ind. Ahrens simul ex parte explens verbis 〈*ἢ ἴυγξ ὀρνέου εἶδος*〉 14 *φ. καὶ Ἀρ.* UEAG 15 *μικρῷ* UEA: *μικρῶν* G: *μορίων* K *μείζων* EA *σπίζης* Heinsius (308): *σπίνης* EA: *πίνης* KU: *ἢ πίννης* G *αὐτὸν* K *'μικρῷ μείζων σπίζης'* (sunt verba Aristotelis), *αὐτὸ λέγων* 〈. . .〉 prop. Wellmann *Herm. 26, 1891, 513* *κιναίδιον* Hemsterhuys: *κινάδος* codd.: *κίναιδος* Heinsius

φερωνύμως σεισοπυγὶς καλεῖται διὰ τὸ πανταχοῦ στρέφειν καὶ λυγίζειν [τὸν αὐχένα ἢ] τὴν πυγήν. ἢ ⟨παρὰ⟩ τὴν Ἴυγγα, ἣν φησι Καλλίμαχος (fgm. 100°, 8 Schneider, II 293) Ἠχοῦς θυγατέρα, φαρμακεύειν δὲ τὸν Δία, ὅπως ἂν αὐτῇ μιχθῇ· ὅθεν ὑπὸ Ἥρας εἰς ὀρνιθάριον αὐτὴν μεταβληθῆναι καὶ συνεργεῖν ταῖς φαρμακείαις.

18 a. ἄλφιτά τοι: εἰώθασιν αἱ φαρμακίδες κεχρῆσθαι ἀλεύροις. K

b. ἄλφιτά τοι πρῶτον πυρὶ τάκεται: ὡς τῶν μαγευουσῶν ἄλφιτα θυουσῶν. ταῦτα δὲ καὶ θυλήματα ἔλεγον. τάκεται δὲ τύφεται, θυμιᾶται. γράφεται δὲ καὶ κάεται. UEAG

19. ⟨πᾷ τὰς φρένας:⟩ ποῦ παρηνέχθης τὰς φρένας, ὡς μὴ χωρῆσαι; K

20 a. ἆρά γε καὶ σοί, βδελυρά, ἐπέστη τῆς πεπρωμένης τὸ τέρμα;

b. ἦρά γέ τοι, μυσαρά: ἆρά γε, μυσαρά [ὦ ἐπίπονε], καὶ σοὶ τὸ τέρμα τῆς εἱμαρμένης πάρεστιν; ἐξεπτοημένη γὰρ οὐ διακονεῖς μοι. τὸ δὲ τὶν ἐπίχαρμα τέτυγμαι· καταγέλαστός εἰμι καὶ παρὰ σοί. UEAG

21. ⟨. . .⟩ ἵνα [σε] διὰ τῶν φαρμάκων διαφθείρῃ ⟨. . .⟩. K

---

10 Hesych. Phot. Suid. *θυλήματα* Lex. Bachm. 258, 11 sch. Ar. Pac. 1040

---

1 φερωνύμως Wellmann e Tzetzae l. l.: παρ' ἑρωμένων K: παρὰ Ῥωμαίοις cett. καλουμένη K 2 del. Ahrens, ἢ τὴν πυγήν om. KG supplevi τὴν om. K 3 ἣν scripsi: ὡς codd. Ἠχοῦς K: ἠποῦς cett. 4 ⟨ἐπὶ Ἰοῖ⟩ post Δία addi vult Ahrens, ὅπως ἂν [αὐ]τῇ ⟨Ἰοῖ⟩ prop. Kuester ad Suid., ὅπως ἂν αὖ τῇ ⟨Ἰοῖ⟩ Schneider αὐτῷ (-ῇ G) μιχθείη KG 5 μεταβληθῆναι K: -βαλεῖν cett. 10 θηλύματα libri, corr. Heinsius 11 καίεται EG 12 l. add. Ziegler 13 χωρῆσαι scripsi: χωρησας cum ov super η apographa: evan. in K 14 Geel huius scholii auctorem mendosam invenisse lectionem putat καὶ τὶν ἔπι τέρμα τέτυκται; 16 ὦ ἐπίπονε glossam esse ad δειλαία v. 19 pertinentem Duebner vidit 20 scholiastam explicasse puto, quare Thestylidi ut nomen Delphidis pronuntiet praecipiatur

23—26 a. *δάφναν*: . . . ⟨*δαί*⟩*εσθαι φωνὴν ἀφιέναι· καιομένη γὰρ μέγα ἠχεῖ.*

UEAQ b. *αἴθω· χὼς αὕτη λακεῖ*: *ἡ δάφνη ψοφεῖ αἰθομένη καὶ ἔστιν ὡς δαοφώνη,* ⟨*ἡ φωνοῦσα*⟩ *ἐν τῷ δαίεσθαι.*

KUEAQ c. *οὕτω τοι καὶ Δέλφις*: *ὡς αὕτη ἡ δάφνη πυρωθεῖσα καθάπαξ ἠφάνισται, οὕτω καὶ ὁ Δέλφις ἐν φλογὶ τοῦ ἔρωτος διαφθαρείη τὸ σῶμα.*

UAQ d. *σάρκ' ἀμαθυνεῖ*: *ἄμαθον ποιήσει, ἀφανίσει· ἄμαθος δὲ ἡ κόνις.*

$U^{E}E^{E}$ e. ⟨*ἀμαθύνοι:*⟩ *ξηρανθείη, σποδὸς γένοιτο.*

KUEAQ 28 a. *σὺν δαίμονι τάκω*: *ἤτοι τῇ Σελήνῃ ἢ τῷ Ἔρωτι ἢ τῷ ἑαυτῆς δαίμονι, ὡς Μένανδρός* (fgm. 550 Kock *Com. att. fgm. III 167*) *φησι· 'δαίμων ἀνδρὶ συμπαρίσταται εὐθὺς γινομένῳ'. περιβόητον δὲ καὶ τὸ Σωκράτους δαιμόνιον.*

UEA b. *σὺν δαίμονι*: *σὺν τῇ Σελήνῃ· πρὸς ταύτην γάρ φησι* ⟨*ἐν τῷ*⟩ *μαγεύειν.*

KUEAQ 29. *ὁ Μύνδιος*: *Μύνδος πόλις Ἀρκαδίας, ἔνθεν ἦν ὁ νεανίας. οἱ δὲ Καρίας φασὶ τὴν Μύνδον.*

---

1 Et. Gen. (Et. M. 250, 35): *δάφνη· τὸ φυτόν, δαοφώνη τις οὖσα, ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα· ἠχεῖ γὰρ καιομένη. μαρτυρεῖ Θεόκριτος· 'χὼς αὐτὰ λακῇ μέγα κἀκπυρίσασα* (*-αισα* A, om. inde a *μαρτυρεῖ* B)'. Et. Gud. 135, 25 Sturz Eust. 24, 46 8 sch. A B *I* 593 Apoll. Lex. Hom. 27, 11 Bekker Eust. 777, 21 sch Lyc. 46, 10 Scheer sch. Nic. Th. 154 Hesych. *ἀμαθύνει* Et. Gen. (Reitzenstein *Gesch. d. gr. Et. 17, 6*) Et. Gud. 105, 1 De Stefani Et. M. 75, 57

---

1 decem circiter litterae plane evanuerunt 4 *ὡς δαοφώνη* scripsi: *ἡ δαοφώνη* Ahrens: *ἡ δάφνη* codd.: *ἡ δάφνη* ⟨*ὡς δαοφώνη*⟩ Duebner suppl. Duebner 5 l. *ἐγὼ δ' ἐπὶ Δέλφινι* (sic) K *ὡς αὕτη* K: *ὥσπερ* cett. 6 *τοῦ ἔρωτος* om. K 10 *ξηρανθῇ* codd. 14 *γενομένῳ* ceteri auctores hunc versum laudantes 15 l.: *σύνδεσμον* codd., corr. Duebner 16 supplevi 17 in voce *Ἀρκαδίας* desinunt scholia codicis G *Ἀρκαδίας* e *Καρίας* corruptum putat Duebner. quem secutus *οἱ δὲ* seqq. Ahrens uncis inclusit *ἔνθεν* Gaisford: *ἔνθα* codd.

30 a. ῥόμβος ὁ χάλκεος: χαλκοῦν ἔφη ῥόμβον τὴν [αἰολ] ἐκ τοῦ κηροῦ καὶ τοῦ πτηνοῦ ἴυγγα διὰ τὴν στερρότητα καὶ δύναμιν τῶν φαρμάκων. τὸν δὲ ῥόμβον οἱ Ἀττικοὶ ῥύμβον καλοῦσι. KUEA

b. ⟨ῥόμβος:⟩ ἄτρακτος, ὁ χαλκοῦς τροχὸς ἢ ὁ στερεός. $U^{E}E^{E}$

33/34 a. κινήσαις ἀδάμαντα: τινὲς ἀδάμαντα τὸν Πλοῦτον — βέλτιον δὲ τὸν Πλούτωνα λέγειν — διὰ τὴν στερρότητα τῶν πόνων. κινήσαις δέ, τῇ φαρμακίδι τὸ κατορθοῦν παρέχουσα. KUEA

b. οὐχ ὅτι ἐν τῷ Ἅιδῃ ὁ ἀδάμας ἐστίν, ἀλλὰ τὸν πάνυ σκληρόν φησιν. εἰ γὰρ ὁ ἐπὶ γῆς ἀδάμας οὕτω σκληρός, πολλῷ μᾶλλον ὁ ἐν Ἅιδῃ. UEA

c. ἀδάμαντα ἢ τὸν λίθον ἢ τὸν ἀδάμαντα σίδηρον.

d. ἀδάμαντα: τὸν Πλούτωνα, καθὸ σκληρὸς καὶ ἀδάμαστός ἐστιν. KUEA

e. καὶ τὸν ἐν Ἅιδῃ ⟨κινήσαις ἀδάμαντα⟩: ἀμείλικτον· ‘δμηθήτω· Ἅΐδης τοι ἀμείλικτος ἠδ’ ἀδάμαστος’ (*I* 158). UEA

---

2 sch. Apoll. Rhod. I 1134: ῥόμβος τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες καὶ οὕτως κτύπον ἀποτελοῦσι. τινὲς δὲ ῥύμβον αὐτὸν καλοῦσιν, ὡς καὶ Εὔπολις ἐν Βάπταις (fgm. 72 Kock *Com. att. fgm. I 274*) καὶ (οὕτως pro καὶ prop. Keil) Δίδυμος (fgm. 33 Schmidt p. 69) ib. IV 143 Hesych. ῥόμβος. ῥύμβος sch. Clem. Al. Protr. 302, 28 Staehlin Et. M. 706, 26 (cf. Gen.) Eust. 1387, 47 id. ad Dion. Per. 1134 7 sch. Ar. Plut. 727

---

1 τὸν αἰολ τοῦ κηροῦ sine ἐκ **K**: τὴν ἐκ τοῦ κηροῦ τοῦ αἰόλου cett. delevi vocem αἰολ, quam ex ἄλλως ortam esse suspiceris; ἐκ τοῦ κηροῦ τοῦ ἑώλου prop. Ahrens 4 ῥύμβον **E**: κόρυμβον cett. 7 Πλοῦτον βέλτιον δὲ τὸν Πλούτωνα λέγειν **K**: Πλούτωνα βέλτιον δὲ κυρίως ἀδάμαντα cett. 8 κινήσαις seqq. om. **UEA** κινῆσαι **K**, corr. Wilamowitz; Ziegler lacunam post δέ indicaverat 14 ἀδάμαντα τὸν Πλ. **K**: ἢ (καὶ add. **EA**) τὸν Ῥαδάμαντα ἤγουν τὸν Πλ. cett. 16 supplevi 17 δμηθέντα hoc loco codd. Theocr., sed δμηθήτω lemmati praefixum legitur ἀμείλιχος Hom.

KUEA f. *ἐν Ἅιδου ἀδάμαντα ἀκουστέον τὸν στερρότατον. ταῦτα δὲ ἀναφέρει ἐπὶ τὸν Δέλφιδα καί φησι· τὴν ψυχὴν αὐτοῦ δόνησον, καὶ εἴ τι στερεμνιώτερον ἔχει τοῦ ἐν Ἅιδου ἀδάμαντος. ἦν δὲ πρὸ τούτου Ἑκάτην ἐκάλεσε, ταύτην νῦν Ἄρτεμιν λέγει διὰ τὸ ὑπεῖναί τινα κοινωνίαν ταῖς θεαῖς.*

35/36 a. *Θέστυλι, ταὶ κύνες: πρὸς τὴν παιδίσκην φησὶ τεκμαιρομένη ἐκ τῶν ὠρυγῶν τῶν κυνῶν, ὡς τῆς θεοῦ κατὰ τὰς τριόδους πεφηνυίας. διὸ προστάσσει ὡς τάχος χάλκωμα λαβοῦσαν ἠχεῖν, ὅτι οὐκ ἔλαθεν αὐτὴν φανεῖσα. ἱδρύοντο δὲ τὴν Ἑκάτην ἐν ταῖς τριόδοις, ὅτι ἐπὶ τῶν καθαρμάτων καὶ μιασμάτων ἡ θεός. ἔνιοι δέ φασι Φεραίας τῆς Αἰόλου καὶ Διὸς παῖδα αὐτὴν γεγονέναι καὶ ὑπὸ τῆς μητρὸς εἰς τρίοδον ἐρρίφθαι, τῶν δὲ Φέρητος βουκόλων ⟨ἕνα⟩ ἀναλαβόμενον ἐκθρέψαι· διόπερ τὰς τριόδους ἱερὰς τῆς θεοῦ νομισθῆναι. ἱδρύοντο δὲ αὐτὴν καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος* (fgm. 388 Nauck *Trag. gr. fgm.² 113*)· *'δέσποιν' Ἑκάτη τῶν βασιλείων πρόδομος μελάθρων'. τὸν δὲ χαλκὸν ἐπήχουν ἐν*

---

9 ea quae sequuntur e mimo quodam Sophronis sumpta esse probarunt L. Cohn *Zu den Paroem., Bresl. phil. Abh. II 2, 1887, 71* et Wilamowitz *Herm. 34, 1899, 206* 11 sch. Lyc. 341, 7 Scheer 17 ib. 45, 29 Plut. De fac. in orbe lun. 944 b

---

1 *τὸν ἐν Ἅιδῃ στερρότατον* **UEA**, *τὴν ἐν Ἅιδου στερρότητα* **K**. verba *ἐν Ἅιδου* ab Ahrensio remota infra interserui 2 *τοῦ Δέλφιδος* **UEA** 3 fort. *εἰ [τι] στερεμνιωτέραν, τι* del. iam Ahrens 4 *ἀδάμαντος* Ahrens: *σώματος* codd. 5 *ὑπεῖναι* Jacobs (p. XXXIV): *ὑπομεῖναι* codd. *αὐταῖς* (*ταύταις* Ahrens) post *κοινωνίαν* add. **UEA** 7 *ὡς*, quod in codd. ante *ἐκ* est, ante *τῆς θεοῦ* collocavit Ahrens 8 *χαλκῶ μάλα* pro *χάλκ. λαβοῦσαν* **K** 11 *ὅτι* pro *φασι* **K** 13 *αὐτὴν* iterum ante *ἐρρίφθαι* in **K** ⟨*ἕνα*⟩ *ἀναλαβόμενον* Wilamowitz: *ἀναλαβομένων* **K**: *ἀνελομένων* cett. 17 *πρόδομος*, ut Geel coniecit, cod. bibl. Bodl. Can. gr. 86 teste Gaisfordio: *πρόδρομος* codd. nostri *ἐπήχουν* Hemsterhuys: *ἐπῆδον* codd.; defendit Heyne *Apoll. Bibl.² 1803, 401* interpretatus 'fecerunt accinere': *ἐπῆγον* Reinesius: *ἐπῆρον* Ahrens in adn.: *ἔπαιον* Koraes *Plut. Vit. parall. II 1810, 408*

ταῖς ἐκλείψεσι τῆς σελήνης καὶ ἐπὶ τοῖς κατοιχομένοις, ἐπειδὴ ἐνομίζετο καθαρτικὸς εἶναι καὶ ἀπελαστικὸς τῶν μιασμάτων. διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο, ὥς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν (fgm. 36 Mueller *Fgm. hist. gr. I 434*).

b. ὡς τάχος ἦχει: ἀντὶ τοῦ ψόφει, κροῦε, ἐπεὶ ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖος τοῖς κατοιχομένοις· φησὶ ⟨δ'⟩ Ἀπολλόδωρος (v. supra) Ἀθήνησι τὸν ἱεροφάντην τῆς Κόρης ἐπικαλουμένης ἐπικρούειν τὸ καλούμενον ἠχεῖον· καὶ παρὰ Λάκωσι βασιλέως ἀποθανόντος εἰώθασι κρούειν λέβητα. UEA

40/41 a. ὅς με τάλαιναν: ὅστις με ἀνθ' ἧς ἔχειν ἐπηγγείλατο γυναικὸς γαμετῆς αὐτοῦ εἶναι ἀναίσχυντον πεποίηκε τὴν ταῖς παρθένοις συνοικοῦσαν σωφροσύνην διαφθείρασαν· οὐ γὰρ ἐκπάρθενος, ἀλλ' ἔτι κόρη οὖσα τῷ Δέλφιδι κεκοινώνηκεν. K

b. ἀντὶ γυναικός: ὅς με τὴν ἀθλίαν ἀντὶ κοσμίας γυναικὸς ἀναιδῆ καὶ οἷον μαινάδα ἐποίησεν ἀπολέσας τὴν αἰσχύνην· τοῦτο γάρ ἐστι τὸ ἀπάρθενον. ⟨ἢ⟩ ὅστις με ἀντὶ γαμετῆς γυναικὸς ἀπαρθένευτον ἐποίησε καὶ ἄκοσμον. UEA

[c.] τὸ ἦμεν ἀντὶ τοῦ εἶναι ἐκ τοῦ ἔμμεναι γίνεται ἐκβολῇ τοῦ πρώτου μ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ καὶ ἀποκοπῇ τῆς αι̅ διφθόγγου.

43 a. ἐς τρὶς ἀποσπένδω: παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὢν καὶ μέσον καὶ τέλος. ⟨...⟩ ἔστι φύσει τρίγωνος. K E A

---

23 Arist. De caelo I, 268 a 12 cf. Usener *Dreiheit, Rhein. Mus. N. F. 58, 1903, 1 sqq.*

---

1 ἐπὶ K: ἐν cett. κατεχομένοις K 2 καθαρτικὸς Koraes: καθαρὸς codd. 7 suppl. Wilamowitz 9 κρούειν prop. Duebner ἠχεῖον Call.: οἰκεῖον codd. Λάκωνος codd., corr. Call. 14 ἔτι κόρη οὖσα Ziegler tacite: ἡ κορηθεῖσα cod. Δέλφινι cod. 18 add. Ahrens με Call.: μιν codd. 20 ἦμεν Call.: -ες codd. 23 l. om. K 24 μέσον Ahrens e cod. Genevensi: μέση K: μέσα cett. lac. indicavi

UEA b. *μέχρι τριῶν τοῦτο ἐποίει διὰ τὸ τέλειον εἶναι τὸν ἀριθμὸν τῶν τριῶν.*

KEA 45/46 a. *τόσσον ἔχοι: Θησεὺς ἁρπάσας Ἀριάδνην τὴν Μίνωος καὶ ἀπάρας εἰς Δίαν νῆσον τὴν νῦν καλουμένην Νάξον, κατὰ Διονύσου βούλησιν λήθῃ τινὶ χρησάμενος ἀπέλιπεν αὐτὴν καθεύδουσαν.*

b. *πολλαὶ δέ εἰσι νῆσοι Δῖαι καλούμεναι, ἥ τε πρὸ τῆς Κρήτης, οὗ εἰκὸς συμβῆναι τὰ περὶ τὴν Ἀριάδνην, καὶ ἡ ὀνομασθεῖσα Νάξος καὶ ἡ περὶ Μῆλον καὶ ἡ περὶ Ἀμοργὸν καὶ ἡ τῆς Κέω χερρόνησος καὶ ἡ τῆς Πελοποννήσου.*

48/49 a. *ἱππομανὲς φυτόν: οὔτε φυτόν ἐστιν οὔτ' ἐν Ἀρκαδίᾳ γινόμενον, ἀλλὰ τὸ ἐπιφυόμενον τοῖς πώλοις κατὰ*

---

7 Steph. Byz. *Δία· Δία . . . νῆσος καὶ πόλις Πελοποννήσου περὶ τὸ Σκύλλαιον . . . εἰσὶ καὶ δ' νῆσοι Δῖαι λεγόμεναι· α' ἡ Νάξος, β' ἡ πρὸς Μήλῳ* (Berkel, *Μιλήτῳ* libri), *γ' ἡ πρὸς Ἀμοργῷ* (Holstenius, *Σαμοσσῷ* R, *Σαρμοσσῷ* A V), *δ' κατὰ Κνωσσὸν Κρήτης.* 11 Serv. Verg. Georg. III 280: scit lectum esse apud Theocritum (Hesiodum *codd., corr. Maaswyck, cf. Hesiodi fgm. 232 Rzach, ed. a. 1902, 403*) herbam esse quandam, quae hippomanes vocatur quasi *ἵππου μανία*; si enim eam comederint equi, furore quatiuntur. unde nunc adiecit 'vero quod nomine dicunt'; nam vult illam herbam abusive hippomanes dictam, quod possint equi furere et alia quacumque ratione. re vera autem hippomanes dicit esse virus defluens ex equarum inguinibus quo tempore feruntur amoris furore, ut sit hippomanes virus natum *ἀπὸ τῆς μανίας τῆς ἵππου. quibus add. scholiasta Danielis:* 'vero nomine' quoniam Theocritus herbam dicit nasci in Arcadia, qua gustata equae in libidinem ardescunt, et Theophrastus (v. supra) carunculam in fronte equini pulli. Prob. Verg. Georg. III 282 Serv. Verg. Aen. IV 516 Aelian. Nat. an. XIV 18 Plin. Hist. nat. VIII 165; XXVIII 181 Hesych. Phot. Suid. *ἱππομανές* cf. A. Thieke *Die (!) Hippomanes des Pferdes, Diss. vet.-med. Giss. 1911.*

---

1 *μέχρι τρίτου* Ahrens *εἶναι* scripsi: *καὶ διὰ* codd. *καὶ δυνατὸν ἀριθμοῦ τοῦ τρίτου* (*τρεῖς* Ahrens) coni. Geel 4 *νῆσον* om. K 7 *καὶ ἕτεραι* post *δὲ* add. EA 8 *οὗ* Ahrens: *ὡς* K: *ἐν αἷς οὐκ* cett. *μόνη* post *συμβ.* add. EA *ὀνομ.* K: *μετονομ.* cett. 10 *Νέω χερρονήσου* K *τῆς* ante *Πελοπ.* om. K 11 *οὔτε φ. ἐστιν* om. K 12 *γινόμενον* EA: *φυόμενον* K

τὴν γένεσιν ἐπὶ τοῦ μετώπου σαρκίον, ὅπερ συντελεῖ πρὸς φίλτρα, ὡς Ἀριστοτέλης (Hist. an. VI 22, 577 a 9; cf. VI 18, 572 a 21; VIII 24, 605 a 2) καὶ Θεόφραστος (cf. fgm. 175 Wimmer *ed. a. 1866, 460*).

b. Κρατεύας φησὶν ἔχειν τὸ φυτὸν καρπὸν ὡς σικυοῦ ἀγρίου, μελάντερον δὲ τὸ φύλλον, ὥσπερ μήκωνος ἀκανθώδους. οὐ μέντοι προστίθησιν, εἰ πρὸς φίλτρα συμβάλλεται.

c. ἱππομανὲς φυτόν: ἁπλούστερον ὁ Θεόκριτός φησι EA
φυτὸν ἱππομανές· οἱ γὰρ περιττοὶ καὶ πολυπράγμονες οὔ φασι φυτὸν εἶναι, ἀλλὰ τοὺς ἀποτικτομένους πώλους ἔχειν τι φυόμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες, ἔλαττον ἰσχάδος, ὃ καλεῖται ἱππομανές. ἀποτρώγουσι δὲ αὐτὸ καὶ ἀπολείχουσιν εὐθὺς αἱ ἵπποι. καὶ εἰ τοῦτο ποιήσωσι, φιλοστοργοῦσι τὰ ἔκγονα· εἰ δὲ μή, ἀπεχθαίρουσι καὶ οὐ προσίενται. διὰ τὸ φυσικῶς οὖν συμβάλλεσθαί τι πρὸς φιλοστοργίαν οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτό, καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δὲ ὅτι, εἰ αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι, ἐκμαίνονται πρὸς τὸν ἔχοντα αὐτό. διὸ καὶ οὕτως φασίν· ἱππομανές.

d. [καὶ πῶλοι μαίνονται:] ἴσως φυτὸν αὐτὸ ἔφη ὁ Θεόκριτος οἱονεὶ φῦμα διὰ τὸ ἐπιφύεσθαι τοῖς πώλοις, ὡς φησιν Ἀριστοτέλης (v. sch. a). λέγει γὰρ καὶ Ἀρχίλοχος (fgm. 42 Bergk *Poet. lyr. gr. II*^{4} *393*) τὸ φῦμα φυτόν· ἐσθλὴν γὰρ ἀλκὴν οἶδα τοιούτου φυτοῦ [ἴασιν]' ἀντὶ τοῦ φύματος.

50/51 a. ὡς καὶ Δέλφιν ἴδοιμι: ἀπὸ κοινοῦ τὸ μαινόμενον· ὡς αἱ ἵπποι μαίνονται ἔχοντός τινος τὸ ἱππομανές.

[b.] ⟨λιπαρᾶς ἔκτοσθε παλαίστρας:⟩ ἔνθα ἀλείφονται ἔλαιον καὶ μετὰ ταῦτα παλαίουσιν. E^B

---

1 σαρκίον om. EA συντελεῖ K: συνεργεῖ cett. 3 καὶ Θεόφρ. om. EA 5 σικυοῦ—ἀκανθώδους K: συκῆς—ἀκανθῶδες cett. 7 συμμαχεῖται E, συμμάχεται A 8 ἁπλουστέρως E 18 οὕτως φασίν scripsi: οὑτός φησιν codd. 19 l. praeterm. Call. 23 ἀλκὴν Bergk glossa ἴασιν simul deleta: ἄλλην codd. οἶδα ἄλλην E ἴασιν H. Stephanus *Thes. VIII 1172*: εἴκασιν codd.: ἄκησιν Ruhnken (ap. Gaisf.) 25 ὡς καὶ codd., correxi

KEA 53/54 a. τοῦτ' ἀπὸ τῆς χλαίνης: τοῦτο, φησί, παραδιδοῦσα πυρὶ καὶ ἄκοντα διὰ τῆς μαγγανείας αὐτὸν ἐλθεῖν ἀναγκάσω.

EA b. ὡγὼ νῦν τίλλοισα: ἤγουν ἀφ' οὗ ἐγὼ ἢ ὃ ἐγὼ κατατίλλουσα. τὸ ō καὶ ē εἰς ω μέγα κιρνᾶται.

55. αἰαῖ ἔρως: δακνομένη ὑπὸ τοῦ ἔρωτος ἀπέστρεψε τὸν λόγον πρὸς αὐτόν. ἀνιαρὲ δὲ ἀντὶ τοῦ ἀνιαροποιέ.

KEA 56 a. βδέλλα: αἱ βδέλλαι καὶ ἐν λίμναις γίνονται καὶ ἐν ποταμοῖς, προσαγόμεναι δὲ τῇ σαρκὶ τὸ αἷμα ἐκθηλάζουσιν. εἴρηται δὲ παρὰ τὸ βδάλλειν, ὅ ἐστιν ἀμέλγειν· Νίκανδρος (Al. 262)· 'ἠὲ σύγε βδήλαιο νέον γλάγος.'

EA b. ὡς λιμνῆτις ἅπαν ἐκ βδέλλα: ὡς λιμναία βδέλλα, παρὰ τὸ βδάλλειν καὶ οἷον ἐξαμέλγειν τὸ αἷμα· τὸ γὰρ ἀμέλγειν Ἀττικοὶ βδάλλειν λέγουσι.

KEA 58. σαύραν: διαλγοῦσα καὶ θυμουμένη τὸ διὰ τῆς σαύρας ποτὸν ⟨εἰς τὸ⟩ αὔριον ὑπισχνεῖται. ἔστι δὲ αὕτη δύσκερκος. ἀποκτανθεῖσα δὲ καὶ ξηρανθεῖσα καὶ τριβεῖσα σὺν ἀλφίτῳ ἐν ποτῷ δίδοται. μεμύθευται γοῦν, ὡς καὶ τοῦτο τῶν φίλτρων ἐστὶν ἕν.

EA 59—62 a. νῦν δὲ λαβοῖσα: καὶ νῦν λαβοῦσα ταῦτα τὰ φάρμακα πίεσον καὶ κρύψον ὑπὸ τὴν αὐτοῦ φλιὰν καὶ λέγε ἐφαπλοῦσα περὶ τῶν Δέλφιδος ἀχέων.

---

12 Et. M. 192, 25 (cf. Gen.) Et. Gud. 264, 25 De Stefani Et. Or. 35, 24 Moer. 192, 15 Bekker Epim. (Cram. An. Ox. II 352, 1)

---

2 τῆς μ. K: τὰς μ. cett. αὐτὸν om. EA 5 ē καὶ ō E 9 τῇ σαρκὶ τὸ αἷμα EA: τῷ αἵματι K 10 βδάλλειν Call.: βδέλλειν EA: βδέλλω K 11 ἦ σύγε βδέλλαι (βδέλλα EA) ἐὸν codd., corr. Heinsius (p. 310) 14 Ἀττικῶς E 15 διαλέγουσα EA θυμουμένη Geel: ἐνθυμ. codd. αὐτῷ post σαύρας add. EA 16 supplevi 17 δὲ post ἀποκτ. om. K συντριβεῖσα καὶ ξηρ. K 18 ἐν ποτῷ om. K γοῦν K: γάρ cett. 21 πίεσον καὶ scripsi, cf. notam ad sch. e: ζήμωσον καὶ codd.: ζύμωσον καὶ Gail: ζημιώσοντα Ahrens αὐτοῦ Duebner: αὐτὴν codd. 22 ἐφαπλοῦσα (scil. τὰ φάρμακα) A: om. E ἐπαναδιπλοῦσα ⟨τὰ⟩ περὶ τῶν Δέλφιδος ὀστέων Ahrens coll. v. 21

b. *θρόνα*: *Θεσσαλοὶ μὲν τὰ πεποικιλμένα ζῷα, Κύπριοι* KEA
δὲ τὰ ἀνθινὰ ἱμάτια, Αἰτωλοὶ δὲ τὰ φάρμακα, ὥς φησι Κλείταρχος (glossographus, cf. Mueller *Script. rer. Alex. Magni 74*).

c. *θρόνα δὲ τὰ φάρμακα ὑπὸ τῶν Αἰτωλῶν, Ὅμηρος* (*X* 441) *δὲ τὰ ῥόδα παρὰ τὸ ἄνω θορεῖν ἐκ τῆς γῆς.*

d. *θρόνα τὰ θραύοντα τὸν νοῦν ἢ τὰ θροῦν ποιοῦντα* E^mA
ἐν τῷ νοΐ.

e. *ἀπόμαξον: γράφεται ἀπόμορξον· ἀπόκρυψον . . .* K
ὑπόκρυψον ⟨. . .⟩ *ἀπὸ τῶν μασσόντων· τοῦ διύγρου γὰρ συστραφέντος πάντα μάσσει.*

f. *καθυπέρτερον: καθυπέρτερον τῆς παστάδος κρύψον* EA
τὰ φάρμακα.

g. *φλιᾶς: γράφεται φιλίας, τουτέστιν· ἃ πρὸς φιλίαν* KEA
καὶ ἄκοντα τὸν Δέλφιν ἑλκύσει.

h. *ἆς ἔτι καὶ νῦν: ἕως ἔτι ἐνδέχεται καταδεθῆναι αὐτόν.*

i. ⟨*ἐπιφθύζουσα:*⟩ *ἐπιπτύουσα, ἐπᾴδουσα ἡσύχως.* E^5

65. *τίς μοι κακὸν ἄγαγε* ⟨*τοῦτο*⟩*: ὡς πολλῶν ὄντων* EA
τῶν περὶ αὐτὴν κακῶν.

66—68 a. *ἦνθ' ἃ τωὐβούλοιο: ἄρχεται διηγεῖσθαι,* KEA
ὅπως ἐνέπεσεν εἰς τὸν ἔρωτα. φησὶ δὲ οὕτως· ἦλθεν ἡ τοῦ Εὐβούλου θυγάτηρ Ἀναξὼ κανηφοροῦσα τῇ Ἀρτέμιδι καὶ πομπὴν ἐπαγομένη τῇ θεῷ. αὐτὴ δὲ παρακληθεῖσα ὑπὸ φίλης

---

1 sch. AT *X* 441 sch. Lyc. 224, 2; 370, 20 Scheer sch. Nic. Th. 936. 438 Eust. 1278, 45 17 Eust. 1392, 42: *τὸ παρὰ Θεοκρίτῳ ἐπιφθύζειν ἀντὶ τοῦ ἐπιπτύειν γοητευτικῶς.* ib. 1482, 43

---

2 *ἀληθινὰ* K 5 *θρόνα—Αἰτωλῶν* om. EA 6 *ῥόδα* e *θρόνα* corruptum esse perperam iudicat Spitzner *Hom. Il. I 4, 1836, 210* propter Eustathii verba *τὰ ἐκ γῆς ἀναθορόντα ὀνήσιμα φάρμακα ἄνω θέειν* K 9 *ἀπόμαξον* in cod. legitur super *ἀπόμορξον*. post *ἀπόκρυψον* plus quam 25 litterae interierunt; Ziegler expedisse sibi visus est *τὰ φάρμακα*. ante *ὑπόκρυψον* vestigia mihi exstare videntur verborum *ἢ ὑποπίεσον*, quae in eodem libro inter lineas leguntur 14 ὃ K *ἡμῖν* post *φιλίαν* add. EA 18 supplevi 21 *ἐξέπεσεν* EA

ἐπὶ θέαν τῆς πομπῆς ἦλθε, φησί, καὶ ἰδοῦσα τὸν Δέλφιν ἠράσθη αὐτοῦ. εἰώθασι γὰρ τῇ Ἀρτέμιδι κανηφορεῖν αἱ μέλλουσαι γαμεῖσθαι ἐπὶ ἀφοσιώσει τῆς παρθενίας, μὴ νεμεσηθῶσιν ὑπ' αὐτῆς.

b. *κανηφόρος: τὰ μυστήρια ταῦτα Ἀθήνησι πολιτεύονται. ἐκανηρόρουν δὲ τῇ Ἀρτέμιδι αἱ ὥραν ἔχουσαι γάμου ὥσπερ ἀπολογούμεναι περὶ τῆς παρθενίας τῇ θεῷ, ἵνα μὴ ὀργισθῇ αὐταῖς μελλούσαις τὸ λοιπὸν φθείρεσθαι. καὶ παρὰ Μενάνδρῳ* (fgm. 40 Kock *Com. att. fgm. III 15*) *αἱ κυΐσκουσαι ἐπικαλοῦνται τὴν Ἄρτεμιν ἀξιοῦσθαι συγγνώμης, ὅτι διεκορήθησαν.*

EA c. *τῇ δὴ πόκα πολλὰ μὲν ἄλλα: ἐν τῇ πομπῇ, φησίν, ἄλλα τε θηρία ἐπόμπευσε καὶ λέαινα.*

E^{5} [d.] ⟨*θηρία πομπεύεσκε:*⟩ *ἐπεὶ κυνηγέτις ἡ Ἄρτεμις.*

K^{5}EA 70—72 a. *ἡ μακαρῖτις: ὡς μετηλλαχυίας τὸν βίον ἤδη.*

KEA b. *κατεύξατο: ὤρκισε. φησὶ δὲ ὅτι προετράπην ὑπὸ τροφοῦ εἰς θέαν ἐλθεῖν τῆς πομπῆς, καὶ οὕτω συμβέβηκεν ἰδεῖν με τὸν Δέλφιν.*

c. *ἀ μεγάλοιτος: ἡ μεγάλως δυστυχής. οἶτος γὰρ οὐ μόνον ὁ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ δεινόν, ἐν ᾧ ⟨οἳ⟩ ᾄδεται. μεγάλοιτος οὖν ἡ μεγάλως ἀθλία καὶ δυστυχής. τοῦτο δέ φησι, διότι ἐπείσθη προελθεῖν ἐπὶ τὴν θέαν.*

---

10 Eust. 1186, 48: *ἐπεὶ ταὐτὸν οἶτος καὶ μόρος . . . ἀκολούθως παρὰ Θεοκρίτῳ μεγάλοιτος κεῖται ὁ πάνυ δυστυχὴς ληφθέντος τοῦ οἴτου εἰς τύχην ὁμοίως τῷ μόρῳ.* ib. 696, 21 Et. Gen. (Et. M. 619, 26): *οἶτος· θρῆνος, μόρος, θάνατος· παρὰ τὸ οἳ καὶ μοὶ στεναγμοῦ ἐπίρρημα παρὸ καὶ τὸν μόχθον δηλοῖ Ὅμηρος. ἢ παρὰ τὸ οἴσω οἰστὸς καὶ ἀποβολῇ τοῦ σ οἶτος.* Et. Gud. 423, 10 Sturz Et. Or. 113, 8

---

2 *εἰώθεισαν δὲ καὶ* EA 10 *ἐπικαλοῦνται* Meineke *Fgm. com. gr. IV 1841, 82*: *ἐπικαλεῖσθαι* codd.: ⟨*εἰώθασιν*⟩ *ἐπικαλεῖσθαι* Duebner: *ἐπικαλεῖσθαι—ἀξιοῦσι συγγνωμονῆσαι* Ahrens 15 *ἤδη* om. K 16 *ὤρκωσε* EA *προετράπην* Adert: *προετράπη* EA: *προετράφη* K 19 *οὐ μόνον—δυστυχής* EA: *ὁ ὅλεθρος* K 20 add. Duebner 22 *διότι ἐπείσθη* K: *ὅτι ἐπείσθην* cett. *προελθεῖν* Reiske: *προσελθεῖν* codd. *ἐπὶ* om. EA

74 a. ⟨κἀμφιστειλαμένα:⟩ καὶ ἀμφιστειλαμένη, περι- UEA
στειλαμένη, ἀντὶ τοῦ ἀναλαβομένη, ὅ ἐστι ζωσαμένη.

b. ξυστίδα: τινὲς περιβόλαιον λεπτὸν . . . λινοῦν, ᾧ K
χρῶνται οἱ ἁρματηλάται· εἴρηται δὲ ἀπὸ τοῦ ξύεσθαι.

c. ξυστίδα: τινὲς περιβόλαιον λεπτὸν ἀπὸ τοῦ τὸν χνοῦν KUEA
ἀπεξύσθαι· d. ἤ, ὡς ἕτεροι, ἀπὸ τοῦ ξύειν τὸν χρῶτα. UEA

76 a. ἤδη δ' εὖσα: ἤδη δὲ οὖσα κατὰ μέσον τῆς ὁδοῦ, ἢ καὶ ὅπου τὰ *Λύκωνος* — γράφεται εἰς τὰ *Λύκωνος* —, προσληπτέον δὲ τὰ οἰκήματα.

b. ⟨ἤδη δ' εὖσα:⟩ οὖσα κατὰ τὴν μέσην ὁδόν. ⟨ἃ τὰ K[E]
Λύκωνος:⟩ λείπει οἰκήματα.

[78.] ⟨ἑλιχρύσοιο:⟩ εἶδος φυτοῦ, οὗ τὸ ἄνθος χρυ- U[E] E[E]
σοειδές.

80. ὡς ἀπὸ γυμνασίοιο καλόν: ὑγιεινὸν γάρ ἐστιν KUEA
ἡ παλαίστρα. πόνον δὲ νῦν τὴν ἐν τῇ παλαίστρᾳ γυμνασίαν.

82a. ⟨θυμὸς ἰάφθη:⟩ εἰς ἔρωτα αὐτοῦ ἦλθον ἤτοι ἐλι- U[E] E[E]
ποψύχησα λίαν.

[b.] ⟨θυμὸς ἰάφθη:⟩ ἐπέφθη, ἐβλάβη, ἀνήφθη, συνεστάλη.

83/84. ⟨τὸ δὲ κάλλος ἐτάκετο:⟩ ἤγουν ὠχρὰ γέγονα, οἷον οὐδὲ μικρὰν διάγνωσιν εἶχον τῆς πομπῆς ἢ τέρψιν.

85 a. ἐξαλάπαξε: γράφεται ἐξεσάλαξεν, ἵν' ᾖ ἐξέσεισε, K
διέφθειρεν.

---

3 Hesych. Phot. Harp. Suid. ξυστ. Lex Bachm. 311, 24 Bekk. An. gr. 284, 14 Tim. Lex. Plat. ξυστίδες sch. Plat. Rei publ. 420 e sch. Clem. Al. Paed. 333, 21 Staehlin 12 sch. I 30 b cum loc. sim.

---

2 περιζωσαμένη, ἀναλαβομένη K[E] 3 post λεπτὸν in cod. 15 fere litterae evanuerunt, sed initio legere mihi visus sum καὶ ἐπ' ἔρ, quae suppleas καὶ ἐπ' ἐργασίαν ἱκανόν 5 ξυστίδα· τινὲς UEA: ἢ K τοῦ om. K χνοῦν Duebner: χοῦν codd. 6 ἀπεξύσθαι K: ξύεσθαι cett. 8 γρ. ἃ τε *Λ.* placuit Duebnero, γρ. ὡς (ubi) τὰ *Λ.* Ahrensio 15 νῦν et τῇ om. K 19 ἐπέμφθη codd., corr. Wilamowitz 22 τῆς seqq. om. U

K^{E}UEA b. ἐξαλάπαξε: διέσυρεν, ἐκτὸς φροντίδος καὶ γνώμης
UEA ἐποίησε. c. λάπαθα παρὰ τοῖς Ἀττικοῖς τὰ κενώματα καὶ λάπαθος βοτάνη, ἣ κενωτική ἐστιν.

K 88 a. θάψῳ: χλωρὸς ἢ ξανθός. θάψος δέ ἐστιν εἶδος ξύλου, ὃ καλεῖται σκυθάριον, ὡς φησι Σαπφώ (fgm. 167 Bergk *Poet. lyr. gr. III*^{4} *138*). τούτῳ δὲ τὰ ἔρια βάπτουσι. τινὲς τὸ Σκυθικὸν ξύλον. Ἀσκληπιάδης δὲ φυτόν τι χλωρόν, ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ὑπώπια· βάπτεσθαι δὲ ἐκ ταύτης τὰ κροκοειδῆ.

UEA b. πολλάκι θάψῳ: χλωρὸς ἢ ξανθός. θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται καὶ Σκυθικὸν ξύλον, ὡς φησι καὶ Σαπφώ (v. sch. a.). τούτῳ δὲ τὰ ἔρια βάπτουσι καὶ ποιοῦσι μήλινα καὶ τὰς τρίχας ξανθίζουσιν. ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον.

U^{E} [89.] ⟨ἔρρευν:⟩ ἔπιπτον· τὸ ε̄ καὶ ο̄ Δωρικῶς εἰς εῡ.
[90—92 a.] ⟨ἧς:⟩ Αἰολικὸν τὸ σ̄ ἀντὶ τοῦ ν̄.

K b. καὶ ἐς τίνος οὐκ ἐπέρασα: πανταχοῦ ἀπελθοῦσα, φησί, καὶ πάσης ἐπαοιδῆς τυχοῦσα ὅμως οὐκ ἐκουφιζόμην τοῦ ἔρωτος, ἀλλ' εἶρπεν ὁ χρόνος, ἐγὼ δ' οὐδὲν εὕρισκον ἴαμα.

U^{E}E^{E}A c. ἅτις ἐπῇδεν: ἥτις ἐπῳδὰς ποιεῖν οἶδεν. ἐπῳδὴ λέγεται καὶ ἡ γοητεία, ὅτι τὸ αὐτὸ πολλάκις ἡ γοητεύουσα λέγει.

UEA d. ἀλλ' ἧς οὐδέν: ἀλλ' οὐκ ἦν οὐδὲ τοῦτο τοῦ ἔρωτος ἀπαλλάττον με· ὁ δὲ χρόνος, ἤγουν ὁ καιρὸς τοῦ ἔρωτος, παρήρχετο.

---

2 sch. B *E* 166 sch. *δ* 176 Eust. 423, 41; 1490, 62 Epim. Hom. (Cram. An. Ox. I 17, 4; 77, 30) Athen. VIII 362 f Hesych. Phot. Suid. *λάπ.* Lex. Bachm. 64, 25 Et. M. 57, 17 (cf. Gen.) Et. Gud. 80, 2. 5. 21 De Stefani; 192, 4 Sturz Tzetz. Hes. Op. 187 8 Theophr. Hist. plant. IX 20, 3 Diosc. Mat. med. IV 153, 4 Plin. Hist. nat. XIII 126

---

1 *διέσυρεν* om. K 2 *ἀλάπαθα* et *ἀλάπαθος* EA 4 *ξανθός* sch. b: *ξηρός* cod. 5 *ὡς* sch. b: *ἡ* cod. 8 *ὑπώπια* Salmasius *Exerc. de homon. hyl. iatr. 1689, 59 b E*: *ἐπώπια* cod. 12 *μήλινα* Call.: *μάλλινα* codd. 20 *ἥτις* E: *ἤτοι* UA 22 *τοῦτο* U: *τι τὸ* cett. 23 *χρόνος—καιρὸς* Ahrens: *καιρὸς—χρόνος* codd.

[e.] ⟨ἀλλ' ἧς οὐδὲν ἐλαφρόν:⟩ παροιμία ἐπὶ τῶν ζητούντων τι καὶ μὴ εὑρισκομένων. E^{E}

94. χοῦτω τᾷ δούλᾳ: καὶ τὸ τελευταῖον, φησίν, ὡς οὐδὲν ἦν παραμύθιον, ἐξεῖπον τὸν ἀληθῆ λόγον τῇ δούλῃ, ὅτι με ὁ ἔρως πολλὰ βαρύνει. K

[95.] ὑπερβατὸν κατὰ διακοπὴν λέξεως· ἔστι δ' ὅτε κατὰ διακοπὴν ἐννοίας γίνεται τοιοῦτον σχῆμα. E^{E}

96/97. ἀλλὰ μολοῖσα: ἐξελθοῦσα, φησίν, ἐπὶ τὴν παλαίστραν τήρησον αὐτόν. K

99. φράζεο: συνεχῶς ἐπικαλεῖται τὴν Σελήνην ἢ ὡς συνεργὸν πρὸς τὰς μαγείας ἢ ὡς καὶ αὐτὴν ἐρασθεῖσαν Ἐνδυμίωνος.

100 a. κἠπεί κά νιν: καὶ ἐπειδὰν αὐτὸν μόνον ὄντα γνῷς, ἡσυχῇ νεῦσον [αὐτόν]. K U^{E} E^{E}

b. ἧσυχα: Μουνάτιος παρώξυνε τὸ ἧσυχα, ἵν' ᾖ ἀντὶ τοῦ ἡσύχως. ἀγνοεῖ δέ, ὅτι τὰ εἰς ᾱ οὐδέτερα πληθυντικὰ ἀντὶ ἐπιρρημάτων πολλάκις λαμβάνονται, οἷον φίλα ἀντὶ τοῦ φίλως, ὅσια ἀντὶ τοῦ ὁσίως. K

101 a. ⟨ἀφαγέο τᾷδε:⟩ ἀφηγοῦ τῆς ἐνταῦθα φερούσης ὁδοῦ. K^{E}

b. τὸ τᾱδε, εἰ μὲν περισπᾶται, ἔστιν ἀντὶ τοῦ ἡγεμόνευε τῇδε καὶ ταύτῃ τῇ ὁδῷ· εἰ δὲ ὀξύνεται, ἀντὶ τοῦ ἀφηγοῦ καὶ διηγοῦ τάδε καὶ ταῦτα. U E A

107. κοχύεσκε: κατεφέρετο καὶ δαψιλῶς ἔρρει ὁ ἱδρώς, ὁμοίως ταῖς καθύγροις δρόσοις. κόχος γὰρ ὁ δαψιλὴς ῥοῦς· ὠνοματοπεποίηται δέ. K

108/109 a. οὐδέ τι φωνᾶσαι: οὐδὲ ἐπὶ τοσοῦτον ἀφεῖναι φωνὴν ἡδυνάμην συσχεθεῖσα τῷ φόβῳ, ἐφ' ὅσον ἀφίησι K

---

24 Hesych. κοχυδεῖ Eust. 1095, 18

---

4 ἐξειπούσης cod., tacite corr. Ziegler 13 αὐτὸν priore loco om. K, posteriore del. Call. 21 ἔστιν cod. Genev. teste Aderto: ἔστω U E A 24 δαψιλῶς ἔρρει K^{E} 28 τῷ φόβῳ scripsi: τῇ φωνῇ cod.

τὰ ἀρτίτοκα βρέφη παρ' ὕπνου ἐγειρόμενα καὶ καθελκόμενα καὶ γογγύζοντα καὶ καλοῦντα τὴν μητέρα.

UEA b. κνυζεῦνται: κυρίως [ἐπὶ τῶν ὀρνέων, καταχρηστικῶς δὲ καὶ] ἐπὶ τῆς ἡσύχου καὶ ἀσήμου ὑλακῆς τῶν κυνῶν· καὶ ἐνταῦθα οὖν ἀντὶ τοῦ ἄναρθρον φωνὴν προΐενται ὀνειρώσσοντα.

$U^{E}E^{E}A$ c. κνυζεῦνται: ἐν τῷ κοιμᾶσθαι ἄσημον καὶ ἄναρθρον ἀποτελοῦντα φωνήν· ὑποψιθυρίζουσι γὰρ φαντασιαζόμενα.

K 110 a. ἀλλ' ἐπάγαν: οὕτως ὡς ἴση καὶ ὁμοία γενέσθαι τὸ ὅλον σῶμα δαγῦδι.

UEA b. ⟨ἐπάγην δαγῦδι⟩ καλὸν χρόα: κρυστάλλῳ ὁμοία KUEA ἢ στήλῃ. c. ὅμοιον τῷ παρ' Ὁμήρῳ (*P* 434). 'ἀλλ' ὥστε στήλη μένει ἔμπεδον.'

$KUE^{E}A$ d. δαγῦδες Ἀφροδίτης ἀπεικονίσματα.

K e. δαγῦδές εἰσι νύμφαι, αἷς κοσμοῦνται αἱ κόραι.

UEA f. ἀλλ' ἐπάγην δαγῦδι: ἀντὶ τοῦ· ἄφωνος γέγονα ἀπὸ πάντων τῶν μερῶν ὁμοία δαγῦδι. δαγὺς δέ ἐστι κοροκόσμιόν τι, ᾧ αἱ παρθένοι κοσμοῦνται. καλοῦσι δὲ αὐτὸ καὶ νύμφην· οἱ δὲ πλαγγόνα, ὡς Ἀττικοί, ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ.

g. δαγὺς κόσμος †ἐγκάρδιός† ἐστι γυναικῶν ⟨. . .⟩ καὶ στέφανος περισφίγγων τὴν κεφαλὴν καὶ πεπηγὼς ἐπ' αὐτήν.

---

3 sch. VI 29/30 e cum loc. sim. 17 Hesych. δατύς (l. δαγύς). κάχαρις. Phot. πλαγγών sch. Lyc. 366, 6 Scheer sch. Clem. Al. Protr. 314, 20 Staehlin 19 sch. Call. H. Dem. 92

---

1 παρ' ὕπνου Ziegler: πρὸς ὕπνον cod. καὶ καθ. (scil. τοὺς μαστούς) scripsi: ἢ καθ. cod. 3 l.: κνυζεῦνται scripsi monente Jacobsio (p. XXXIV): φωνεῦντα codd. haec spuria iudicavit Ahrens ut male translata e sch. VI 29/30 m 7 hoc scholium potius ad lectionem κνυζεῦντα pertinere vidit Ahrens 11 supplevi 14 δαγύδας Ἀφρ. ἤγουν ἀπεικόνισμα **UEA** 15 δ. εἰ. αἱ κοσμούμεναι ταῖς κόραις νύμφαι cod., correxi 16 ἀπὸ—μερῶν om. **EA** 18 verba ᾧ—κοσμοῦνται, quae Ahrens deleverat, traieci; in libris leguntur post δαγῦδι 21 ἐγκάρδιος **UE**: ἐγκάρσιος, quod praefert L. Dindorf *Thes. III* 57, **A**: ἐπικάρδιος prop. Geel: ἐγκόρσιος *temporibus adaptatus* Ahrens lac. indicavi, descriptionem sigilli ex parte interiisse puto

112. ὥστοργος: εἰ μὲν κατὰ συναλοιφήν, προπαροξύ- K
τονον ὁ ἄστοργος, εἰ δὲ ἐν ἐπιθέσει, παροξυτόνως· τόργος
γὰρ ὁ γύψ. βέλτιον δὲ τὸ πρῶτον.

114—116a. τόσον ἔφθασας: τοσοῦτον προέφθασας, KUEA
φησί, μεταπεμψαμένη με πρινὴ ἐμὲ ἐθελοντὶ ἐλθεῖν πρὸς σέ,
ὅσον ἐγὼ προέλαβον Φιλῖνον τρέχων.

[b.] πράν: πρώην καὶ ἐκβολῇ τοῦ ω̄ πρὴν καὶ τροπῇ U^{E}E
τοῦ η̄ εἰς ᾱ πράν.

118/119a. ἦλθον: ἦλθον γὰρ ἄν σοι καὶ μὴ μετα- K
πεμψαμένη αὐτόματος, ναὶ τὸν γλυκὺν Ἔρωτα, διὰ ταύτης
τῆς νυκτός.

b. ἢ τρίτος: ἀντὶ τοῦ β΄ ⟨ἢ γ΄⟩ ἦγον, ὥστε εἶναι τρίτος
ἢ τέταρτος φίλος.

c. ἢ τρίτος ἢ τέταρτος: εἰ γὰρ μὴ ἀπεστάλη πρός με, UEA
ἦλθον ἂν ἐγὼ πρότερος νυκτός, νὴ τὸν Ἔρωτα, ἢ τρίτος ἢ
τέταρτος ὑπάρχων σοι προσφιλής· τουτέστιν ἐπεκώμασα ἄν σοι
μετὰ δυοῖν ἢ τριῶν.

[d.] ⟨ἢ τρίτος ἢ τέταρτος:⟩ τοῦτο εἶπεν ὁ Δέλφις, ὅτι U^{E}E^{E}
ἦρα ἡ Σιμαίθα καὶ ἄλλων τινῶν.

120a. μᾶλα μέν: Καλλίμαχος ἐν τῷ περὶ Λογάδων (fgm. K
XXI Schneider, II 283) τὸν Διονύσου στέφανον ἐκ μήλων
εἶναί φησιν, ἐξ ὧν καὶ τὸν Ἱππομένην λαβεῖν Ἀφροδίτης αἰ-
τησαμένης, ὡς Διόδωρος ὁ ποιητὴς ἐν Κορινθιακοῖς.

---

2 Hesych. Phot. Suid. τόργος

---

2 ἐν ἐπενθέσει cod., correxi 4 τόσον — μεταπεμψαμένη UEA: πράν ποκα· μετέπεμψας K 7 κατὰ συγκοπὴν τοῦ ω̄ U καὶ τροπῇ seqq. om. U 12 β΄ scripsi addito ἢ γ΄: δεύτερον Apogr. Barb.: in ipso cod. K lapsu librarii β abiit in κ 14 post ἀπεστάλη Ahrens add. ἡ δούλη e glossa byzantina, ἀπεστάλκεις coni. Piccolos 15 πρότερος idem significare videtur ac supra αὐτόματος, dubitarunt de eo Geel et Ahrens 16 ἀπεκώμασα (-αν E)—μετὰ τριῶν ἢ τεσσάρων EA 22 αἰτησάμενον Schneider 23 Κορινθικοῖς cod., corr. Schneider. fort. Diodorus intellegitur ὁ Ἐλαΐτης, cuius elegiae laudantur ad Parthenii Narr. am. 15

KUEA b. μᾶλα μὲν ἐν κόλποισι ⟨Διωνύσοιο⟩: τὰ ἐράσμια καὶ ἔρωτος ποιητικά, καθὸ ⟨τὰ⟩ ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ἐκ τῶν Διονύσου, ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὥς φησιν ὁ Φιλητᾶς (fgm. 15 Bach, p. 50)· 'τά οἵ ποτε Κύπρις ἑλοῖσα μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.'

K 121 a. λεύκαν Ἡρακλέος: ⟨Ἐρατοσθένης ἐν πρώτῳ⟩ Ὀλυμπιονικῶν φησι τὸν Ἡρακλέα κατελθόντα εἰς Ἅιδου εὑρεῖν παρὰ τῷ Ἀχέροντι φυομένην τὴν λεύκην καὶ αὐτῇ ἀναστέψασθαι, ἣν Ὅμηρος ἀχερωΐδα καλεῖ.

b. ἀνδρός ἐστι τεχνικοῦ καὶ συνετοῦ τὰ ἐρωτικὰ ἐρασθεῖσαν γυναῖκα μὴ παντελῶς ἀποστρέφεσθαι — ἡ γὰρ ἀμφὶ τούτων ἄγνοια μῖσος ἀπεργάζεται —, μεταδιδόναι δὲ καὶ λόγων μᾶλλον ἐνίοτε τῇ ἐρώσῃ καί πως ὑποφαίνειν αὐτὸν καὶ ἐρῶντα. ἐκ μὲν γὰρ τοῦ παντελῶς ἀποστρέφεσθαι κατάλυσίς ἐστι τοῦ ἔρωτος, ἐκ δὲ τοῦ δοκεῖν πως ἀντιφιλεῖν καὶ παρέχειν ἐλπίδα μίξεως τῇ ἐρώσῃ αὔξησις μᾶλλον τοῦ πόθου. τοιοῦτον δή τινα καὶ τὸν Δέλφιν δείκνυσιν ὁ ποιητικὸς λόγος ἡμῖν.

UEA c. λεύκαν Ἡρακλῆος: ἐστεφανωμένος δέ, φησί, λεύκῃ ἐληλύθει διὰ τόδε ταύτῃ, ὅτι ἀθλητικός τις ὁ Δέλφις ἐστὶν

---

7 sch. AB *N* 389 Harp. Phot. Suid. λεύκη Serv. auct. Verg. Buc. VII 61 cf. C. Boetticher *Der Baumkultus d. Hellenen 1856, 441*

---

1 supplevi **UEA** add. post l.: μῆλα ἔχων ἐν κόλποις, post ποιητικά: λέγοι δ' ἂν τοῦτο, post Διονύσου: οἷς στεφανοῦνται (οἷς στεφανοῦνται Warton, ἣν στεφάνου καὶ Ahrens) 2 ⟨τὰ⟩ add. Ahrens 3 τῶν scripsi: τοῦ codd. ταῦτα δὲ eici vult Duebner 4 Φιλητᾶς (corr. in Φιλιτᾶς **UE**) **UEA**: Φιλήτας **K** 5 ἑλοῦσα **K** Διωνύσου Casaubon (p. 249): Διονύσοιο **K**: Διόννσον cett. 8 Ὀλυμπιόνικος, quod ne nomen quidem est, cod.; supplementa debentur Duebnero revocanti ad Eratosthenis fragmenta 19 sqq. Mueller *Herod. ex rec. Dind. 1844, App. 203* εὑρεῖν Call.: ἐλθεῖν cod. 9 αὐτῇ ἀναστέψασθαι Ahrens (ap. Ziegl.): αὐτὸν ἀναστρέψασθαι cod. 17 τῇ ἐρώσῃ αὔξησις Ziegler: τῆς ἐρώσης αὔξησιν **K** rescr.: καὶ ἔρωτος αὔξησιν **Apogr. Barb.**

ὡς καὶ Ἡρακλῆς, ὃς τὸ φυτὸν ἀπὸ τοῦ ἐν Ἅιδου Ἀχέροντος εἰς ἀνθρώπους ἐκόμισε.

122. πορφυρέαισι περιζώστραισι: πορφυροῖς λημνίσκοις καὶ ταινίαις περιειλημένον ἔχων τὸν τῆς λεύκης στέφανον. KUEA

124—128. καί μ' εἰ μέν κ' ἐδέχεσθε: καὶ εἰ μὲν ἐδέχεσθέ με, ἐκάθευδον ἂν ἀρκούμενος, καὶ εἰ μόνον τὸ στόμα σου ἐφίλησα — καὶ ταῦτα ἂν καλῶς εἶχεν ἡμῖν· ἄριστος γὰρ τῶν ἡλικιωτῶν εἰμι — εἰ δὲ ἀπώσασθε, τότε ἂν τὴν βίαν προσῆγον.

133/134a. καὶ Λιπαραίου Ἡφαίστου: Λιπάρα τόπος· ἤγουν τοῦ ἐν Λιπάρᾳ πυρός. UEA

b. λιπαραίου: λιπαραῖον πῦρ τὸ εὐτραφὲς καὶ μὴ λεπτόν, ἀλλ' ἐκ περιουσίας. ἢ ἄλλως· τὸ λιπαρᾶς ὕλης ἐπιδραξάμενον, οἷον δᾴδων καὶ ἑτέρων τοιούτων. U^{r}EA

140/141a. ταχὺ χρώς: καὶ ταχέως ἐμαλάχθημεν χρωτισθέντες ἀλλήλοις. KUEA

b. ⟨χρὼς ἐπὶ χρωτί:⟩ σχῆμα σεμνότητος. U^{K}E^{r}

c. καὶ τὰ πρόσωπα: τοῖς τε προσώποις ἐπυριάθημεν διὰ τὴν ἐνέργειαν. UEA

143. ἐπράχθη τὰ μέγιστα: τὰ τῆς συνουσίας. ἴσως δὲ ταὐτό φησιν, ὅ, τι ἐψιθυρίσδομεν ἀδύ (v. 141). KUEA

144—149. κοὐκέτι τῆνος: καὶ οὐδὲν ἀλλήλοις ἐνεκαλέσαμεν. ἀλλ' ἦλθέ μοι, φησί, περὶ τὸν ὄρθρον ἡ Μελιξοῦς καὶ Φιλίστας [ἡ] τῆς ἐμῆς αὐλητρίδος μήτηρ καὶ εἶπεν, ὅτι Δέλφις ἐρᾷ.

150—153a. εἶπέ μοι, φησίν, ἀγγείλασα τοῦτο μόνον, KU^{1-a}E^{1-a}A^{1-a}

---

15 Eust. 624, 63: τὸ παρὰ Θεοκρίτῳ λεχθὲν ὡς ἐν λόγῳ σεμνῷ τὸ ἐπὶ χρωτὶ χρὼς ἐπεπαίνετο, ἤγουν ἐρωτικῶς ἐμαλθάσσετο.

---

4 περιειλημμένον codd., corr. Ahrens 20 ἴσως K: ἴσα cett. 21 ταὐτό φησιν, ὅ, τι scripsi: ταῦτά φησιν, ὅτι codd. ἐψιθυρίσδομεν K: -ζομεν cett. 22 καὶ om. K 24 ἡ alterum deesse dicitur in cod. Par. 2835 et in cod. Genev. 26 U^{2} rubro colore l. ἀτὰρ τόσον praem. Ahrens

ὅτι ὁ Δέλφις ἐν συμποσίῳ τοῦ ἐρωμένου χάριν κυάθους συνεχῶς ἀκράτου ἐπεχεῖτο καὶ τὸ τέλος καταλιπὼν τὸ συμπόσιον ᾤχετο λέγων στεφανώσειν αὐτοῦ τὸν οἶκον. εἰώθασι γὰρ οἱ ἐρῶντες
KU¹E²A¹ *τῶν ἀγαπωμένων πλείονας κυάθους ἐπιχεῖσθαι.* b. *Καλλίμαχος* (Ep. 29, 1. 2 = Anth. Pal. XII 51, 1. 2)· *'ἔγχει καὶ πάλιν εἰπὲ „Διοκλέος". οὐδ' Ἀχελῷος κείνου τῶν ἱερῶν αἰσθά-*
U²E¹A² *νεται κυάθων.'* c. *τοῦ γὰρ ἐρωμένου ὁ ἐραστὴς τοῖς ἐκ τοῦ δαιτυμόνος διδομένοις ἀγγείοις οἶνον ἔβαλλεν.*

KUEA d. *ἀτὰρ τόσον αἰὲν ἔρωτος ἀκράτου: ὑπὸ ἔρωτος κατείχετο καὶ ἔφυγέ σε.*

156. *ὅλπαν: ὅλπη κυρίως ἡ δερματίνη λήκυθος, δι' ἧς ἔστιν ὀπιπεύεσθαι τὸ ἔλαιον. νῦν δὲ ἴσως τὴν χαλκῆν φησι λήκυθον διὰ τὸ Δωρίδα φάναι ἀντὶ Κορινθίας· τὰ γὰρ Κορίνθια χαλκώματα διαβεβόηται.*

158. *ἦ ῥ' οὐκ ἄλλο: ἐπαποροῦσα ἠθικῶς φησιν· ἆρα οὐκ ἔχει ἄλλο τι τερπνὸν καὶ ἡμῶν ἐπιλέλησται;*

KUE 159/160. *καταθύσομαι: καταδήσω, φησίν, αὐτὸν τοῖς φαρμάκοις. ἐὰν δέ τι λυπῇ με, κρούσει τὴν Ἅιδου πύλην, τουτέστι καταχειριοῦμαι αὐτόν.*

---

11 Et. Gen. (Et. M. 623, 2): *ὅλπις· ... σημαίνει δὲ τὴν λήκυθον. εἴρηται δὲ παρὰ τὸ οἱονεὶ ἐλαιόπιν (ἐλαιόλπιν* A*) τινὰ εἶναι διὰ τὸ δι' αὐτῆς ὀπιπεύεσθαι (ὀπίπεσθαι* B*) τὸ ἔλαιον.* sch. III 25/26 f cum loc. sim.

---

1 *τῆς ἐρωμένης* K *κυάθους* K: *κυάθου* U¹E²A¹: *σκύφου* U²E¹(A²) 3 *γὰρ* U²E¹·²A²: *δὲ* cett. *χάριν* post *ἐρῶντες* add. U²E¹A² 4 *ἐπεγχεῖσθαι* U¹E²A¹ 6 *Διοκλέους ὁ δ'* U¹E²A¹ *κείνου* Anth. Pal.: *ἐκείνου* KU¹A¹: *ἐκεῖνος* E² *αἰσθάνεσθαι* K 7 *τοῦ γὰρ ἐρωμένου* scripsi: *τὸν γὰρ ἐρώμενον* codd.: *τῷ γὰρ ἐρωμένῳ* Adert: ⟨*διὰ*⟩ *γὰρ τὸν ἐρώμενον* Piccolos: *τὸν γὰρ ἐρώμενον* ⟨*ὀνομάζων*⟩ Ahrens. de cottabo dici videtur, cf. Athen. XV 668 b 9 *ἔρωτος* in l. om. K *ἀκράτως* UEA 11 *κερατίνη* J. H. Voss *Anm. u. Randgl. 1838, 175* 12 *ὀπιπεύεσθαι* Alberti *Hesych. II 1766, 747*: *ὀπήσασθαι* K: *ὀπτήσασθαι* cett. *τὸν οὐλεόν* K 13 *ἀντὶ Κορινθίας* K: *ἐπὶ Κορινθίαν* cett. 14 *διαβεβόητο* K 15 *ὅτι οὐκ ἔχει τι ἄλλο* K 17 *καταθύσομαι—φαρμάκοις* om. UE l. *αἰ δέ τι κἠμέ* reliquis praemittentes 19 *μεταχειριοῦμαι* K

161/162 a. *τοιαῦτά φημι δραστήρια φάρμακα ἔχειν, ὦ δέσποινα Σελήνη, μαθοῦσα παρά τινος ἀνδρὸς Ἀσσυρίου ἐμοὶ προσφιλοῦς.* K

b. *Ἀσσύριοι ἔθνος Περσικὸν ἀκριβὲς εἰς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. μέχρι δὲ τούτων τῶν ποταμῶν Σαρδανάπαλος ἐξέτεινε τὰ ὅρια.*

c. *Ἀσσυρίῳ, δέσποινα: παρὰ Ἀσσυρίου τινός φησι τὰ φάρμακα μεμαθηκέναι. δέσποιναν δὲ τὴν Σελήνην φησί.* KUEA

[d.] ⟨*δέσποινα:*⟩ *ὦ Σελήνη.* ⟨*Ἀσσυρίῳ παρὰ ξείνοιο: παρὰ*⟩ *τοῦ φίλου μου Ἀσσυρίου.* UEA

163. *τρέπε πώλους: πρὸς δύσιν τρέπε. δοκεῖ γὰρ ἐπέχειν τὴν Σελήνην διὰ τῆς μαγείας.* K

165/166 a. *εὐκήλοιο: τὸ ἑξῆς· ὦ ἀστέρες εὐκήλου Νυκτὸς κατὰ τὴν ἄντυγα· ὀπαδοί.* KUEA

b. *ἐπὶ γὰρ ἅρματος ὀχεῖται ἡ Νύξ. Εὐριπίδης* (fgm. 114 Nauck *Trag. gr. fgm.*^{2} *393*)· *'ὦ Νὺξ ἱερά, ὡς μακρὸν ἵππευμα διώκεις ἀστροειδέα νῶτα διφρεύουσα.'* K

c. *τουτέστιν ἀκολουθοῦντες τῇ Νυκτὶ καὶ συμπαρεπόμενοι τῷ ἅρματι αὐτῆς. ἄντυγα δὲ ἀπὸ μέρους τὸ ἅρμα φησί. λέγει δὲ τὴν Νύκτα ἐφ' ἅρματος ὀχεῖσθαι.* UEA

d. *ἀστέρες: ἐπιγενομένης τῆς νυκτὸς φαίνονται οἱ ἀστέρες. ποιητικὸν δὲ τὸ τὴν Νύκτα ἐπὶ ἅρματος ὀχεῖσθαι καὶ παράγειν ἡνιοχοῦσαν.* K

[e.] ⟨*κατ' ἄντυγα:*⟩ *κατὰ τὴν περιφέρειαν τοῦ σφαιρώματος.* U$^{\pi}$E$^{\pi}$

---

19 sch. Call. H. Dian. 140

---

2 *ἐμοῦ* cod., corr. Wilamowitz 5 *ποταμῶν* idem: *τόπων* cod. 7 *φησι* om. K 9 *ὦ* Ahrens: *τῇ* codd. 13 *εὐκήλοιο N.* K 16 *ἵππευμα* cum Ar. Thesm. 1066 Call.: *ἵππωμα* cod. 22 *δὲ τὸ τὴν* Call.: *τὸ καὶ τὴν* cod. 24 *περιφέρεια ἡ τοῦ* U

XIV. *Κυνίσκας Ἔρως*

KLUEABP a. *Ἐν τούτῳ τῷ εἰδυλλίῳ διήγησίς ἐστι καταστάσεως ἐρωτικῆς καὶ Κυνίσκας ἔρωτος. ἡ γὰρ γυνὴ τοῦ Αἰσχίνου μᾶλλον προσέκειτο Λύκῳ τινί, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνίχου δέ τινος ἑταίρου προσιόντος αὐτῷ διὰ χρόνου δικαίως εἰσάγεται προλέγων ‘χαίρειν πολλά’ ὁ Αἰσχίνης.*

KU^{r}E^{r}AB$^{1\cdot2}$P$^{1\cdot2}$ b. *τὰ πράγματα ἐν Σικελίᾳ.*

KUEABP 1 a. ⟨*χαίρειν πολλά:*⟩ *χαίρειν φησὶ πολλὰ τὸν ἄνδρα Θυώνιχον· λείπει δὲ τῷ λόγῳ τὸ γένοιτο ἢ τὸ λέγω.*

K^{E}U^{E}E^{E}P^{E} b. ⟨*ἀλλά τοι αὐτῷ:*⟩ *ἀλλὰ καὶ σοὶ γένοιτο χαίρειν.*

KUEABP 2 a. *τί δέ τοι τὸ μέλαμα:* ὁ *Θυώνιχος· οἶδα κἀγώ, ὅτι βραδέως ἥκω· τίς δέ σοι* [*ἡ φροντὶς*] *ἡ ἐρωμένη; φησίν. οὕτω γάρ φασι μέλημα τὴν ἐρωμένην. ἢ αὐτὴ ἡ φροντὶς μέλημα.*

UEABP b. *τί δέ τοι τὸ μέλημα: τίς δέ σοι φροντὶς χάριν τοῦ μὴ ἰδεῖν με;*

c. *μέλημα: ἢ ἡ βραδύτης ἢ ἡ φροντὶς ἢ ἡ ἐρωμένη. κάλλιον δὲ τὸ ἡ φροντίς, ἵν’ ᾖ ἀπὸ τοῦ Θυωνίχου τὸ λεγόμενον· χρόνιος μὲν ἦλθον ἐγώ, σὺ δὲ περὶ τίνων φροντίζων ἔοικας εἶναι σύννους;*

Tit.: *Κυν. ἔρως* ex argumento a Call.: *Αἰσχίνας ἢ Θυώνιχος* LGP: *Αἰσχ. Θυώνιχον* K: om. cett. 3 *καὶ Κυνίσκας* scripsi Ahrensii adnotatione edoctus: *καὶ κοινῆς καὶ* K: *κοινῆς καὶ* L: *κοινῆς τοῦ τῆς Κυνίσκας* cett. *γὰρ γυνὴ τοῦ Αἰσχ.* in K a sec. (K^{c}) add. 4 *μᾶλλον* om. omnes praeter K 6 *προλέγων* seqq., quae in L desunt, cum praecedentibus coniunxi; post *χρόνου* aliquid intercidisse inde a Meinekio putabant. K: *προλέγ* cp. *ὁ Αἰσχ.*, cett.: *προλέγων* (*προλέγ* cp. A, *προλέγει* P), deinde interposito argumento b verba *χαίρειν πολλά· ὁ Αἰσχ.* ut initium scholii 1 a 8 l. addidi, v. notam ad arg. a 11 *ὁ Θυών. οἶδα* K: *οἶδα, φησί* cett. 12 *βραδέως* K: *βραδὺς* cett. *τίς* Ahrens: *τί* codd. del. Ziegler 13 *οὕτω γὰρ μέμηλε τῆς ἐρωμένης ἢ αὐτῆς τῆς φροντίδος* UEAGP

3/4 a. *οὐχ ὡς λῷστα δὲ ἀντὶ τοῦ οὐ κατὰ γνώμην.* KU^{5}E^{5}

b. *ἄρα λεπτός: λεπτὸς ἐγένου, ὦ Αἰσχίνη, καὶ ὁ μύσταξ οὗτος πολὺς ὢν ἐκ τῶν φροντίδων οὐκ ἔτυχεν ἐπιμελείας, ἔτι τε ἡ κόμη σου αὐχμηρὰ καὶ ἀτημέλητος.* K^{c}UEAΘP

c. *ὁ πρίν, φησί, λεπτὸς μύσταξ διὰ τὸ συχνάκις κείρεσθαι νῦν πολὺς διὰ τὸ ἀτημέλητος εἶναι καὶ ἄκαρτος.* UEAΘP

d. *κίκιννοι: ὁ νοῦς· κομῶντί σοι τὸ γένειον καὶ οἱ κίκιννοι κατάξηροί εἰσιν ὡς διὰ τὴν λύπην καὶ τὸ κείρεσθαι παραιτουμένῳ.* KU^{5}EAP

5 a. *τοιοῦτος πρώαν τις: τοιοῦτός τις, φησίν, ἦλθεν Ἀθήνηθεν εἰς Σικελίαν πρὸ τούτου Πυθαγορικὸν ἐπαγγελλόμενος δόγμα. φασὶ δὲ τοῦτο εἰς Πλάτωνα τὸν φιλόσοφον λέγεσθαι· ἀκούσαντα γὰρ αὐτῶν ἐν Ἰταλίᾳ διαβῆναι εἰς Σικελίαν συντευξόμενον Διονυσίῳ τῷ τυράννῳ.* KUEAΘP

διαφέρουσι δὲ Πυθαγορικοὶ τῶν Πυθαγοριστῶν, ὅτι οἱ μὲν Πυθαγορικοὶ πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος, οἱ δὲ Πυθαγοριστὰι περιεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται. τινὲς δὲ Πυθαγοριστὰς μὲν λέγουσι τοὺς ἀποδεχομένους τὰ Πυθαγόρου, μὴ ὄντας δὲ τῆς ἐκείνου δόξης, Πυθαγορικοὺς δὲ τοὺς τὰ Πυθαγόρου φρονοῦντας.

b. *ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι, ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε τὸν Πλάτωνα Πυθαγοριστὴν εἰρῆσθαι.* UEAΘP

---

15 Diels *Fgm. d. Vorsokr. I*^{3} *1912, 373*

---

4 *ἔτι δὲ* cod. Genev. teste Ahrensio 10 *ἦλθεν* K: *ἦκεν* cett. 13 *λέγεσθαι* K: *λέγειν* cett. *ἀκούσαντα γὰρ αὐτῶν* (hoc Wilamowitzio debeo) *ἐν Ἰτ. διαβ. εἰς Σικ.* scripsi: *ἀκούσαντες αὐτὸν* (*αὐτοῦ* GP) *ἐν Ἰτ.* (*ἐξ Ἰταλίας* Tricl.) *διαβ. εἰς Σικ.* UEAGP: *διαβ. γὰρ αὐτὸν ἐν Ἰτ.* K 14 *συνταξόμενον* GP, om. U 17 *ὑπεσταλμένῃ* Ahrens 19 *διαίτης* Hemsterhuys, *σχολῆς* Geel 20 *τὰ Πυθαγόρου φρον.* K: *οὕτω φρον. ὡς ἐκείνους* (*ἐκεῖνον* G) *καὶ κατὰ Πυθαγόραν διαιτωμένους* cett. 21 *τὰ Πυθαγόρου* Geel, sed cf. sch. c 23 *Πυθαγορικὸν* P

τῶν Πυθαγόρου οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγινόμενοι τῷ Πυθαγόρᾳ ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι, οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί.

UEAP c. Πυθαγορικὸς καὶ Πυθαγοριστὴς διαφέρει. καὶ Πυθαγορικὸς μέν ἐστιν ὁ τοῦ Πυθαγόρου ἔχων τὰ ἰδιώματα καὶ τοὺς τρόπους, Πυθαγοριστὴς δὲ ὁ τὰ τοῦ Πυθαγόρου ποθῶν, πλὴν μὴ κατ' ἐκεῖνον ὢν μηδὲ τὰ ἐκείνου ποιῶν. ἐνταῦθα δὲ Πυθαγοριστήν τινες τὸν Σιμιχίδαν, ἕτεροι δὲ τὸν Πλάτωνά φασιν. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε τὸν Πλάτωνα Πυθαγοριστὴν εἰρῆσθαι. ἕτεροι δὲ ἐναντία περὶ τοῦ Πυθαγορικοῦ καὶ Πυθαγοριστοῦ λέγουσιν.

K^{c} [6.] ἀνυπόδετος Ἰωνικόν, ἀνυπόδητος κοινόν, ἀνυπόδατος Δωρικόν.

KU^{s}E^{s} 7. ἐμοί, φησί, δοκεῖ, ὅτι ἐν τῷ λιμώττειν ἥρατο καὶ ἐπεθύμει ὀπτοῦ ἀλεύρου, ὅθεν καὶ ὠχρός τις ἦν.

K^{c}UEAGP 8. παίσδεις ὠγάθ' ἔχων: Ἀττικῶς τὸ ἔχων παρέλκει. ἀντὶ τοῦ· σὺ μὲν παίζεις, ἐμὲ δὲ ἡ Κυνίσκα ἐκμαίνει ἐρῶντα αὐτῆς.

KUEAGP 9 a. λανθάνω, φησίν, ἐμαυτὸν εἰς μανίαν ἐμπεσών. εἶτα· διὰ μέσου θρίξ, ἤγουν ὀλίγον ἔσται τὸ μεταξὺ τοῦ μὴ πάντα με μανῆναι.

---

1 haec ad verbum fere leguntur et apud Photium (Bibl. 249, 438 b 19—26 Bekker) et apud Suidam (*Πυθαγόρας*, II b 554, 12—17 Bernhardy), unde huc devenerunt.

---

5 αὐτῶν GP 8 *Πυθαγορικὸς* bis Duebner: *Πυθαγορικτὴς* codd. 12 *Πυθαγοριστήν* bis Ahrens: *Πυθαγορικτήν* codd. 16 *Πυθαγορικοῦ* Ahrens: *Πυθαγορικτοῦ* codd. 19 *δοκεῖν* K 21 *Ἀττικῶς* om. K^{c} 22 *ἐρῶντα αὐτῆς* om. K^{c} 23 *φησίν* K: *πῶς* cett. *ἐμπεσών* K: *πεσών* cett. *διὰ μέσου θρίξ* scripsi: *διὰ μέσου τοῦ θρὶξ* K: *διὰ μέσον τὸ θρὶξ ἀνὰ μέσον* cett. 24 *ἔσται* K: *δέ ἐστι* cett. *τοῦ πάντη με* K

b. λασῶ δὲ μανείς: ἔοικα δὲ λανθάνειν ἐμαυτὸν εἰς μα- UEAGP
νίαν πεσών· ὀλίγον δὲ τὸ μεταξύ ἐστι καὶ ἀκαριαῖον τοῦ πάντα με κατασχεθῆναι τῷ πάθει τῆς μανίας.

10a. ἄσυχα ὀξύς: ἐκ τοῦ παραχρῆμα καὶ τοῦ σιωπᾶν KUEAP
ὀξυνόμενος.

b. ὅτι μανιώδης εἶ ἠρέμα· οἷον· ἔχεις τι καὶ ὀξύτητος, K
οὐ γὰρ πάντῃ σιωπηλὸς ὑπάρχεις.

c. ὃς οὐ πάντῃ σιωπηλὸς ὑπάρχεις, ἀλλ' ἔχεις τι καὶ UEAP
ὀξύτητος.

d. ἄσυχα ὀξύς: ἀντὶ τοῦ· αὐτὸς καθ' ἑαυτὸν ἔσω λυ-
πούμενος καὶ τηκόμενος ἐν ἡσυχίᾳ καὶ μὴ ἐν φανερῷ.

11a. κατὰ καιρόν: οὐκ ἀντὶ τοῦ· πάντα κατὰ τὸν καιρὸν τὸν ἐπιτήδειον θέλων πράττειν, ἀλλ' ὥσπερ ἐν ἑνὶ καιρῷ θέλων πάντα πράττειν. K

b. ὅμως δ' εἶπον: ἀντὶ τοῦ· εἰπέ μοι, τί νεώτερον ἢ πρᾶγμα τὸ λυποῦν σε.

12—14a. Ὠργεῖος κἠγών: διηγεῖται τὴν τῆς μανίας ὑπόθεσιν. KUEAGP

b. τὸ δὲ Ἀργεῖός τινες ὄνομα κύριόν φασι καὶ οὐκ UEAGP
ἐθνικόν· τὸ δὲ Θεσσαλὸς ἄντικρυς ἐπίθετον· ἐπάγει γὰρ τὸ Ἆπις.

c. ⟨καὶ ὁ Θεσσαλός:⟩ ἀντὶ τοῦ· ὁ ἐκ Θεσσαλίας Ἆπις καὶ ὁ στρατιώτης Κλεόνικος εἱστιῶντο τὴν εὐωχίαν σὺν ἐμοί, ἐμοῦ παρασκευάζοντος.

d. ⟨ἱπποδιώκτας:⟩ ὁ ἱππικός. $K^{E}U^{E}E^{E}$

15a. τὸ δὲ θηλάζοντα παθητικὸν ἀντὶ τοῦ θηλαζόμενον. K

b. θηλάζοντά τε χοῖρον: οὐ τὸν θηλάζοντα παῖδα, KUEAGP
ἀλλὰ τὸν θηλαζόμενον χοῖρον· ἐνεργητικὸν γάρ ἐστιν ἀντὶ τοῦ παθητικοῦ.

---

25 Hesych. ἱπποδιώκτας· ἡνίοχος (ἡνιόχους cod., em. Alberti).

---

3 με Duebner: μοι codd. 8 ὡς P 9 ὀξύτατον P
12 ἀντὶ τοῦ οὐ cod., mutavi 14 θέλων πάντα πράττειν suppl. K^{c} in marg. 22 suppl. Ahrens 24 ὁμοῦ παρασκευάζοντες codd., corr. Ahrens 27 οὐ γὰρ τὸν sine l. K παῖδα om. GP

K c. *Βίβλινον οἶνον τὸν Θρᾳκικὸν ἀπὸ τόπου Θρᾴκης ⟨ἔχοντος οἶνον⟩ ἢ οὕτω καλουμένης τῆς ἀμπέλου.*

KUEABP 16 a. *ὡς ἀπὸ λανῶ: ἀντὶ τοῦ· παλαιὸν μὲν ὄντα καὶ τεσσάρων ἐτῶν, ἀνίσχυρον δὲ πρὸς τὸ μὴ διοχλῆσαι τῷ πί-*

KUEAP *νοντι·* b. *σχεδὸν γὰρ τότε ἐδόκει ἠντλῆσθαι τῆς ληνοῦ.*

UEAP c. *⟨σχεδόν:⟩ παραχρῆμα καὶ πρὸ βραχέος.*

d. *ἀφθόνως ὡς τὸν ἀπὸ ληνοῦ πλήθοντος ῥέοντα, οὗ διὰ τὸ θολερὸν ἔτι εἶναι καταφρονοῦμεν.*

$K^cU^sE^sGP^m$ 17. *βολβός τις: εἶδος βοτάνης ὁμοίας κρομμύῳ Κολχικῷ.*

K^cUEABP 18. *ἤδη δὲ προϊόντος: ἤδη δὲ προκόπτοντος τοῦ πότου ἔδοξεν ἡμῖν ἐπιχεῖσθαι ἄκρατον, ἤτοι λείβειν ἢ ἐπισπένδειν· οὕτω γὰρ εἰώθασι ποιεῖν ἐν τοῖς συμποσίοις, ἄκρατον λείβειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους καὶ ἐναποχεῖν τῇ γῇ καὶ ἐπιφθέγγεσθαι τῶν φίλων τὰ ὀνόματα.*

K 19 a. *ὦ τινος εἰπεῖν: ἔδει δέ, φησί, μόνον εἰπεῖν,*

KUEABP b. *οὗ χάριν ὁ οἶνος ἐχεῖτο.*

K^c 20 a. *ἄμμες μέν: ἡμεῖς μὲν ὀνομάζοντες ἕνα ἕκαστος ἐπίνομεν ὡς ἐδόκει.*

$K^sU^sE^s$ b. *⟨φωνεῦντες:⟩ ἀντὶ τοῦ ἐπιτάσσοντες.*

---

1 Athen. I 31 a Steph. Byz. *Βιβλίνη* Hesych. *Βίμβλινος* Bekk. An. gr. 225, 31 Suid. *Βίβλινος* Et. M. 197, 32 (cf. Gen.) sch. Hes. Op. 589

---

1 *ἀπὸ τόπου Θρᾴκης* scripsi verbis simul e fine huc translatis: *ἀπὸ τοῦ Θρᾳκός* cod.: *ἀπὸ τῆς Θρᾴκης* Call.: *ἐπὶ τῆς Θρᾴκης* Ahrens 2 supplevi ex hac eiusdem libri glossa: *ἀπὸ Βίβλου* (sic) *τόπου ἔχοντος οἶνον.* ἢ deleverat Ahrens 3 l. *βολβός τις* K *ὡς* pro *καὶ* Ahrens 5 *τότε* om. UEAP scholium c post *ἐδόκει* inicientes 6 supplevi *πρὸ βραχέος* Ahrens: *παραβραχέως* codd. 8 *εἶναι* in libris post *ῥέοντα*, transposui 9 *ὁμοίας κρ. Κολχικῷ* K^c: *Κολχικῆς ὁμοίας κρ.* UEP: *ὁμοίας κρ., ὅπερ καλεῖται σαλύβορβος* (*ἀλίβολβος*? vox lexicis addenda) G 12 *ἡμῖν* in codd. post *προκόπτοντος*, transp. Call. *λείβειν* bis Ahrens: *λαμβάνειν* codd. 14 *τινὰς* K^c: *τοὺς* cett. 15 *ἐπιφθέγγεσθαι* K^c: *φθέγγεσθαι* cett. *τῶν* om. K^c *φίλων τὰ* scripsi: *φιλούντων* codd.: *φιλτάτων ⟨τὰ⟩* Call.: *φίλων αὐτῶν ⟨τὰ⟩* Warton

21 a. ἢ δ' οὐδέν: ἡ δὲ ἐμοῦ παρόντος, φησίν, οὐδὲ K°UEAGP
ἀποκρίσεώς με ἠξίωσεν ἐν τῷ ἐπιχεῖσθαι αὐτῇ κυάθους. τίνα
οὖν με δοκεῖς ἔχειν διάθεσιν τοιαῦτα πάσχοντα;

b. ἢ δ' οὐδέν: ἡ δὲ Κυνίσκα οὐκ ἔπινεν †πλαως σύν- K°
ταϊς† παρόντος ἐμοῦ.

c. ἡ δὲ πίνουσα οὐκ ἐφώνει καθὼς ἡμεῖς παρόντος ἐμοῦ. UEAGP

22/23 a. ἔπειτα, φησί, σιγώσης αὐτῆς ἔπαιξέ τις εἰς K°UEAGP
αὐτὴν εἰπών· οὐ φθεγξῇ; λύκον εἶδες. τοῦτο ἀμφιβόλως
εἴρηται, ἢ ὅτι Λύκου ἐρᾷ ἡ Κυνίσκα, ἤ, καθὸ οἱ ὀφθέντες
ἄφνω ὑπὸ λύκου δοκοῦσιν ἄφωνοι γίνεσθαι. οὗτος δὲ ἐναν-
τίως εἶπεν, οὐχὶ 'μήποτε ὑπὸ λύκου ὤφθης', ἀλλά 'μήτι λύ-
κον εἶδες'.

b. λύκον εἶδες: παροιμία ἐπὶ τῶν βλεπόντων τι καὶ K°U^{b}E^{e}
ὠχριώντων.

c. ὡς σοφός, εἶπεν: ἡ Κυνίσκα, φησί, εἶπε πρὸς τὸν KK°UEAGP
εἰς αὐτὴν παίξαντα 'ὡς σοφός τις ⟨εἶ⟩', καὶ ἅμα ταῦτα εἰποῦσα
καὶ μνησθεῖσα τοῦ Λύκου οὕτως ἐφλέγετο, ὡς καὶ λύχνον
ἀπ' αὐτῆς ἀνάψαι.

d. ἔπαιξέ τις πρὸς τὴν Κυνίσκαν· οὐ φθεγξῇ, οὐ λα- UEAGP
λήσεις. λύκον εἶδες, ὡς σοφὸς εἶπεν, ἤγουν ὡς ὁ παροι-
μιαστὴς ἐφθέγξατο.

e. εὐμαρέως κεν ⟨ἀπ' αὐτᾶς⟩ καὶ λύχνον ἅψας: K°
ὡς ἀπὸ τοῦ ἔρωτος κοκκίνη γέγονε κατὰ πρόσωπον, ὥστε
σχεδὸν φαίνεσθαι καὶ πῦρ ἀνᾶψαι ἐκ τοῦ προσώπου αὐτῆς.

---

8 Apost. X 89, ubi plura Leutsch congessit

---

3 ταῦτα UEA 4 haec vocabula quamvis clarissime scripta expedire ne apographorum quidem auctori contigit; in altero latere mihi videtur vox *σύνταξις* 6 ἡ δὲ πίνουσα Ahrens: ἠδὺ πίνουσι codd. 9 ὅτι ante καθὸ add. K° 10 οὗτος Call. puncto antea posito: οὕτω codd. Ahrens lac. post οὕτω statuit 13 βλεπόντων om. UE τι καὶ ὠχριώντων UE: λύκον καὶ ὠχριωμένων K°. 15 l. om. K τὸν εἰς αὐτὴν KK°: αὐτὸν εἰς αὐτὸν UA: αὐτὸν τὸν εἰς αὐτὸν cett. 16 suppl. Wilamowitz 18 αὐτῆς KK°: αὐτοῦ cett. ἀνάψαι K: ἅψαι cett.

K^cUEAGP 24/25. *Λάβα τῶ γειτονος υἱός: τοῦ Λύκου φησὶν ἐρᾶν τὴν Κυνίσκαν διὰ τὸ κάλλος τοῦ μείρακος· Λάβα δέ τινός φησιν ὑποβαλὼν ἀπὸ τοῦ λαμβάνεσθαι.*

$K^EU^EE^EP^E$ 26. *⟨κλύμενον:⟩ ἐξάκουστον.*

K^cUEAGP 27/28 a. *χἀμῖν τοῦτο: παρηκηκόειν, φησί, καὶ πρότερον περὶ τοῦ ἐρᾶν αὐτὴν τοῦ Λύκου, ἀλλ' ἡσύχως, διόπερ οὐκ ἐξήτασα.*

b. *μάταν εἰς ἄνδρα γενειῶν: τουτέστι ματαιοπώγων ὑπάρχων, οἷον μάτην ἀνδρὸς πώγωνα ἔχων διὰ τὸ μὴ χρῆσθαι τῇ ἀνδρὸς ῥώμῃ.*

U^E [c.] *⟨γενειῶν:⟩ γενειήτης γενόμενος.*

$U^EE^EP^m$ [30.] *⟨τὸν ἐμὸν Λύκον ᾄδεν:⟩ ἦθος εἰρωνικὸν ἀντὶ τοῦ· περὶ αὐτοῦ τοῦ Λύκου ᾖδεν.*

$UEAGP$ 31 — 33 a. *Θεσσαλικόν τι μέλισμα: οἷον Αἰολικήν τινα ᾠδὴν ᾖδεν, ὢν κακόφρων, ὅτι ἐμνήσθη αὐτοῦ.*

b. *ἐξαπίνας: ἡ δὲ Κυνίσκα, φησίν, ἀκούσασα οὕτως ἐξαπίνης ἔκλαιεν οἰκτρῶς ὡς κόρη τοῦ τῆς μητρὸς κόλπου ἐπιθυμήσασα.*

$KUEAGP$ 34 a. *τῆμος ἐγώ: ἰδὼν αὐτήν, φησί, κλαίουσαν, οἷόν με γινώσκεις ὀργίλον, πυγμῇ τὴν σιαγόνα αὐτῆς ἔπαισα· κόρην γὰρ τὴν γνάθον καὶ σιαγόνα οἱ Ἀττικοί.*

$U^EE^EP^E$ b. *⟨κόρρας:⟩ τὰς σιαγόνας ἢ τὰς μήνιγγας.*

35/36 a. *⟨κἄλλαν αὖθις:⟩ ἐκ δευτέρου ἔδωκα.*

$UEAG^{1.2}P$ b. *ἀνείρυσα δὲ πέπλως: ἀντὶ τοῦ· ἀνέστειλα καὶ*

---

20 Et. M. 529, 39 (cf. Gen.) Et. Gud. 303, 30 Sturz sch. ABT *Δ* 502 Eust. 492, 39 cf. *Aelii Dionysii et Pausaniae Atticistarum fgm. 235 Schwabe, p. 185*

---

1 *υἱός· τοῦ Λύκου* om. K^c 2 *τοῦ μείρακος* K^c: *αὐτοῦ* cett. 3 *τινός* K^c: *τινά* cett. *ὑποβ. ἀπὸ τοῦ λαμβ.* K^c: *τὸν αὐτοῦ πατέρα ἀπὸ τοῦ παραλαμβάνεσθαι ἐκεῖσε τὴν τοῦ Αἰσχίνου γυναῖκα* cett. 10 *ἐρωμένῃ* GP, *γνώμῃ* Geel 14 *Αἰολικήν* Ahrens: *αἰόλον* codd. 15 *αὐτοῦ* Duebner: *αὐτῆς* codd. 19 *φησί* om. K 20 *πυγμῇ* K: *πυγμαῖς* cett. 21 *καὶ σιαγόνα* K: *φασιν* cett. 24 G^2 incipit a verbis *ἡ Κυνίσκα* praemisso lemmate *ἃ πόδες ἄγον*

ἐγύμνωσα καὶ οὕτω δείρας ἐξέβαλον. ἢ ⟨ἀνειρύσασα⟩, ὅτι ἡ Κυνίσκα, φησί, πληγεῖσα καὶ τοὺς πέπλους ἀνελκύσασα ὠκέως διὰ τῶν θυρῶν ἀνέδραμεν.

38. *τήνῳ τὰ σὰ δάκρυα: τῷ Λύκῳ, φησί, τὰ ῥέοντά* KUEAΘP
σου δάκρυα μῆλα πίπτει, τουτέστιν ἔρως καὶ ἐπιθυμία. μήλοις γὰρ εἴκαζον τοὺς ἔρωτας διὰ τὴν περὶ αὐτὰ καλλονήν.

39—42 a. *χελιδών: οὐχ οὕτω τις χελιδὼν τροφὴν* KUE^{m}AΘP
δοῦσα τοῖς νεοσσοῖς ταχέως πάλιν ὑπέστρεψεν ἐπὶ τῷ ἑτέραν κομίσαι, ὡς ἐκείνη λιποῦσα τὸν δίφρον διὰ τῶν θυρῶν ᾤχετο.

b. *μάστακα δ' οἷα τέκνοισι: τροφὴν ἢ ἁπαλὸν καὶ* U^{s}E^{s}ΘP^{m}
τρυφερὸν ἢ ζητήσεως ἄξιον ἐκ τοῦ μῶ τὸ ζητῶ — φέρει δηλονότι.

c. *μαλακᾶς: παρόσον αἱ γυναῖκες μαλακῶς κάθηνται,* KU EAΘP
καθὼς ἐν Συρακουσίαις (XV 28).

d. *ἀμφίθυρον καὶ δικλὶς ταὐτόν ἐστι, δηλοῖ δὲ τὸ* KU^{m}E^{s}AΘP
δίθυρον.

e. *οὕτως ⟨ὡς⟩ αὐτὴν τάχος οἱ πόδες ἔφερον.* UEAΘ$^{1.2}$P

43 a. *εἶτα ἐπάγει τὴν παροιμίαν· ἔβακεν ταῦρος ἀν' ὕλαν. καὶ γὰρ τοῦτο τὸ φῦλον ὕλης δραξάμενον οὐκ ἐπιστρέφεται τῶν οἴκοι, οὐδ' αὖτη ἐκδραμοῦσα ὑπέστρεψεν.* UEAΘP

b. *⟨ἔβα⟩κεν ταῦρος ἀν' ὕλαν: παροιμία ἐστὶ διὰ τὸ* K
τοὺς [Κεν]ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι.

44/45 a. *εἴκατι, ταὶ δ' ὀκτώ: ψηφίζει τὰς ἡμέρας, ἀφ'*

---

10 Athen. XIV 663 a b sch. AT ⊿ 190 Et. Gud. 381, 31 Sturz Et. Or. 98, 20; 101, 3 Et. M. *574, 230 13 41. Hesych. *δίφρακ· κλιντήρ. θρόνος γυναικεῖος.* 15 Hesych. *δικλίδος* Suid. *δικλίς* Eust. 914, 19; 1449, 5 18 Soph. Oed. R. 476

---

1 supplevi 6 *εἰκαστέον* K 8 *δοῦσα* K: *διδοῦσα* cett. *ὑπέστρεφεν* K *τῷ ἑτέραν κομίσαι* K: *τῇ ἑτέρᾳ οἰκίᾳ* cett. 10 verba *τροφὴν ἢ* et *φέρει δηλονότι* desunt in UE, inter lineas exstant in P. *φέρει δηλονότι* post *ζητήσεως* in G, transposui 13 *κάθηνται* K: *καθίζουσιν* cett. 17 suppl. Ahrens 18 post *παροιμίαν* interiectum est in U sch. 39—42 c *ἔβακεν* G: *ἔβαινε* cett. 21 Centauros expuli

οὗ ἐξῆλθε, καί φησι· τοῦ ἐνεστηκότος μηνὸς ἑνδεκάτη ἐστίν, ἃς προσληπτέον ταῖς ἑτέραις, καὶ ⟨ἔσονται νη΄ ἡμέραι⟩.

UEAQP b. σάμερον ἑνδεκάτα: ψηφίζει τὰς ἡμέρας ὁ Αἰσχίνης καὶ γίνονται ξ΄ παρὰ β΄.

c. σάμερον ἑνδεκάτη: τοῦ ἐνισταμένου, φησί, μηνὸς σήμερον ἑνδεκάτη ἐστίν, ἃς καὶ αὐτάς, λέγω δὲ τὰς ἕνδεκα ἡμέρας, προσληπτέον ταῖς προτέραις, καὶ ἔσονται νη΄ ἡμέραι.

K 46 a. οὐδ' εἰ Θρᾳκιστί: οὐδὲ εἰ μεταμεμόρφωμαι, οἶδε. Θρᾳκιστὶ δὲ ἀντὶ τοῦ Ἰλλυριστί.

UEAQP b. Θρᾳκιστί: διὰ τὸ μὴ ἀπηντηκέναι μοι οὐκ οἶδεν εἰ μεταμεμόρφωμαι οὐδ' εἰ Θρᾳκιστί, ἀντὶ τοῦ οὐδ' εἰ Ἰλλυριστί, κέκαρμαι. ἐκείροντο γὰρ οἱ Θρᾷκες διὰ τὸ μὴ ἐν πολέμοις διὰ τριχῶν ἁλοῦσθαι ἢ κενὸν ἔχειν βάρος αὐτάς.

KU^{s}E^{s}GP^{m} 47. Λύκος νῦν πάντα: Λύκος αὐτῇ πάντα ἐστίν, ὥστε καὶ νυκτὸς αὐτῷ τὴν θύραν ἀνεῳχθαι.

KUEAGP 48/49 a. λόγω: ἡμεῖς δὲ παρ' αὐτῇ οὐδ' ἐν ἀριθμῷ ἐσμεν, ὥσπερ οὐδὲ οἱ Μεγαρεῖς ὑπὸ τῆς Πυθίας ἐλέχθησαν εἶναί τινος ἄξιοι λόγου. ἱστορεῖ γὰρ Δεινίας (fgm. 7 Mueller *Fgm. hist. gr. III 25*), ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτέ, ὅτι κράτιστοι τῶν Ἑλλήνων εἰσίν, ἐπύθοντο τοῦ θεοῦ, τίνες κρείττονες τυγχάνοιεν. ὁ δὲ ἔφη (Orac. gr. 178 Hendess *Diss. phil. Hal. 4, 1880, 92*)·

> Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
> ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες,

---

2 spatium in libro vacuum relictum verbis e scholio c petitis explevit Ziegler 6 *λέγει* GP 8 *ἐὰν* cod., correxi 10 *οὐκ οἶδεν εἰ* scripsi: *οἰονεὶ οὐ* codd.: *ὁσονοὺ* Ahrens 11 *οὐδ' εἰ* bis scripsi: *οὐδὲ* codd. 13 *τριχῶν* scripsi pro *τούτων* librorum, Ahrens *τὰς τρίχας* post *Θρᾷκες* addi voluit *ἁλοῦσθαι* UE: *ἁλᾶσθαι* cett.: *ἀτᾶσθαι* Ahrens *αὐτάς* Ahrens: *αὐτούς* codd. 14 *Λύκος αὐτῇ π. ἐστίν* K: *τουτέστιν αὕτη ἐστὶ* (*δὲ* pro *ἐστὶ* GP) *π. Λύκῳ* cett. 15 *αὐτῷ* K: *αὐτὴν* cett. 16 l. om. K 17 *ἐλέχθησαν—λόγου* om. K 21 *τίνες* Tricl.: *τίνος* codd. nostri *κρείττονες* K: *ἄριστοι* cett. 23 *γαίης* K: *-ας* cett. *ἄριστον* Richards *Class. Rev. 18, 1904, 343* 24 *Θρηΐκιοι* K

ἀνδρῶν δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης,
ἀλλ' ἔτι καὶ τῶν εἰσιν ἀμείνονες, οἳ τὰ μεσηγύ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο·
ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι οὔτε τέταρτοι
οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

b. *παρὰ τὸ ἐν τῷ χρησμῷ· Μεγαρεῖς οὔτε τρίτοι οὔτε* UE *τέταρτοι.*

50. *καὶ εἰ μὲν καταφρονήσαιμι αὐτῆς, δεόντως ἄν μοι* KU^{E}E^{E}GP^{E} *προχωροίη.*

51. *νῦν δὲ πόθεν*: *τοῦτο τὸ ἀγαθὸν ἐλλιπές. τὸ δὲ* KUEAGP *μῦς· παροιμία ἐστί 'μῦς γενόμενος πίσσης'. λέγεται δὲ ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων καὶ δυσδιεξιτήτως ἀπαλλασσομένων. ὥσπερ γὰρ ὁ μῦς ὁ πίσσης γενόμενος ἐνειληθεὶς κρατεῖται καὶ ζῶν τιμωρεῖται, οὕτω, φησί, κἀγώ, οὐχ ὅτι παρακμάζον ἔχω τὸ πάθος, ἀλλ' ὅτι ἀρχὴν αὐτοῦ λαμβάνω.*

53/54. *πλὴν Σῖμος*: *πλὴν οἶδα, ὅτι Σῖμος ἡλικιώτης μου ἐκστρατεύσας ὑγιὴς ἀπὸ τοῦ ἔρωτος ἐπανῆλθεν. ὑπόχαλκον δὲ λέγει τὴν ἀσπίδα, ἐπεί ἐστιν ὑπὸ τῷ χαλκῷ· ⟨λέγεται δὲ καὶ ἐπίχαλκος,⟩ τουτέστιν ἐφ' ἑαυτῆς ἔχουσα τὸν χαλκόν. ἐκ δὲ τούτου τὴν στρατείαν δηλοῖ.*

---

12 Paroemiographi (Diogen. II 64 al.) 20 Hesych. *ἐπίχαλκος* sch. Ar. Vesp. 18

---

1 *ἀνδρῶν* K: *ἄνδρες* cett. 2 *τῶνδ'* Call. 3 *Ἀρκαδίης πολυμήλου* K: *Ἀρκαδίαν πολύμηλον* EGP: *Ἀρκαδ πολυμλ* cp. UA 4 *πτολέμοιο* Call. cum Anth. Pal. XIV 73, Photio, Suida (s. *ὑμεῖς ὦ Μεγαρεῖς*): *πολέμοιο* codd. Theocr. 5 *οὔτε τρίτοι —δυωδέκατοι* om. K 6 hunc versum om. AGP *δυωδέκατοι* Call. cum auctoribus modo laudatis: *δωδεκαταῖοι* UE 9 *αὐτοῦ* GP 10 *τὰ πάντα* ante *προχ.* suppl. Call. *προσχωροίη* K 13 *ἐμπεσόντων* K: *ἐμπιπτόντων* cett. *δυσδιεξιτήτως* K: *δυσεξειλήτως* UEA: *δυσεξαλείπτως* GP *καὶ κακῶς* ante *ἀπαλλ.* add. UEAGP 15 *τιμ. πλέον ζῶν* GP 17 l. *πλὴν ὅτι Σ.* K *οἶδα* om. UEAGP 18 *μου* K: *μοι* cett. *τῷ ἔρωτι ὑγιὴς* K 19 *λέγει* KG: *ἂν λέγοι* cett. suppl. Ahrens 20 *τουτέστιν — χαλκόν* om. K *ἐφ'* Ahrens: *ἀφ'* codd. *ἑαυτῆς* Piccolos: *ἑαυτοῦ* codd.

59. *Πτολεμαῖος*: *παραινεῖ αὐτῷ ὁ Θυώνιχος πλεῖν εἰς Ἀλεξάνδρειαν πρὸς τὸν βασιλέα Φιλάδελφον μισθοφοροῦντα παρ' αὐτῷ.*

K 64. *οὐ δεῖ δὲ ὀχληρὸν εἶναι αἰτοῦντα.*

KUEAP 65—70 a. *κατὰ δεξιόν*: *ὥστε, φησίν, εἴ σοι ἀρέσκει ἐμπορποῦσθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον καὶ ὑπομένειν δύνασαι βεβηκὼς ἀμφοτέροις τοῖς ποσὶ προσφερόμενον πολέμῳ ὁπλίτην, ὡς τάχος ἄπιθι εἰς Αἴγυπτον.*

b. *ἀπὸ κροτάφων*: *ταχέως ἔπεισι τὸ γῆρας ἡμῶν τοῖς κροτάφοις, καὶ αἱ πολιαὶ ἀεὶ καθέρπουσιν ἀπ' αὐτῶν ἐφεξῆς μέχρι τῶν γενείων. διὸ δεῖ τι ποιεῖν, ἕως γόνυ χλωρόν, ἀντὶ τοῦ ἕως ἀκμάζομεν.*

$U^{E}E^{S}A$ c. *ποιεῖν τι δεῖ ἕως ἀκμάζομεν. ἀφαυρὰ γὰρ τὰ τῶν γερόντων, ἰσχυρὰ δὲ καὶ ἔνικμα τὰ τῶν νέων.*

---

11 sch. Ar. Ach. 219 Suid. *στερρόν* 14 Eust. 812, 48: *τὸ δὲ 'χλωρὸς ὑπαὶ δείους' πρὸς διαστολὴν εἴρηται . . . τοῦ κατὰ ἥβην καὶ νεότητα χλωροῦ καὶ ἐνίκμου . . . ᾧ δὴ χλωρῷ σύστοιχον καὶ τὸ 'χλωρὸν γόνυ' παρὰ Θεοκρίτῳ.*

---

1 l. om. **K** *πλεῖν* **K**: *πλὴν* cett. 2 *μισθοφοροῦντα* scripsi: *μισθοφορεῖν τὰ* **K**: *μισθοφορῆσαι τὰ* cett.: *μισθοφορήσοντα* Duebner 4 *οὐκ ἀεὶ δὲ* cod., emendavi 5 l. et *φησίν* om. **K** *ἐμπορποῦσθαι* **K**: *ἐμπεπάρθαι* cett. 7 *δύνασαι* Ziegler: *δύνασθαι* codd. *βεβηκὼς* **K**: *βεβηκόσι* cett. *προσφερόμενος* **K** *πολέμῳ* scripsi: *πολέμου* **K**: *πτολεμίονα* cett. 8 *ὁπλίτην* **K**: *πολίτην* cett. *τάχος* **K**: *τάχιος* **UEA**: *τάχια* **P** *ἄπιθι* **K**: *ἄπελθε* **UEP**: *ἔπελθε* **A** 10 *ἀπὸ τῶν αὐτῶν μέχρι τοῦ γενείου ἐφεξῆς. διὸ ποιεῖν τι δεῖ ἕως τὸ γ. χλ.* ultimis omissis **UEAP**

XV. Συρακόσιαι ἢ Ἀδωνιάζουσαι

Ἐπιγράφεται μὲν τὸ εἰδύλλιον Συρακόσιαι ἢ Ἀδωνιά- KLUEAGP
ζουσαι. ὑποτίθεται δέ τινας Συρακοσίας τὸ γένος παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ καὶ κατὰ σύνταξιν ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς Φιλαδέλφου γυναικός. ἔρχεται δὲ Γοργὼ πρὸς Πραξινόαν καὶ παραλαβοῦσα αὐτὴν ἐξέρχεται ἐπὶ τὴν θέαν. παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ τῶν παρὰ Σώφρονι Ἴσθμια Θεωμένων (cf. Kaibel *Com. gr. fgm. I 1, 155*) καὶ κεχωρισμένον ἐστὶ τοῦ ποιητικοῦ προσώπου. ἔθος δὲ εἶχον οἱ κατ' Ἀλεξάνδρειαν ἐν τοῖς Ἀδωνίοις διακοσμήσαντες τὰ εἴδωλα τοῦ Ἀδώνιδος μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλασσαν κομίζειν. αἱ δὲ Συρακόσιαι ἐξελθοῦσαι τῶν οἴκων θαυμάζουσι τὸν ὄχλον καὶ ὅσα ἐν τῷ ὄχλῳ. διαγράφει δὲ ὁ Θεόκριτος ἐπιδημήσας ἐν Ἀλεξανδρείᾳ, χαριζόμενος τῇ βασιλίδι, τόν τε σκυλμὸν καὶ βιασμὸν τῶν ἀνδρῶν καὶ ᾄδουσάν τινα καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι' ὠδῆς ἀπαγγέλλουσαν.

1 a. ἐνδοῖ: ἀντὶ τοῦ ἔνδον. ἔστι τοπικὸν ἐπίρρημα ὡς KUEAGP

---

18 Apoll. Dysc. De adv. 176, 28; 197, 4 Schneider Cram. An. Ox. I 137, 31 (Epim.); III 397, 10 Ioann. Phil. *Tov. παρ.*

Tit.: *Σ. ἢ Ἀδ.* XV arg., **KUEAGP** in inscr., sch. Hermog. *Rhet. gr. VII 970, 12; 971, 3 Walz*: *Ἀδ. εἴτε Σ. γε* Tzetzes ad Hermog. *Greg. Cor. 329 Schaefer*: *Σ.* sch. XIV 39/42 c: *Ἀδ.* sch. Ar. Nub. 1130; Eust. 102, 2: inscr. om. **L**. *Συρακόσιαι* ubique **K**, *Συρρακούσιαι* cett. 3 *τινας γυναῖκας Σ.* **UEAGP** *παρεπιδημούσας* **K**: *ἐπιδ.* cett. 5 *κοιμηθέντος* **K** 7 *παρέπλασε—προσώπου* om. **L** 8 *ποίημά τι* omissis *ἐκ τῶν π. Σ.* **K** *θεωμένων* Valckenaer *ed. a. 1773, 195*: *θεμένων* codd.: *θαμένων* Blomfield *Class. Journ. 1811, 4, 390* 10 *τρόπου* **K** *εἶχον* **K**: *ἔχουσιν* cett. *ἐν Ἀλεξανδρείᾳ* altero *ἐν* omisso **K** *ἐν τοῖς Ἀδωνίοις* post *Ἀδώνιδος* in **LUEAGP** 11 *κοσμήσαντες* **GP** *τὰ εἴδωλα* **K**: *εἴδωλα* **G**: *εἴδωλον* cett.: *τὸ εἴδωλον* Ziegler 12 *αἱ δὲ Συρακόσιαι* seqq. desunt in **L** 13 *ὄχλον ὅσα τε γὰρ ἐν ὄχλῳ διαγράφει ὁ Θ.* **UEAGP** 14 *ἐν Ἀλεξανδρείᾳ* **K**: *εἰς Ἀλεξάνδρειαν* cett. 18 *ἐνδοῖ—ἔνδον* **K**: *γράφεται καὶ ἠνδοῖ* cett.

τὸ *Μεγαροῖ*, *Πυθοῖ*. ἀντιπίπτει δὲ τούτοις τὸ οἴκοι. b. ἡ *Γοργὼ δέ φησι πρὸς τὴν θεράπαιναν ὅτι 'ἔνδον ἐστὶν ἡ Πραξινόα;' πρὸς ἣν ἡ δούλη 'ὡς χρονία', λέγει, 'Γοργὼ φίλη' ἀντὶ τοῦ ὡς διὰ χρόνου. εἶτα μικρὸν διαστήσασα ἐπάγει 'ἐνδοῖ' ἀντὶ τοῦ ἔνδον.*

$K^{E}U^{E}E^{E}P^{E}$ 3. ⟨*ποτίκρανον:*⟩ *προσκεφαλίδα.*

KUEAGP 4/5. *ἀλεμάτω: ἤγουν τῆς ἐπιπόνου. μόλις πρὸς ὑμᾶς ἐσώθην ἀπὸ τοῦ ὄχλου καὶ τῶν ἁρμάτων.*

6/7. *κρηπῖδες: πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες· λέγει δὲ τοὺς ἐν τῇ πόλει στρατιώτας. ἡ δὲ ὁδὸς πολλή. ἑκαστέρω δὲ ἀντὶ τοῦ πορρω⟨τέρω⟩.*

K 8 a. *ταῦθ' ὁ πάραρος: ἡ Πραξινόα ταῦτά φησι περὶ τοῦ ἰδίου ἀνδρός, ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν. πάραρος δὲ ὁ παρηρμένος τὴν γνώμην.*

UEAGP b. *πάραρος: ἀνάρμοστος, ὁ ἀχρήσιμος καὶ μάταιος ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, οἵτινες οὐ τῷ ζυγῷ χρησιμεύουσιν.*

KUEAGP 9. *ἱλεὸς δὲ ὁ φωλεὸς ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐνειλεῖσθαι ἐν αὐτῷ.*

36, 10 Dindorf Greg. Cor. Dial. dor. 175 sch. Dion. Thrac. 278, 4 Hilgard Et. M. 302, 6; 663, 29 Eust. 140, 17; 722, 62; 1839, 55 cf. Herodian. I 502, 16 cum nota Lentzii

6 Hesych. Phot. *ποτίκρανον* Poll. II 42; VI 9 13 Eust. 1319, 6: *εἴρηται τὸ παρήορος ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων . . . ὁ δέ γε παρὰ Θεοκρίτῳ πάραρος δηλοῖ μὲν ὅπερ καὶ ὁ ἐνταῦθα παρήορος, γίνεται δὲ οὐ παρὰ τὸ ἀείρω, ἀλλὰ παρὰ τὸ ἄρω τὸ ἁρμόζω, οἱονεὶ ὁ παρηρμοσμένος.* id. 672, 60 sch. A Ψ 602; *H* 156 18 Hesych. Phot. Suid. *ἱλεός* Choer. Orth. (Cram. An. Ox. II 220, 31)

---

1 *ἐντανθοῖ* post *Πυθοῖ* add. **P** *Γοργὼ* (*Γοργοῖ* **GP**) *φίλα· πρὸς θερ. φησι* **UEAGP** 3 *χρονία* Tricl.: *χρονίαν* codd. nostri *Γοργοῖ* **GP** 6 *προσκεφαλίδα* **K**: *προσκέφαλον* (lege *προσκεφάλαιον* e locis sim.) cett. 7 l.: *ἀλεμάτω* H. Stephanus in verbis poetae: *ἀδεμάτω* **K**(**G**): *ψυχῆς* cett. 9 l. om. **K** 10 *ἡ δὲ* seqq. om. **G** *ἑκαστέρω* **K**: *ἑκαστοτέρω* cett. 11 *πορρωτέρω* scripsi ex Et. M. 320, 24 (cf. Gen.) et Eust. 371, 1: *πόρρω* codd. 14 *παρηρτημένος* cod., corr. Wilamowitz 15 l. om. **UEA** 18 *ἐνειλεῖσθαι* **K**: *εἰλεῖσθαι* cett.

10. *φθονερὸν δὲ ἀντὶ τοῦ φιλόνεικον.* K

[13 a.] *πρὸς τὸ τέκνον ταῦτα.* $U^{E}E^{E}$

b. *ἀπφῦν: οὕτως τὸν πατέρα καλοῦσιν, ἤδη δὲ ἀπὸ τούτου καὶ τὸν πρεσβύτην.* KUEAGP

c. *ἀπφῦς δὲ ὁ πατήρ, ἀφ' οὗ οἱονεί τις πέφυκε· λέγεται ὑποκοριστικῶς.* K

14. *ναὶ τὰν πότνιαν: ναὶ μὰ τὴν θεόν, ναὶ μὰ τὴν Κόρην. εὖ δὲ τὸ τὰς Συρακοσίας ταύτην ὀμνύναι· φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι.* KUEAGP

15—17 a. *ἀπφῦς μὰν τᾶνος: ... ἡ Πραξινόα φησὶ τὸν ἄνδρα μεμφομένη. ὁ ἀπφῦς οὖν, φησίν, ὡς λόγῳ εἰπεῖν, τρισκαιδεκάπηχυς ὑπάρχων ἀνήρ, ὅτε ἠγόραζε πρώην ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος, ἅλας ἀγοράσας ἤνεγκεν ἡμῖν ὡς νίτρον [ἅλας] αὐτῷ δεδωκότος τοῦ πωλοῦντος. διὸ ἐπισκώπτει αὐτοῦ τὸ μέγεθος καὶ τὴν ἄνοιαν.*

b. *ἀπὸ σκανᾶς: σκηνὴ λέγεται, παρόσον ἐν ταῖς πανηγύρεσι σκηνὰς ἐποίουν οἱ πωλοῦντες.* KUEAP

18—20 a. *χὠμός: ἡ Γοργὼ ἐπὶ τοῖς ὁμοίοις μεμφομένη τὸν οἰκεῖον ἄνδρα φησί· καὶ ὁ ἐμὸς ἀνὴρ Διοκλείδας ἑπτὰ δραχμῶν ἠγόρασε ⟨πέντε⟩ ποκάρια γεγηρακότων προβάτων.* KUEAGP

b. *οὐκ ἔρια, ἀλλ' ἔργον ἐπ' ἔργῳ διὰ τὸ δὶς αὐτὰ πλύνεσθαι. κυνάδας δὲ οἷον κύνεια, τραχέα.*

21 a. *ἀλλ' ἴθι τὠμπέχονον: τὸ περιβόλαιον, τὸ ἱμάτιον.* K

---

3 Greg. Cor. Dial. dor. 132: *τὸν πατέρα ἀπφῦν ὀνομάζουσι.* Hesych. *ἀπφύς* Suid. *ἀπφά* 5 Eust. 565,28: *ὁ μέντοι ἀπφὺς παρὰ Θεοκρίτῳ πατρὸς κλῆσις, ἣν βρέφος ἂν προσείποι πατέρα τόν, ἀφ' οὗ ἔφυ.* id. 886, 36; 971, 30; 1048, 28

---

3 *ἀφ' οὗ τις πέφυκεν* post *καλοῦσιν* add. **UEAGP** 10 post l. 10 circiter litterae in **K** evanuerunt *ἡ Πρ. — μεμφομένη* desunt in **UEAGP** 11 *ὁ* om. **K** 12 post *ὑπάρχων* add. *καὶ οἷον τηλικοῦτος* **UEAGP** *ὅτε* **K**: *ὅτι* cett. *ἠγόρασε* **KG** 14 del. Wilamowitz 15 *αὐτοῦ τὸ μέγ. καὶ τὴν ἄν.* **K**: *αὐτὸν εἰς τε μέγ. καὶ ἄν.* cett. 20 suppl. Toup (II p. 330), *πέντε ποκάρια* K^{E} *ποκάρια* **K**: *πόκας* **UEA**: *πόδας* **GP** 21 *αὐτὸ* **K**

KUEAGP b. *καὶ τὰν περονατρίδα*: *τὸ πέπλον καὶ ἔνδυμα* ⟨...⟩ *ὅπερ πρῶτον ὑπεζώννυντο ὡς αἱ Μακεδονίτιδες. εἴρηται δὲ ἀπὸ τοῦ περονᾶσθαι καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι.*

22. *βᾶμες*: *ἐς τὰ πλούσια βασίλεια πορευθῶμεν τοῦ Πτολεμαίου.*

25. *ὧν εἶδες δὲ καὶ ὧν εἶπας ἀντὶ τοῦ· ἐξ ὧν εἶδες καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων διηγήσαιο ἂν τῷ μὴ θεασαμένῳ.*

KUEAP 27—29 a. *Εὐνόα, αἶρε τὸ νᾶμα*: *ἡ Πραξινόα φησὶ πρὸς τὴν δούλην ἐν ἤθει· ὦ Εὐνόα, ἄρασα τὸ νᾶμα ὡς καὶ πρώην ἐς μέσον αὐτὸ θές. θέλει δὲ εἰπεῖν· μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις.*

$U^{E}E^{E}$ [b.] ⟨*αἰνόθρυπτε:*⟩ *κενόδοξε, ἐπὶ κακοῖς.*

[30.] ⟨*ἄδ' εἰς νᾶμα φέρει:*⟩ *ἀντὶ τοῦ· ἴδε εἰς ποῖον ἀγγεῖον τὸ νᾶμα φέρει.*

$KU^{E}E^{E}P^{E}$ 32. *ὁκοῖα θεοῖς*: *ἀντὶ τοῦ· εἴτε καλῶς εἴτε κακῶς.*

$K^{E}U^{E}E^{E}P^{E}$ 33. ⟨*κλὰξ*⟩ *ἡ κλεὶς Δωρικῶς.*

KUEAGP 34. *τὸ καταπτυχές*: *τὸ δίπτυχον ἐμπερόνημα καὶ διπλοῦν. λέγοι δ' ἂν τὴν διπλοΐδα, ἣν Ὅμηρός φησι 'δίπλακα μαρμαρέην'* (*Γ* 126).

35 a. *κατέβα τοι*: *ἀντὶ τοῦ· διὰ πόσου σοι ἀπὸ τοῦ ἱστοῦ καθηρέθη [καὶ] οἷον ἐξυφάνθη;*

UEAGP b. *ἀφ' ἱστῶ*: [*ἢ*] *διὰ πόσης ἐξόδου κέκοπται ἀπὸ τοῦ ἱστοῦ;*

K 36. *καθαροῦ μνᾶν*: *πλέον ἠνάλωσα, φησίν,* [*ἢ*] *δυοῖν μνῶν καθαροῦ ἀργυρίου.*

---

1 *τὸ διπλοῦν ἔνδυμα* Ahrens collato scholio 34. idem sequentia lacunosa esse perspexit 2 verba *ὡς αἱ Μακ.*, quae in libris finem scholii faciunt (desunt vero in G), huc pertinere videntur; *ᾧ ἐχρῶντο αἱ Μακ.* ante *ὅπερ* inseruit Tricl. 3 *τῆς ἐπωμ. ἐπιλαμβ.* K: *κατὰ τὰς ἐπωμίδας συμβάλλεσθαι* cett. 18 *λέγοι* Ziegler: *λέγει* GE: *λέγ* cp. cett. 20 *πόσον* pro *διὰ πόσου* K 21 del. Ahrens *ἐξεφάνθη* GP 22 delevi hoc *ἤ*, cum ad alterum spectet, quod in iisdem libris scholio 35 a praefixum legitur 23 del. Wilamowitz 24 *μνῶν* Warton (I 225 b): *μνᾶν* cod. *ἀργυροῦ* cod., corr. Call.

38/39 a. *τοῦτό κα εἶπας: τοῦτο ἀληθὲς εἶπας, ὅτι* KUEAGP *κατὰ γνώμην μοι ἐξυφάνθη. εἶτα ἀντιστρέφει τὸν λόγον πρὸς τὴν θεράπαιναν.*

b. *καὶ τὰν θολίαν: καὶ τὸ σκιάδειον εὐκόσμως ἐπίθες. εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδειον σκίρον καλοῦσι.*

40 a. *Μορμώ, δάκνει ἵππος: ἀπέστρεψε πάλιν τὸν λόγον πρὸς τὸ παιδίον ⟨τὸ⟩ κλαῖον.*

b. *Μορμώ: εἰς κατάπληξιν τοῦτο ἔταττον, ὅθεν καὶ τὰ προσωπεῖα μορμολύκεια ἔλεγον.*

c. [*ἵππος*] *Μορμώ: Λάμια βασίλισσα Λαιστρυγόνων* UEAGP *ἡ καὶ Γελλὼ λεγομένη δυστυχοῦσα περὶ τὰ ἑαυτῆς τέκνα ὡς ἀποθνήσκοντα ἤθελε καὶ τὰ λειπόμενα φονεύειν.*

46. *πολλά τοι ὦ Πτολεμαῖε: τὸν Φιλάδελφον λέγει.* KUEAP

47. *τὸ δὲ ἐξ οὗ ἐν ἀθανάτοις ὁ τεκὼν ἀντὶ τοῦ· ἐξ οὗ ὁ πατήρ σου ἀπεθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος, ὃς ἦν πατὴρ Φιλαδέλφου.*

48—50 a. *Αἰγυπτιστί: πρὸς τοῖς ἄλλοις σου καλοῖς* KUEAGP *ἔργοις καὶ τοῦτο. οὐκέτι γὰρ κακοῦργός τις λυμαίνεται τὸν παριόντα ἐξαπατήσας Αἰγυπτιστί· ἠπάτων γὰρ πολυπείρως παίζοντες κακὸν παίγνιον ⟨οἱ Αἰγύπτιοι⟩.*

b. ⟨*Αἰγυπτιστί:*⟩ *παραλογισμοῖς Αἰγυπτιακοῖς. ἀπατηλοὶ γὰρ οἱ Αἰγύπτιοι, ὡς καὶ Αἰσχύλος* (fgm. 373 Nauck *Trag. gr. fgm.*^{2} *110*) *φησί· 'δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.'*

---

5 Poll. VII 174; X 127 Hesych. *θολία* Eust. 1934, 9
6 Harp. Phot. Suid. *σκίρ.* Bekk. An. gr. 304, 10 sch. T Ψ 331 sch. Ar. Eccl. 18 Eust. 1304, 26

---

1 *ἡ Πραξινόα φησίν, ὅτι τοῦτο με* (*μὴ* G, lege *μὲν*) UEAGP
4 *θολίαν τὸ σκιάδιον, τὸν πέτασον. ἀντὶ τοῦ· καὶ τὸ κτλ.* UEAGP
5 *εἴρηται—ἐοικέναι* om. iidem 7 *πάλιν* om. K 8 suppl. Call. 11 delevi 12 *Γελὼ* codd. 15 *ἐξ* K: *ἀφ'* cett.
18 *σὺν τοῖς ἄλλοις σου καλ. ἔργ.* K: *πρὸς τοῖς καλ. ἔργ. σου* cett.
20 *ἠπάτων* K: *ἐπὶ πάντα* cett. 21 *κακὰ παίγνια* Call. explevi lacunam ab Ahrensio indicatam 22 Ahrens lemmate addito hoc scholium ab antecedente separavit 23 *καὶ* pro *οἱ* K

c. *κεκροτημένοι*: *ἀντὶ τοῦ διερραπισμένοι, ἐθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλ-*
UEAP *κοῦ.* d. *καὶ Σοφοκλῆς* (fgm. 827 Nauck *Trag. gr. fgm.*[2] *324*)· *'πάνσοφον κρότημα, Λαέρτου γόνος.'*

U^5E^5 [e.] *⟨ἀλλάλοις ὁμαλοί:⟩ εἰς μίαν συμβουλὴν ὄντες.*

KUEABP 51. *ἡδίστα Γοργώ: ἀντὶ τοῦ· ὦ γλυκεῖά μοι Γοργώ, τί ἄρα ἡμῖν ἔσται; εὐλαβοῦνται γὰρ θεασάμεναι τοὺς πολεμικοὺς ἵππους πομπεύοντας.*

UEABP 52. *φίλε: τοῦτο πρός τινα τῶν ἐπιβεβηκότων τοῖς ἵπποις φησὶν ἐν τῷ πλήθει.*

U^5 [53.] *⟨κυνοθαρσής:⟩ ἀναίσχυντος.*

KUEABP 54. *διαχρησεῖται τὸν ἄγοντα: διαφθερεῖ τὸν ἱπποκόμον ἢ τὸν ἡνίοχον.*

57/58. *τοὶ δ' ἔβαν: οἱ δὲ ἵπποι κεχωρήκασιν εἰς ὃν ἔδει τόπον. τὸ δὲ καὐτὰ συναγείρομαι ἀντὶ τοῦ· ἀνακτῶμαι ἐμαυτὴν ἀπὸ τῆς ταραχῆς. ψυχρὸν δὲ ὄφιν λέγει τὸν ψυχροποιόν.*

K 60—62 a. *ἐξ αὐλᾶς, ὦ μᾶτερ: ἡ Γοργώ φησι πρὸς γραῦν τινα· λέγε ἡμῖν, ὦ μῆτερ, εὐμαρὲς εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε εἰς τὴν τῶν βασιλείων αὐλήν.*

UEABP b. *ὦ μήτηρ: ἡ Γοργώ φησι πρός τινα πρεσβῦτιν ὡς ἐκ τῆς αὐλῆς καὶ τῶν βασιλείων ἐρχομένην· ἆρα ἔστιν ἡμῖν εὐκόλως εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε· οἱ γὰρ Ἀχαιοὶ πειραθέντες εἰσῆλθον εἰς τὴν Ἴλιον.*

KUEAP 63. *χρησμῶς ἃ πρεσβῦτις: ἡ Γοργώ φησιν, ὅτι χρησμοὺς ἀποφοιβάσασα ἡ γραῦς ἀπῆλθεν.*

---

11 Hesych. *κυνοθαρσής· ἀναιδής.*

---

1 *κεκεντρωμένοι* K *διερρ.* K: *ἐρρ.* cett. 2 *τῶν κεκεντρωμένων χαλκῶν* K 4 *Λαρτίου* Nauck 5 glossa in codd. ad *ἐριοί* adscripta est 7 *τοὺς πολεμίους ὄχλους ἱππηλατοῦντας* G 14 *εἰς ὁδὸν ἣν ἔδει* G addens quae ad *συναγείρομαι* pertinere videntur verba *τοῦ καὶ φοβεῖσθαι ἡμᾶς* 15 *κατασυναγ.* K, *κατ' αὐτὰ συναγ.* P 15 *καὶ* post *ἀνακτῶμαι* add. UEAGP 16 *ἑαυτὴν* codd., correxi 18 *ἐξαυδᾶς* cod. 24 *οἱ γὰρ* seqq. desunt in UEAP

64. *πάντα γυναῖκες ἴσαντι:* ⟨*ἴσασι,*⟩ *ὅπως ὁ Ζεὺς τῇ* KUEAGP *Ἥρᾳ λάθρα συνῆλθεν. Ὅμηρος* (Ξ 296)· *'εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντο τοκῆας'. Ἀριστοκλῆς* (fgm. 5 Mueller *Fgm. hist. gr. IV 330*) *δὲ ἐν τῷ περὶ τῶν Ἑρμιόνης ἱερῶν ἰδιωτέρως ἱστορεῖ περὶ τοῦ Διὸς καὶ* [*τοῦ τῆς*] *Ἥρας γάμου. τὸν γὰρ Δία μυθολογεῖται ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενος δὲ ἀφανὴς γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν Θόρναξ ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. τὸν δὲ Δία χειμῶνα δεινὸν ποιῆσαι τῇ ἡμέρᾳ ἐκείνῃ· τὴν δὲ Ἥραν πορευομένην μόνην ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι εἰς αὐτό, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς πεφρικότα καὶ ῥιγῶντα ὑπὸ τοῦ χειμῶνος. τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα αὐτὴν ποιήσασθαι. καὶ παρ' Ἀργείοις δέ, οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ* [*δὲ*] *ἄγαλμα*

---

1 *ἴσασι, φησίν, αἱ γυναῖκες πῶς* Tricl. (*ὅπως* Ahrens): *φησὶν ὅτι* codd. nostri, quibus Call. add. ⟨*τὰ πάντα αἱ γυναῖκες γινώσκουσι καὶ ὅτι*⟩ **3** *λήθοντο* **K**: *ἐλήθοντο* **UEAP**: *ἐλελήθοντο* **G**: *λήθοντε* Hom. *Ἀριστοκλῆς* ex Aelian. Hist. an. XI 4 Grashof *Jahrb. f. Phil. 10, 1829, 144* adstipulantibus Muellero *l. l. et II 191,* Val. Rosio *Arist. pseudep. 1863, 618* aliis: *Ἀριστοτέλης* codd. **4** *δὲ* om. **K** *τῶν Ἑρμ.* scripsi: *τῆς Ἑρμ.* codd. *ἱερῶν* Hemsterhuys et Toup: *ἱερῷ* codd. *ἰδιώτερον* **UEA** **5** del. Wilamowitz **6** *μυθολογεῖται* **K**: *-γεῖ* cett. *ὅτε* Call.: *ὅτι* codd. *ἤδη* **GP** **9** *πρῶτον* **KA**: *ποτὲ* **UGP**: *πρῶτον ποτὲ* **E**: *προτοῦ* Ahrens *Θόρναξ* Hemsterhuys, cf. Paus. II 36, 1: *θρόναξ* **UEAGP**: in **K** discerni non potest nisi *θ . . . αξ* **10** *δὲ* om. **K** **12** *εἰς* **K**: *ἐπ'* cett. **14** *πεφρικῶντα* **K** *ὑπὸ τοῦ χειμῶνος* **K**: *διὰ τὸν χειμῶνα* cett. **17** *τῆς—παραιτουμένης* **K**: *τὴν—παραιτουμένην* cett. **18** *αὐτὴν* scripsi: *ταύτην* codd. **19** *δέ* post *Ἀργ.* om. **K** *οἳ μέγιστα* Ahrens: *οἳ μέγιστον* vel *μάλιστα* Hemsterhuys: *οἱ μέγιστοι* codd. del. Hemsterhuys

τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν [τῷ] θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

KUEAP 67. *Εὐτυχίδος: εἰκὸς τὴν Εὐτυχίδα Γοργοῦς εἶναι θεράπαιναν.*

68. *ἀπρὶξ ἔχε: ἀντὶ τοῦ ἐμπεφυκότως, ὥστε μὴ διαπρῖσαι τὴν συμφυΐαν.*

74. *κεἰς ὥρας: ἀντὶ τοῦ· καὶ εἰσαεὶ ἐν καλῷ εἴης περιστέλλων καὶ τημελούμενος ἡμῶν.*

KUEABP 76/77 a. *ἄγ', ὦ δειλαία, βιάζου καὶ σὺ καὶ ὤθει, ὥστε σε εἰσελθεῖν. ἔπειτα εἰσελθούσης αὐτῆς φησι· κάλλιστ', ἐνδοῖ πᾶσαι.*

b. *ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας: ὡς παροιμίας οὔσης. ἀποκλείσας τὴν νύμφην τις 'καλῶς τά γε ἔνδον ἡμῖν ἔχει' φησί· διὸ καὶ ἡ Γοργὼ οὕτως ἐπεφώνησεν.*

UEAP 79. *θεῶν περονάματα: ἢ ἔργα θεῶν ἢ φορεῖσθαι ὑπὸ θεῶν ἄξια.*

KU^{c}E^{c} 80. *ἔριθοι: ἢ ὑπουργοὶ ἢ ἐριουργοί.*

KUEA 82. *ὡς ἔτυμ' ἑστάκαντι: ἀντὶ τοῦ· ὡς ζῶντά εἰσι καὶ οὐχ ὡς ἐνυφαντά.*

86 a. *ὁ τριφίλατος: ὁ πολυφίλητος ὡς καὶ παρ' Ὁμήρῳ* (Θ 488) *'ἀσπασίη τρίλλιστος'. ἢ ὅτι ὑπὸ τριῶν ἐφιλήθη· Διός, Ἀφροδίτης καὶ Περσεφόνης.*

---

5 Tim. Lex. Plat. *ἀπρίξ* Hesych. Suid. *ἀπρίξ* Epim. (Cram. An. Ox. II 335, 15) Et. M. 132, 52 (cf. Gen.) Et. Gud. 179, 16 De Stefani sch. rec. Soph. Ai. 310 17 sch. AB Σ 550. 560 Hesych. Phot. Suid. *ἔρ.* Choer. Orth. (Cram. An. Ox. II 199, 8) Et. M. 373, 39 (cf. Gen.) Et. Gud. 206, 32 al. Sturz Et. Or. 66, 15 Eust. 1162, 20 20 sch. AT Θ 488 21 Apoll. Bibl. III 185

---

1 praeterm. Tricl. Call. 2 *τῷ σκήπτρῳ* deleri vult Ahrens 8 *ἐπιμελούμενος* Tricl. 11 G add. in fine *ἀντὶ τοῦ· τὰ πάντα καλῶς ἔχουσι* 12 sch. b cum a coniungi iubet Ahrens 13 *ἔχει* G Apogr. Barb.: *ἔσχε* cett. 15 l. om. UEP 17 *ἢ οἱ ὑπ. ἢ οἱ ἐρ.* K, ubi *αἱ* Valckenaer *ed. a. 1773, 373* *ἱστουργοὶ* pro *ὑπουργοὶ* Hemsterhuys (apud Valck.) *ἐριουργοί* K: *ἱερουργοί* cett. 19 *ὑφαντά* Tricl. 22 *Διός* mutarunt praeter necessitatem: *Δηοῦς* Tricl.: *Ἡοῦς* Ahrens: *Διονύσου* Valckenaer *ed. a. 1773, 378*

b. ⟨*κὴν Ἀχέροντι:*⟩ *ἐν ᾅδῃ·*

87/88. *παύσασθ' ὦ δύστανοι: παύσασθε, φησίν, ὦ ἐπίπονοι, ἄπειρα λαλοῦσαι. τοῦτο δέ φησί τις παρεπόμενος καὶ ἀγανακτῶν ἐπὶ τῇ ἄγαν αὐτῶν ἀδολεσχίᾳ. διὸ καὶ ἐπιτιμᾷ αὐταῖς ὡς τὰ κατὰ μέρος τῶν εἰκόνων ἀνερευνώσαις. εἶτα πρὸς ἑαυτὸν ἐπιστρέφων· τρυγόνες διαφθεροῦσι Δωρίζουσαι πάντα. τὸ γὰρ πλατυάσδοισαι τοιοῦτόν ἐστιν, ὅτι πλατυστομοῦσιν οἱ Δωριεῖς τὸ ᾱ πλεονάζοντες· ἐκκναισεῦντι δὲ ἀντὶ τοῦ διαφθεροῦσιν.*

[89.] ⟨*μᾶ:*⟩ *ἀγανάκτησις Συρακουσίων τὸ μᾶ.* L^{s}U^{s}E^{s}

90. ⟨*πασάμενος:*⟩ *κτησάμενος δούλους.* U^{s}E^{s}

91/92 a. *Κορίνθιαι εἰμές: Κορινθίων γὰρ ἄποικοί εἰσιν οἱ Συρακόσιοι· Κορίνθιος δὲ καὶ ὁ Βελλεροφόντης.* KUEA

b. *Πελοποννασιστί: τὴν γὰρ Πελοπόννησον ᾤκισαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις.*

94/95 a. *μὴ φυῇ, Μελιτῶδες: ἀντὶ τοῦ· μηδεὶς γένοιτο, ὦ Περσεφόνη, ἄλλος ἡμῶν κύριος. Μελιτώδη δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν ὡς καὶ Κόρην* ⟨*ἢ*⟩ *διὰ τὸ τὰς ἱερείας αὐτῆς καὶ τῆς Δήμητρος μελίσσας λέγεσθαι.*

---

6 Hermog. *Περὶ ἰδ.* 247, 18 Rabe sch. Hermog. (Rhet. gr. VII 970, 12; 971, 3 Walz) Tzetz. ad Hermog. (Greg. Cor. 329 Schaefer) Planud. ad Hermog. (Rhet. gr. V 485, 2 Walz) Greg. Cor. Dial. dor. 143 11 Hesych. *πασάμενος· κτησάμενος.* sch. A *Δ* 433 Et. Gud. 474, 30 Sturz Eust. 493, 45 17 Cocondr. *Περὶ τρόπ.* (Boiss. An. gr. III 292) 19 Callim. H. Apoll. 110 sch. Pind. Pyth. IV 106 c Porph. De antro nymph. 18 Hesych. *μέλισσαι*

---

1 sch. b ab a seiunxit Ahrens *ἐν Ἅιδου* Tricl. 2 *δύστανοι* om. K 3 *ἀπειρολαλοῦσαι* UEA 6 *ἐπιστρέφει* UEA *διαφθεροῦσι* scripsi: *διαφθείρουσι* Ahrens e locis sim.: *διαφέρουσι* K: *διαφέρουσαι* cett. *πάντη* UEA 7 *γὰρ* K: *δὲ* cett. *ὅτι* om. UEA 8 *ἐκκναισεῦντι* A: *-ται* cett. 9 *διαφθεροῦσιν* Reiske: *διαλέγουσιν* codd.: *διολλύουσιν* Ahrens 14 l.: *Πελοποννασιστί* Ziegler: *-νασιαστί* K: *-νησιαστί* cett. *ᾤκησαν* codd. 17 *Μελιτῶδες* K 18 fort. praeferendum *φασὶ* suppl. Ahrens 19 *ἱερείας* Tan. Faber (ut affert Anna Daceria ad Callim. l. l.) alii: *ἑταίρας* codd.

L^m b. ⟨*Μελιτῶδες:*⟩ *ὦ Περσεφόνη. κατὰ ἀντίφρασιν· πολλὰ γὰρ τὰ ἐν Ἅιδῃ πικρά. διὰ μέσου ἐπιφώνημα.*

K c. *κενεὰν ἀπομάξῃς: μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς.*

KUEA 97. *ἡ τῆς Ἀργείας θυγάτηρ: ἄδηλον, τίς ἡ ποιήτρια αὕτη· ἔνιοι δὲ Ἀργείας αὐτήν φασιν εἶναι θυγατέρα ὁμώνυμον τῇ μητρί, εἶναι δ' ἐκείνην Σικυωνίαν.*

100/101. *δέσποιν' ἃ Γολγώς: πόλις Κύπρου ὠνομασμένη ἀπὸ Γολγοῦ τοῦ Ἀδώνιδος καὶ Ἀφροδίτης. Ἰδάλιον δὲ πόλις Κύπρου. Ἔρυξ δὲ πόλις Σικελίας ἀπὸ Ἔρυκος τοῦ Βούτου καὶ Ἀφροδίτης. τὸ δὲ χρυσῷ παίζουσ' Ἀφροδίτα τοιοῦτον ἴσως ἐστίν, ὅτι οἱ ἐρῶντες χρυσῷ πείθουσι τὸ ἐρώμενον.*

103 a. *μηνὶ δυωδεκάτῳ: τινὲς δι' ἑξαμήνου φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν.*

b. *μαλακαί: μαλακούς φησιν ἔχειν πόδας τὰς Ὥρας, ἐπεὶ τὸ ἔαρ μαλακόν.*

106/107. *τὴν γὰρ μητέρα Βερενίκην καὶ τὸν πατέρα Πτολεμαῖον ἀπεθέωσεν. Βερενίκην δὲ λέγει τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου ⟨καὶ⟩ Ἀρσινόης.*

KUEAGP 109—111 a. *τὶν δὲ χαριζομένα: [ἀντὶ τοῦ] σοί, φησίν, ἀντιχαριζομένη ⟨ἡ⟩ τῆς Βερενίκης θυγάτηρ Ἀρσινόη, ἀνθ' ὧν ἀθάνατον ἐποίησας τὴν μητέρα.*

---

8 Steph. Byz. *Γολγοί* 10 Diod. Bibl. IV 23, 2; 83, 1 Steph. Byz. *Ἔρυξ* Serv. Verg. Aen. I 570; V 24. 412 Myth. Vat. I 53; II 156 Hyg. Fab. 260

---

6 *Ἀργείας* Call.: *Χαρίας* codd. sed cf. Suid. s. *Χάρεια*, ubi omnia praeter ipsum nomen interierunt. 9 *Γολγῶς* K *τοῦ Ἀδ.* Apogr. Barb.: *τοῦ τοῦ Ἀδ.* K: *τινὸς τοῦ τῆς Ἀδ.* cett. 9 *Ἰδάλιον—Κύπρου* om. UEA 11 *Βούτου* Brub. in marg., cf. locos sim.: *Βιωτέως* K: *Βιότου* cett. 12 *πάντως* pro *ἴσως* K 18 *δὲ* pro *γὰρ* K 20 suppl. Call. 21 seclusit Ahrens 22 *χαριζομένη* UEAGP, *ἀντι* prima manus add. in K suppl. Call. *τῇ Βερονίκης θυγατρὶ Ἀρσινόῃ* U(E)AGP

b. ⟨ἀτιτάλλει:⟩ ἐπεὶ τὴν πρόβασιν εἰς αὔξησιν ποιεῖ. KUEA

[c.] ἀτιτάλλω ἐκ τοῦ ᾱ στερητικοῦ μορίου καὶ τοῦ τα- UE^{m}A
λάσσω τὸ κοπιῶ. σημαίνει δὲ τὸ ἀναπαύω καὶ μὴ διὰ κόπου ταλαίνω. ἢ ἀπὸ τοῦ ἅττω τὸ ὁρμῶ καὶ τοῦ ἄλλω τὸ πηδῶ, καὶ σημαίνει τὸ αὐξάνω.

112/113. ὅσα δρυός: πάντα, φησί, τὰ ἀκρόδρυα παρα- KUEAGP
τίθεται τῷ Ἀδώνιδι ἀπὸ παντοίας ἰδέας ὀπωρῶν. εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισιν ὀστρακίοις καὶ ⟨τοὺς⟩ φυτευθέντας κήπους Ἀδωνείους προσαγορεύειν.

114—116 a. χρύσει' ἀλάβαστρα: ἀλάβαστρα σκεύη KUEAP
μύρων δεκτικά, πλαθάναι δέ, ἐν οἷς διαπλάττουσι τοὺς ἄρτους. b. τὸ δὲ ἄνθεα τὰ ἐπιπάσματα τῶν ἄρτων· λέγοι KUEAGP
δ' ἂν τὰ σήσαμα.

117. ὅσσα τ' ἀπὸ γλυκερῶ: ἀντὶ τοῦ πλακοῦντες KL^{m}UEAP
διάφοροι.

119. χλωραὶ δὲ σκιάδες: σκιάδες καὶ καλύβαι ἀνήθων K
αὐτῷ τῷ καρπῷ καταβριθόμεναι γεγόνασιν.

120/121. οἱ δέ τε κῶροι: τὰς καλύβας, φησίν, ὑπερ- KL^{m}UEAP
πέτονται οἱ Ἔρωτες ὡς οἱ νεοσσοὶ τῶν ἀηδόνων.

---

2 Eust. 546, 44; 1054, 9; 1682, 37 6 Eust. 626, 54 12 Poll. VI 74; X 112 Hesych. Phot. *πλάθανον* Greg. Cor. Dial. dor. 148

---

1 l. suppl. Ahrens 9 *ὀστρακίοις* Duemmler *Real-Enc. d. class. Alt.*^{2} *I 1, 386, 1*, cf. Julian. Conv. 329 c: *ὀστράκοις* Hemsterhuys, cf. Theophr. Hist. pl. VI 7, 3 alios: *προαστείοις* codd.: *ἀγγείοις* Valckenaer *ed. a. 1773, 396*, cf. Paroemiographos (Zenob. I 49 al.): *γαστρίοις* Bast *Epist. crit. 193* e scholio Hermiae ad Plat. Phaedr. 276 b: *προγαστρίοις* R. Rochette *Revue archéol. 8, 1851, 109 n. 1*: *ποαστρίοις* G. Hermann *Opusc. V 108* suppl. Call. 12 *δεκτικά, πλαθάναι* K: *δεκτά, πλαθάνη* cett. cum punctum posuissent post *δεκτικά*, e coniectura scripserunt: *πλαθάνη σανίς, ἐν ᾗ* Tricl., *πλαθάναι δέ, ἐν αἷς* Call. 13 *ἐπιπλάσματα* A, *ἐπισπέρματα* P 18 *καταβριθομένων* Garin *Studi ital. 15, 1907, 308 n.* in poetae verbis *βρίθοντος* suspicatus

123. ὦ ἔβενος: *τὴν λοιπὴν κόσμησιν τὴν βασιλικὴν θαυμάζει.*

KUEAP 124. αἰετοί: *ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων καὶ βασταζόντων τὸν Γανυμήδην.*

KUEAGP 125/126 a. πορφύρεοι δὲ τάπητες: *ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης· οὓς φησιν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου διὰ τὸ παρ' αὐτοῖς εἰς κάλλος τὰ στρώματα γίνεσθαι.*

KUE[1.2]AGP b. ἁ Μίλατος: *τὰ Μιλήσια καὶ Σάμια ἔρια. τὴν δὲ κατὰ ἀναστρεπτέον· ἔστι γὰρ 'κατὰ τὴν Σάμον βόσκων'. ⟨ἤ⟩ οἷον καταβοσκόμενος καὶ κατανεμόμενος.*

L[m]U[m]E[5]P[m] 129. τὸν ἄνδρα γαμβρὸν λέγει ὡς οἱ Αἰολεῖς.

KUEAGP 130. τὸ φίλημ' ἔτι: *τὸ τοῦ Ἀδώνιδος δηλαδή. οὐδέπω γὰρ κέκαρται τὰ γένεια, ὡς κεντῶσιν, ἀλλ' ἔτι χνοάζει.*

132. ἅμα δρόσῳ: *ἀντὶ τοῦ ἅμα ἡμέρᾳ· τότε γὰρ πίπτει ἡ δρόσος ἐν τῇ γῇ.*

KUEAP 133. οἰσεῦμες: *ἐπὶ γὰρ τὴν θάλασσαν ἐκφέροντες τὸν Ἄδωνιν ἔρριπτον ἐπ' αὐτήν.*

E[5]A [138.] βαρυμάνιος: *βαρείας μανίας ἀναδεδεγμένος διὰ τὸ μὴ τυχεῖν τῶν ὅπλων.*

KUEAGP 139. εἴκατι: *εἴκοσι παίδων. τῷ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηται ὡς καὶ Σιμωνίδης* (fgm. 49 Bergk *Poet. lyr. gr. III[4] 411*). *Ὅμηρος* (Ω 496) *ἐννεακαίδεκα λέγει.*

141. *Δευκαλίωνες δὲ ἀντὶ τοῦ Δευκαλίδαι ἀπὸ Δευ-*

---

12 Serv. Verg. Georg. I 31 sch. Arat. 250 Poll. III 32 Bekk. An. gr. 228, 32

---

8 αἰετῶν codd., corr. Call. 6 οὓς K: οἳ cett. 7 μαλακωτέρους K: -ώτερα cett. 8 ἀπ' αὐτῆς P 9 τὰ Μιλήτου καὶ Σάμου ἔργα. ἡ δὲ κατὰ UE[1.2]AGP 10 ἀναστρεπτέον E[1.2]A: ἀναστραπτέον KU: ἀνατρεπτέον GP Σάμον scripsi: Σάμου codd.; ⟨γῆν τῆς⟩ Σάμου Ahrens βόσκων Ahrens: βοσκήν codd. suppl. Ahrens 11 καταβοσκομένη K κατανεμομένη K: νεμόμενος cett. 12 ἤγουν ὁ ἀνὴρ κατὰ Αἰολεῖς L 18 ἔρυπτον ἐπ' αὐτῇ vel ἐν αὐτῇ Hemsterhuys *Valckenarii ed. a. 1773, 410* 19 ἀνίας codd., emendavi

καλίωνος, Θεσσαλοί· τούτων γὰρ ἐβασίλευσεν ὁ Δευκαλίων. ἢ οἱ Λοκροί· Δευκαλίων γὰρ ἐν Κύνῳ τῆς Λοκρίδος ᾤκησεν.

142. καὶ οἱ Πελασγοὶ οἱ τοῦ Ἄργους ἄκροι, τουτέστιν UEAQP
οἱ ἐξοχώτατοι.

143 a. ἴλαθι: ἀντὶ τοῦ ἱλάσθητι κατὰ ἀποκοπήν, Δω- KUEAQP
ρικῶς.

b. καὶ ἐς νέω: ἀντὶ τοῦ ἐς νέωτα, τουτέστιν εἰς ὥρας, UEAQP
εἰς νέον ἔτος.

[c.] ⟨ἐς νέωτ':⟩ ἀντὶ τοῦ εἰς τὸ μέλλον. $U^{E}E^{E}$

[145.] ἡ Γοργὼ τὴν θήλειαν ἤγουν τὴν γυναῖκα.

[147 a.] καὶ ἐς οἶκον [ἀνάριστος]: λείπει τὸ πο- Q
ρεύεσθαι.

[b.] ἀνάριστος: ἤτοι ἄσιτος. $U^{E}E^{E}Q$

148. χώνηρ ὄξος ἄγαν: ἀντὶ τοῦ ὀξύθυμος καὶ ἀκρόχολος. UEAQP

149 a. ⟨ἀφίκευ:⟩ ὑπόστρεψον.

b. καὶ ὑποστρέψας εὑρήσεις ἡμᾶς χαίροντας. $U^{m}E^{E}$

---

2 Strab. IX 425 sch. Pind. Ol. IX 62 b 7 Hesych. Suid. νέωτα Et. M. 601, 1 (cf. Gen.) Orio Werf. 623, 45 sch. Luc. 109, 13 Rabe

---

2 *Κύνῳ* Hemsterhuys et Ruhnken *Valckenarii ed. a. 1773, 412*: *Κύδνῳ* **K**: *Κύδνα* **UEA**(**P**): *Μηδεία* **G** 5 post *ἀποκοπήν* add.: *δὲ τὸ δὲ ἴλας* **UEA**: *δὲ τὸ ἴλα* **P**: *καὶ τοῦ σ καὶ ῃ καὶ τ* **G** *Δωρικῶς* **K**: *ἔστι Δωρικόν* cett. Ahrens propter miram vocis *ἀποκοπή* significationem prop. *ἴλαθι νῦ⟨φίλ' Ἄδωνι καὶ ἐς νέω⟩· ἀντὶ τοῦ ἱλάσθητι ⟨ἐς νέωτα⟩ κατὰ ἀποκοπήν. τὸ δὲ ἴλαθί ἐστι Δωρικόν. συγκοπήν* coni. Tricl. 14 *ὀξύθ. καὶ* om. **UEAP** 15 suppl. Ahrens *ὑπόστρεψον* Duebner e Triclinii glossa: *ὑπέστρεφεν* **UEAP**: *ἀποστρέψει* **G**

XVII. Ἔπαινος Πτολεμαίου

KUEA a. *Τοῦτο τὸ εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται· ὁ δὲ Φιλάδελφος Πτολεμαῖος Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν παῖς. διὸ καὶ ἁμαρτάνει ὁ Μουνάτιος εἰς τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων τὸν Φιλοπάτορα τοσούτου χρόνου μαχόμενος διαστήματι.*

E [b.] *τριῶν ὄντων τῶν Πτολεμαίων, πρώτου μὲν τοῦ Λάγου Πτολεμαίου, δευτέρου τοῦ Σωτῆρος, τρίτου τοῦ Φιλαδέλφου, περὶ τοῦ τρίτου ὁ λόγος.*

KUEA 1—4 a. *ἐκ Διὸς ἀρχώμεσθα: Ἀρατείᾳ κέχρηται εἰσβολῇ* (Phaen. 1).

UEAP b. *ἐκ τοῦ Ὀρφέως* (cf. fgm. 46. 123 Abel, p. 167. 202) *τὸ προοίμιον.*

KUEA c. *πᾶν, φησί, ποίημα ὅταν γράφωμεν, ὑμνοῦμεν τὸν Δία ἐν πρώτοις καὶ πνμάτοις καὶ μέσοις· καὶ Πτολεμαίου οὖν μνησθῶμεν ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τέλει τοῦ ποιήματος.*

K^m 8. *οἱ γὰρ ὕμνοι καὶ θεῶν γέρας εἰσίν.*

---

10 Ach. Comm. Arat. 81, 22—35 Maass Serv. Verg. Buc. III 60 Philarg. ib.

Tit.: *ὑπόθεσις ἐπαίνου Πτολεμαίου* K: *ὑπόθεσις Πτολεμαίου καὶ ἐγκώμιον εἰς τὸν αὐτόν* UEAP: *ἐγκώμιον εἰς Πτολεμαῖον* L **2** *γέγραπται* K: *ἐπιγέγραπται* cett. hoc recepit Ahrens addito ⟨*ἐγκώμιον*⟩ post *εἰδύλλιον* post *γέγραπται* sch. 1/4 a in K intersertum **3** *ὁ δὲ Φιλ. Πτ.* K: *ὃς* cett. *Λαγοῦ* K: *Λαγωοῦ* cett. **4** *ἦν* om. UEA **5** *τοὺς χρόν. τοῦ Θ. ἀναβ. εἰς τὸν Φιλοπ.* K *τοσούτου—διαστήματι* K: *οὐ συνιδὼν τοσούτου χρόνου διαστήματα μαχόμενος* cett.: *οὐ συν. τοσ. χρ. διάστημα μαχόμενον* Ahrens **7** *Λαγωοῦ* cod. **10** l. om. K *Ἀρατείᾳ δὲ κέχρ. εἰσβ.* inserta argumento a (ubi v. notam) K: *Ἀράτειος ἡ εἰσβολή* cett. **12** sch. b titulo adhaeret in codd. *Ἀράτου* pro *Ὀρφέως* P **15** *καὶ* ante *Πτολ.* omissum ante *ἐν ἀρχῇ* inserunt UEA **16** *ἐν* ante *μέσῳ* om. KU *μέσοις καὶ ἐν πνμάτοις* UEA

9—12 a. *Ἴδαν ἐς πολύδενδρον: ὥσπερ εἰς τὴν Ἴδην* KUEA
τὴν πολύδενδρον ὑλοτόμος ἐλθὼν ἔργου πολλοῦ προκειμένου σκοπεῖ πόθεν ἄρξεται, οὕτω δὴ κἀγὼ ἀπορῶ, πόθεν πρὸς ὕμνον εἰσβάλλω. ἴδας δέ φασι πάντα τὰ ὑψηλὰ ὄρη ἀπὸ τοῦ ἀπ' αὐτῶν δύνασθαι ἰδεῖν πάντα.

[b.] *ἐκ τούτου ὁ θεολόγος ἔλαβε τὴν εἰκόνα. θέλων γὰρ* E
συγκρῖναι ἀρετὴν ἀρετῇ καὶ δεῖξαί τινα τῶν ἄλλων κρείττονα ἐν τῷ περὶ φιλοπτωχίας λόγῳ (Greg. Naz. Or. XIV 1 *Migne Patr. gr. 35, 1857, 860 A*) *ἀδυνατεῖ λέγων ὡς, καθάπερ ἀνήρ τις εἰσελθὼν εἰς λειμῶνα ἀμηχανεῖ ποίου ἐφάψηται, οὕτω κἀγὼ ποίαν κρῖναι μείζονα ἀπορῶ.*

14 a. *Λαγίδας Πτολεμαῖος: τὸν τοῦ Λάγου Πτολεμαῖόν* KUEA
φησιν, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου.

[b.] *⟨Λαγίδας:⟩ ὁ υἱὸς τοῦ Λάγου ἤγουν ὁ Σωτήρ.* E[S]
σημείωσαι, ὡς τὰ εἰς ος ἔχοντα τὴν εὐθεῖαν διὰ τοῦ ιδης ἔχουσι τὸ πατρωνυμικὸν ὡς Λᾶγος Λαγίδης.

c. *ὅκα φρεσίν: ἀντὶ τοῦ· ὅταν βουλεύσηται.* K

16/17. *τῆνον: τὸν Σωτῆρά φησι Πτολεμαῖον τὸν Λάγου,* KUEA
καθὸ ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ.

23. *χαίρων υἱωνῶν: χαίρων ὁ Ἡρακλῆς ἐπὶ τοῖς τῶν ἐκγόνων υἱοῖς καὶ ἀπογόνοις ἀπαθανατισθεῖσιν. ἀποτείνει δὲ τὸν λόγον εἴς τε τὸν μέγαν Ἀλέξανδρον καὶ εἰς τὸν Πτολεμαῖον· ἀμφότεροι γὰρ ἦσαν ἀφ' Ἡρακλέους.*

25. *θεοὶ νέποδες: οἷον μηκέτι ζῶντες μηδὲ κινεῖν* UEA
πόδα δυνάμενοι θεοὶ ⟨νέποδες⟩ ὠνομάσθησαν.

---

4 sch. I 105/106 f cum loc. sim.

---

1 *εἰς τὴν Ἰδ. τὴν πολ.* K: *εἰς πολ. ὕλην* cett. 3 *πρὸς ὕμνον* et *πάντα* et *ὑψηλὰ* om. UEA 4 *εἰσβαλῶ* UEA 5 *δύνασθαι κατιδεῖν καὶ σκέψασθαι ἀπ' αὐτῶν* sine *πάντα* iidem 12 *Πτολεμαίου φ.* K 18 *Πτ. τοῦ Λ.* K 21 *ἀποτείνει* Call.: *ἀποτείνεται* codd. 22 *τὸν λόγον* et *τε* et *τὸν* ante *Πτ.* om. UEA 23 *ἀφ'* K: *ἐξ* cett. 25 supplevi

KUEA 26. τὸ δὲ ἄμφω ἀντὶ τοῦ τοῖς δυσί, τῷ *Πτολεμαίῳ* καὶ τῷ *Ἀλεξάνδρῳ*.

$U^{E}E^{E}$ [27.] *ἀνάλυσις τὸ σχῆμα κατὰ φιλοσόφους· ἀνάλυσις δέ ἐστιν ἀντεστραμμένη ἀπόδειξις τουτέστιν ἀνάπαλιν λύσις.*

UEA 28. τῷ καὶ ἐπεὶ δαίτηθεν: *τὸν Ἡρακλέα φησίν, ὃν ἐκ τῆς τῶν θεῶν εὐωχίας καθίστησιν εἰς τὸν εὔδιον τόπον Ἀλέξανδρος καὶ Πτολεμαῖος.*

K 30. ὑπωλένιόν τε: *τὴν ὑπὸ τὴν μασχάλην οὖσαν.*

31. κεχαραγμένον ὄζοις: *τετραχυσμένον ὑπὸ τῶν κλάδων.*

33. γενειήταν: *πωγωνίαν.*

KUEA 34. οἷα δ' ἐν πινυταῖσι: *Βερενίκην λέγει τὴν Μάγα μὲν θυγατέρα, γυναῖκα δὲ Πτολεμαίου τοῦ Σωτῆρος. αὕτη ἐν ταῖς σώφροσι γυναιξὶν εὔδηλος ἦν.*

36/37. τᾷ μὲν Κύπρον ἔχοισα: *ἡ Ἀφροδίτη, φησίν, αὐτῆς εἰς τὸν κόλπον ἀπεμάξατο τὰς χεῖρας, τουτέστιν ἐπαφρόδιτον ἐποίησεν αὐτήν· διὸ καὶ ἠγαπᾶτο ὑπὸ τοῦ ἀνδρός.*

41. ἐπιτρέπει οἶκον ἅπαντα: *ζῶν γὰρ ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν.*

$U^{E}E^{E}$ [44.] ⟨τέκνα δ' οὔποτ' ἐοικότα πατρί:⟩ *γνωστὰ τὰ τέκνα ὅτι νόθα.*

K 46. μεμέλητο: *ἀντὶ τοῦ· ἐν ἐπιμελείᾳ καὶ φροντίδι ἦν.*

KUEA 50. ἔᾳς δ' ἀπεδάσσαο τιμάς: *ἀπεμερίσω, τὰς σαυτῆς τιμὰς ἀπένειμας αὐτῇ.*

K 52. κούφας δὲ διδοῖ: *κουφίζει ἡ Βερενίκη τῶν σφοδρῶν ἐρώτων. τοῦτο δὲ ποιεῖ, φησίν, ἐπεὶ ἡ Ἀφροδίτη*

---

1 τοῖς—*Ἀλεξάνδρῳ* K: *Πτολεμαίου καὶ Ἀλεξάνδρου* cett. 3 κατὰ seqq. om. U 6 καθιστᾶσιν prop. Duebner *ἴδιον* dubitanter Wilamowitz 9 *τετραχυσμένον* scripsi: *τετραχυμένον* tacite Ziegler: *τετρασχημένον* cod. 12 *Μάγα* Buecheler *Rhein. Mus. N F. 30, 1875, 59*: *βάγα* K: *γαμάου* cett. *Λάγου* coniectura est, quae apographi Ambrosiani auctori debetur. hariolatur Tzetzes ad Lyc. 5, 2 Scheer 16 *αὐτοῦ* K 19 *τῷ Φιλ. τὴν βασιλείαν* K: *τῷ βασιλεῖ τῷ Φιλ.* cett. 23 l. om. K *τὰς σαυτῆς* Buecheler l. l.: *τὰν σὰν τὰς* K: *τὰς αὐτῆς* cett.: *τὰν σάν. τὰς ⟨σαυτῆς⟩* Ziegler

ἀπαθανατίσασα αὐτὴν τῶν δυνάμεων καὶ τιμῶν ἐκοινοποίησεν αὐτῇ.

53/54 a. Ἀργείαν εἶπε τὴν τοῦ Διομήδους μητέρα Δηϊπύλην, καθὰ ἐξ Ἄργους ἦν, Ἀδράστου θυγάτηρ. ἦν δὲ καὶ ⟨ἄλλη⟩ ὀνοματικῶς Ἀργεία λεγομένη. KUEA

b. Καλυδώνιον δέ φησι τὸν Διομήδην, ὅτι Τυδεὺς ἦν ἐκεῖθεν.

58/59. βρέφος νεογιλόν: ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης.

60. ⟨ἐβώσατο:⟩ ἐπεκαλέσατο. $K^{\kappa}U^{\kappa}E^{\kappa}$

61. βεβαρυμένα: ἡ γὰρ Βερενίκη ἐστὶ θυγάτηρ Ἀντιγόνης τῆς Κασσάνδρου τοῦ Ἀντιπάτρου ἀδελφοῦ. KUEA

[64.] ⟨ὀλόλυξεν:⟩ μετ' εὐχῆς ἐβόησεν. $U^{\kappa}E^{\kappa}$

68/69 a. ⟨ὡς τοῦ Φιλαδέλφου⟩ ἐσπουδακότος περὶ τὴν ἐν τῷ Τριοπίῳ τῶν Δωριέων σύνοδον καὶ τὴν αὐτόθι δρωμένην πανήγυριν καὶ τὸν ἀγῶνα τὸν ἀγόμενον Ποσειδῶνι καὶ Νύμφαις. KUEA

b. ἐν δὲ μιᾷ τιμῇ Τρίοπον: Τρίοψ βασιλεὺς τῆς Κῶ, ἀφ' οὗ ἀκρωτήριον ὠνόμασται τῆς Κνίδου.

[c.] τριοπτον: περίβλεπτον. UEA

---

3 53. Hesych. λαοφόνον· ἀνδροκτόνον. 18 Diod. Bibl. V 57, 6; 61, 2 Steph. Byz. Τριόπιον Et. M. 766, 38 (cf. Gen.)

---

1 ἀπαθανατίσασα Reiske: -ήσασα Call.: -ίσασαν cod. ἐκοινώνησεν cod., em. Geel 3 praem. λαοφόνον Διομήδεα UEA, λαοφόνον bis K 5 ἄλλη (scil. Ἀδράστου θυγάτηρ) supplevi ὀνοματικῶς A: ὀνομαστικῶς cett. 11 ἐστὶν ἡ θυγ. K. detorsit haec Tzetzes ad Lyc. 5, 3 Scheer 14 in explenda lacuna a Duebnero indicata Ahrensii vestigia pressi, excepto quod hic ultimas tres syllabas (αδελφου) de fine scholii 61 sublatas huc traxit περὶ τὴν ἐν τῷ Τριοπίῳ (τρόπῳ cod., corr. Reiske monente Salmasio *Duarum inscr. vet. Herodis Att. rhet. et Regillae coni. honori pos. explicatio 1619, 58 sqq.*) K: τὴν ἐν τῷ περιτροπίῳ cett. 19 ἢ τῆς Κνιδίας ἐστὶν ἀκρ. K, ⟨ἀφ' οὗ Τριόπιον,⟩ ὃ τῆς Κνιδίας ἐ. ἀκρ. Ziegler

KUEA d. *ἴσον Δωριέεσσι: ἡ τῶν Δωριέων πεντάπολις Λίνδος Ἰάλυσος Κάμιρος Κῶς Κνίδος. ἄγεται δὲ κοινῇ ὑπὸ τῶν Δωριέων ἀγὼν ἐν Τριοπίῳ Νύμφαις Ποσειδῶνι Ἀπόλλωνι. καλεῖται δὲ Δώριος ὁ ἀγών, ὡς Ἀριστείδης* (fgm. 23 Mueller *Fgm. hist. gr. IV 324*) *φησίν. Τριόπιον δὲ ὀπὸ Τρίοπος τοῦ* 5 *Ἄβαντος, ὡς ἐν τοῖς περὶ Κνιδίας Ἰάσων* (fgm. 4 Mueller *Arrian. ed. Duebner. 1846, App. 161*) *φησίν.*

70. *καὶ Ῥήναιαν: Ῥήναια νῆσος παρακειμένη τῇ Δήλῳ, ἣν καὶ Δῆλόν φασι. τὴν δὲ Ῥήναιαν προσῆψε τῇ Δήλῳ Πολυκράτης ὁ Σαμίων βασιλεύς.* 10

E^{6} [79.] *⟨θαμαλὰ Αἴγυπτος:⟩ διὰ τὸ τρίγωνον· γύροθεν γὰρ βουνοῖς περιέχεται.*

UEA 81. *⟨ἔργα δαέντων:⟩ ἐπιστημόνων εἰς τὸ ἐργάζεσθαι πᾶν ἔργον, ἤτοι ἐργατῶν.*

K 82 — 84 a. *ὁμοῦ πᾶσαι αἱ πόλεις τρισμύριαι τρισχίλιαι* 15 *τριακόσιαι τριάκοντα τρεῖς.*

UEA b. *τρεῖς μέν οἱ πολίων ἑκατοντάδες, τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι: δοιαὶ τριάδες — ἑξήκοντα, ἐνδεκάδες τρεῖς — ἐνενήκοντα τρεῖς· ὁμοῦ πᾶσαι τρισμύριαι τρισχίλιαι τριακόσιαι ἐνενήκοντα τρεῖς.* 20

E 89. *⟨φιλοπτολέμοισί τε Καρσί:⟩ ὅτι μισθοφόροι*

---

9 Thuc. I 13, 6; III 104, 2

---

3 *Τριόπῳ* **UEA** 5 *Τριόπιον δὲ* **K**: *τὸ δὲ Τρίοπον ἀκρωτήριον τῆς Κνίδου* (**U**)**EA** *Τρίοπος* scripsi propter sch. b: *Τριόπου* (**U**)**EA**: *Τριοπίου* **K** 6 *Φόρβαντος* Wasse *Thuc. 1731, 530*, cf. Diod. Bibl. IV 58, 7; Paus. II 16, 1; IV 1, 1; sch. Eur. Or. 932 *ὡς ἐν* seqq. om. **UEA** *περὶ Ῥοδου* Duebner e Suid. s. *Ἰάσων* 8 *Ῥήν. νῆσος παρακ τῇ Δ.* **K**: *νῆσος οὕτω λεγομένη* cett. 9 rectius *Δῆλον μεγάλην*, cf. de hoc insulae nomine L. Gallois *Cartographie de l'île de Délos, Exploration arch. de Délos 3, 1910, 7 sq.* 10 *βασιλεύς* **K**: *τύραννος* cett. 13 verum l. praem. Ahrens, codd. exhibent: *τρεῖς μέν οἱ πολίων* 14 *ἤτοι ἐργατῶν* Ahrens: *ἐπιεργάτων* codd. 19 *τριάκοντα* pro *ἐνενήκοντα* praeter necessitatem Ahrens 21 *οἵτε* cod., corr. Wilamowitz

ἦσαν διηνεκῶς. ἐξ οὗ παροιμία 'τὸν ἐν Καρί τι ἀποφερόμενον' παρ' Ἀριστείδῃ ἐπὶ τῶν ἄνευ δεινοῦ λαμβανόντων τινά.

[96 a.] ⟨τόσσον:⟩ ἤγουν πολὺ καὶ ἄπειρον. U^{s}E^{s}

[b.] ⟨ἐς ἀφνειὸν ἔρχεται οἶκον:⟩ ἤγουν εἰς τὸ βεστιάριον.

97. λαοὶ δ' ἔργα: οἱ δὲ ὄχλοι περὶ τὰ ἔργα ἡσύχιοι γίνονται διὰ τὸ εἶναι ἐν εἰρήνῃ. UEA

98 a. ⟨πολυκήτεα:⟩ πολλὰ θηρία ἔχοντα. K^{s}

b. Νεῖλον ἐπεμβάς: περὶ τῆς τοῦ Νείλου κλήσεως ἔν ἑνί που τῶν ὑπομνημάτων φασὶν εἰρηκέναι τινάς, Μιλησίους κτίσαντας τὴν Ναύκρατιν προσαγορεῦσαι τὸν κατ' Αἴγυπτον ποταμὸν Νεῖλον ἀπὸ τοῦ κτίστου Νείλεω θεμένους τὴν προσηγορίαν. UEA

105. κτεατίξεται: καρποῦται ἀφόβως τὰ ἑαυτοῦ. KU^{s}E^{s}

106/107. οὐ μάν: οὐ μὴν ἄχρηστός ἐστιν αὐτῷ ὁ χρυσὸς σεσωρευμένος, καθάπερ ἐπὶ τῶν ἀεὶ μογούντων μυρμήκων. ἐκεῖνοι γὰρ ἀεὶ σωρεύουσιν ὡς ἐλλείψοντος αὐτοῖς· ὃ δ' ἀντιδίδωσι πᾶσι. περὶ δὲ τῶν μυρμήκων τῶν μεταλλευόντων χρυσὸν ἐν Ἰνδικοῖς πολλοὶ ἱστορήκασιν. KUEA

109. ⟨σὺν ἄλλοισιν γεράεσσι:⟩ σὺν τοῖς ἄλλοις δώροις. K^{s}

120. ⟨ἀέρι πᾳ κέκρυπται:⟩ ἐν σκότει κεκάλυπται.

---

1 Paroemiographi (Zenob. III 59 al.), ubi v. plura 9 sch. VII 114 c cum loc. sim.

---

1 *Καρί τι* scripsi: καριότ cod. 2 intellegas librum *Περὶ παροιμιῶν*, qui Milesiacorum auctori vulgo tribuitur (Fgm. hist. gr IV 326 sq.) 9 siglum vocis *κλήσεως*, quod in codice Genevensi exstat, cum pro correpto nomine proprio haberent, *Κλείταρχος* vel *Κλέανδρος* vel *Καλλισθένης* Adert, *Καλλίμαχος* Ahrens suspicati sunt. Ahrensii coniectura deceptus Schneider hoc scholium fragmentis Callimacheis interseruit (100^{m} 5, II 356) 10 *τινάς* Adert: *τινός* codd. *Μιλησίους κτίσαντας* Ahrens: *Μιλησίου σκοπήσαντος* codd. 12 *θεμένους* Duebner: *θέμενος* codd. 14 *καρποῦται* K: *ἔχεται* cett. 15 *ἄχρεῖος* UEA 17 *ἐκεῖνοι—πᾶσι* om. K 19 *ἱστοροῦσιν* UEA

K 121—123 a. μοῦνος δὲ προτέρων: οὗτος δὲ μόνος τῶν ἔκπαλαι θανόντων καὶ πρὸ μικροῦ τῇ μητρὶ καὶ τῷ πατρὶ ναοὺς ἔκτισεν.

UEA* b. μοῦνος ὅδε προτέρων: οὗτος ⟨μόνος⟩ τῶν προτέρων καὶ τῶν ἑαυτοῦ πάντων προγόνων.

c. ἔτι θερμά: ἔτι θερμὴ ἡ σποδός.

d. ⟨ναούς:⟩ ὅτι πολλοὺς ναοὺς ἱδρύσατο. †Κελίκιος δὲ ἐν τῷ περὶ Νέστορός† [ἐποίησεν ὁ Φιλάδελφος] φησιν οὕτως· 'ᾠκοδόμησε δὲ καὶ τῶν γονέων ἀμφοτέρων παμμεγέθη ναὸν καὶ ταῖς ἀδελφαῖς Ἀρσινόῃ καὶ Φιλωτέρᾳ ⟨. . .⟩'.

124. ἐν δ' αὐτούς: τοὺς γονεῖς.

KUEA 128. αὐτός τ' ἰφθίμα τ' ἄλοχος: Πτολεμαίῳ τῷ Φιλαδέλφῳ συνῴκει πρότερον Ἀρσινόη ἡ Λυσιμάχου, ἀφ' ἧς καὶ τοὺς παῖδας ἐγέννησε, Πτολεμαῖον καὶ Λυσίμαχον καὶ Βερενίκην. ἐπιβουλεύουσαν δὲ ταύτην εὑρὼν καὶ σὺν αὐτῇ Ἀμύνταν καὶ Χρύσιππον τὸν Ῥόδιον ἰατρόν, τούτους μὲν ἀνεῖλεν, αὐτὴν δὲ ἐξέπεμψεν εἰς Κοπτὸν τῆς Θηβαΐδος καὶ τὴν οἰκείαν ἀδελφὴν Ἀρσινόην ἔγημε καὶ εἰσεποιήσατο αὐτῇ

---

12 Paus. I 7, 3

---

4 suppl. Ahrens 7 καὶ *Λύκως* pro *Κελίκιος* cod. Genevensis, unde haec primus in lucem protraxit Valckenaer *ed. a. 1773, 355*: καὶ *Λύκος* Letronne *Journ. des Sav. 1841, 335* (cf. fgm. 15 Mueller *Fgm. hist. gr. II 374*), cuius sententiam refutavit Wilamowitz *Sitz.-Ber. d. Kgl. Preuß. Akad. d. Wiss. 29, 1912, 534 n. 2*: καὶ *Λυγκεύς* propter Athen. IV 150 b prop. Ahrens: καὶ *Λυκέας* Wilamowitz l. l. 8 περὶ *Ναυκράτεως* Wilamowitz verba *φησιν οὕτως* post libri titulum transponi iussit Letronne. quo recepto verba *ἐποίησεν ὁ Φιλάδελφος* posterius adiecta esse Duebner iudicavit, Wilamowitz l. l. Lyceam scripsisse censuit *ἐποίησε δὲ καὶ τῶν γονέων κτλ.*, quibus explicandis addita sint verba *ὁ Φ. ᾠκοδόμησε* 10 *Φιλωτέρᾳ* Letronne e Strab. XVI 769: *φωτῆρα* codd. deesse aliquid Duebner vidit 14 καὶ τοὺς π. ἐξ αὐτῆς ἐγ. **UEA** 15 εἰσεποιήσατο post *B.* add. **UEA** εὑρὼν δὲ αὐτὴν ἐπιβουλεύουσαν **UEA** 16 τὸν Ῥόδιον ἰατρὸν **K**: τοὺς ἰατροὺς cett. τοὺς **K** 17 Κοπτὸν **K**: τόπον cett. 18 οἰκείαν om. **UEA** καὶ τοὺς ἐκ τῆς ἑτέρας Ἀρσινόης γενομένους παῖδας αὐτῷ ταύτης ἐποιήσατο **UEA**

τοὺς ἐκ τῆς προτέρας Ἀρσινόης γενηθέντας αὐτῷ παῖδας· αὐτὴ γὰρ ἡ Φιλάδελφος ἄτεκνος ἀπέθανεν.

131—134. ὧδε καὶ ἀθανάτων: φέρει σύγκρισιν ἀπὸ τοῦ μείζονος, ὅτι οὐδὲν θαυμαστόν, εἰ εἶχε τὸν ἀδελφὸν αὐτῆς ἄνδρα, ἐπεὶ καὶ ἡ Ῥέα ἔτεκε τὴν Ἥραν καὶ τὸν Δία καὶ συνήφθησαν ἀλλήλοις. EA

XVI. *Χάριτες*

Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέους τὸν ἔσχατον Σικελίας τύραννον· κατέσχε δὲ τὴν ἀρχὴν στρατηγὸς ἀποδειχθεὶς ὑπὸ τῶν πολιτῶν καὶ φθείρας τὰς ⟨τῶν πολεμίων⟩ δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀναγορευθῆναι. [μετὰ δὲ τοῦτον ἦρξεν Ἱερώνυμος ὁ Γέλωνος.] μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος ὁ Θεόκριτος διὰ τοῦτο τὸ εἰδύλλιον πεποίηκε καὶ Χάριτας αὐτὸ ὑπέγραψεν, ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ ἐκεῖνον ἔχειν δύο κιβώτια, τὸ μὲν τῶν χαρίτων, τὸ δὲ τῶν διδόντων. ὅτε οὖν τις πρὸς αὐτὸν παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν KUEAP

---

9 Polyb. I 8. 9 15 Plut. De sera num. vind. 555 f; De curios. 520 a Stob. X 38 Hense sch. Ar. Pac. 697 Tzetz. Chil. VIII 228

---

2 αὕτη (corr. Wilamowitz) γὰρ ἡ φιλάδελφος **K**: ἡ γὰρ ἀδελφὴ (αὐτῆς add. **E**) cett. 3 l. om. **E**

Tit.: *Χάρ.* arg.: *Χάρ. ἢ Ἱέρων* **KUEAP**, Hermog. *Περὶ ἰδ.* 370, 1 Rabe: *Χάρ. ἢ Ἱέρων δωρίδι* **L** 8 *Ἱεροκλέους* cod. Laur. 32, 16: *Ἡρακλέους* **K**: *Ἱεροκλέα* cett. 9 *τὸν* ante *ἔσχ.* om. **K** 10 *ἀποδ.* **K**: *ὑποδ.* cett. *ὑπὸ* om. **K** suppl. Geel 11 *ἀγορευθῆναι* **P** 12 seclusit Geel quae posterius adiecta esse patet *Ἱέρων* codd., corr. Geel 14 *τοῦτο* post *εἰδ.* add. **K** *αὐτῷ ἐπέγραψεν* **P** *καὶ* post *ἐν ᾧ* om. **UEAP** 15 *αὐτὸν* **P** 16 *τῶν* bis om. **UEAP** *διδόντων* mutari iusserunt in *δοθέντων* Wyttenbach *Animadv. in Plut. Op. Mor. II 1821, 528*, in *δεδομένων* Geel, in *δωρεῶν* cum Tzetze et Triclinio Ahrens

τὰ κιβώτια καὶ δεικνύειν αὐτὰ ἀνεῳγμένα. εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων κενόν, τὸ δὲ τῶν διδόντων πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

K 6. ἡμετέρας χάριτας: τὰ οἰκεῖα ποιήματα.

UEA 8. τὸ σκύζειν κυρίως ἐπὶ τοῦ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάσῃ ὀργιζόμενος. λέγεται δὲ ἡ τῶν ὀφρύων κάθεσις ἐπισκύνιον, ὅτι τοῦτο ποιεῖ ὁ λέων, ὅταν κυσὶ κυκλωθῇ καὶ μέλλῃ πολεμεῖν αὐτοῖς.

KE^{s} 9 a. τωθάζοισαι: λοιδοροῦσαι.

K b. ἀλιθίαν δὲ ἀντὶ τοῦ ματαίαν ὁδόν.

UEA c. ⟨ἀλιθίαν ὁδὸν⟩ ἤνθον: ἤγουν ματαίαν ὁδὸν καὶ πεπλανημένην ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ.

KUEA 10—12. ἐπὶ πυθμένι χηλοῦ: ἐν τῷ πυθμένι τοῦ κενοῦ μένουσι κιβωτίου, ὅπου αὐτῶν ἐστιν ἡ συνήθης καθέδρα, ἐγκαλυψάμεναι τὴν κεφαλήν, ψυχροῖς δὲ γόνασιν, ὅταν ἄπρακτοι γένωνται.

U^{s} [13.] ⟨τοιόσδε:⟩ οἷοι ἦσαν οἱ παλαιοί.

KUEA 18. ἀπωτέρω ἢ γόνυ κνήμας: πορρωτέρω τὸ γόνυ τῆς κνήμης. παροιμία ἐστίν. τέθειται δὲ αὕτη ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς καὶ λεγόντων προτιμοτέρους εἶναι [αὐτοὺς] τῶν ξένων· οἱ γὰρ πορρωτέρω οὐδὲν πρὸς ἡμᾶς εἰσιν. ἐνήλλακται δὲ ἡ παροιμία [εἰ λεχθήσεται χωρὶς ὑποδιαστολῆς]. ἔδει γὰρ

---

5 sch. AT Θ 460 sch. AB P 136 Eust. 1098, 63; 1581, 6 Et. M. 364, 4 (cf. Gen.) 10 Hesych. ἠλίθιον Bekk. An. gr. 262, 5 sch. Pind. Pyth. III 20 b Et. M. 427, 53; 425, 47 (cf. Gen.) Et. Gud. 240, 13. 45 Sturz Et. Or. 70, 8 19 Paroemiographi (Zenob. III 2 al.)

---

1 καὶ δεικν. αὐτὰ ἀν. om. UEAP 7 ὅτι τοῦτο scripsi: ὅτε τοῦτο codd.: τοῦτο δὲ Call. 9 l. σκυζόμεναι K, sed glossa codicis E recte verbo τωθάζοισαι adscripta est 11 supplevi 14 ὅπως UEA 15 ἐγκαμψάμεναι Ahrens a voce ψυχροῖς novum scholium vulgo incipit, quare lacunam post γόνασιν statui Ahrens voluit 19 παροιμία ἐστί ante πορρωτέρω est in UEA 20 delevi, αὐτοὺς Amstel. 22 verba εἰ λεχθήσεται χωρὶς ὑποδ. olim in margine adiecta esse mihi videntur ad corrigenda ea quae paulo post in libris exstant

οὕτως εἰπεῖν· πορρωτέρω κνήμη γόνυος. εἰ δὲ λεχθήσεται χωρὶς ὑποδιαστολῆς, οὐκ ἐνήλλακται.

[33.] ⟨κλαίων:⟩ εἰώθασι γάρ πως αἱ τῆς περιχαρείας ὑπερβολαὶ πρὸς τὴν τῶν λεγομένων πίστιν ὀκνεῖν. U^{m}

34/35 a. πολλοὶ ἐν Ἀντιόχοιο δόμοις: ἀντὶ τοῦ ἄγαν πλούσιοι, ὥστε πολλοῖς παρέχειν τὴν τροφήν. ἀλλ' οὐδὲν ἤνυσεν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου ὑμνήθησαν. [Ἀντίοχος δὲ βασιλεὺς Συρίας.] τὰ δὲ περὶ Ἀλεύαν τὸν Σίμου πάντα ἀνείλεκται Εὐφορίων (fgm. 54 Scheidweiler *Diss. phil. Bonn. 1908, 49*). ὁ δὲ Ἀντίοχος Ἐχεκρατίδου καὶ Δυσήριδος υἱὸς ἦν, ὥς φησι Σιμωνίδης (fgm. 34 Bergk *Poet. lyr. gr. III*^{4} *402*). KUEA

b. πενέσται: Θεόπομπός (fgm. 119^{b} Grenfell-Hunt *Hellen. Oxyrh.*) φησι τοὺς δουλεύοντας τῶν ἐλευθέρων πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς ὡς παρὰ Λακεδαιμονίοις εἵλωτας.

36/37. πολλοὶ δὲ Σκοπάδαισι: πολλοὺς δὲ μόσχους ἔσχον καὶ οἱ Σκοπάδαι, τουτέστι πολλὰς ἀγέλας. ἐκ δὲ τούτου πολὺν πλοῦτον δηλοῖ. οἱ δὲ Σκοπάδαι Κραννώνιοι τὸ γένος· Κραννὼν δὲ πόλις Θεσσαλίας, ὅθεν Σκόπας ὁ Κραννώνιος

---

13 Athen. VI 265 b c. 264 a b Hesych. Phot. Suid. *πενέσται* Poll. III 83 Amm. De diff. adf. verb. 111 Valck. sch. Clem. Al. Protr. 307, 23 Staehlin Et. M. 660, 23 Et. Gud. 165, 53 Sturz Eust. 295, 30

εἰ δὲ μετὰ ὑποδ. scripsi igitur loco posteriore *εἰ δὲ λεχθήσεται χωρὶς ὑποδ.*, quae intellegas velim: si in poetae verbis scribetur *ἀπωτερῴη* (derivatum ab *ἀπωτερέω* ut *ποιῴη* apud Moer. 208, 9 Bekker a *ποιέω*), proverbium non erit immutatum

6 *ὤνησεν* Geel 8 del. Hemsterhuys 9 *Σίμου* Meineke *Comm. misc. I, Progr. gymn. Gedan. 1822, 52*: *Σιμίου* codd. *ἀνείλεται* K 11 *Ἐχεκρατίδου* Tricl.: *-κράτιδος* codd. nostri *Δυσήριδος* Henr. Valesius ex Aristide I 127 Dind. (cf. Buttmann *Mythol. II 1829, 281*: *Σύριδος* codd. 13 *Θεόπεμπτος* UEA 14 *τοὺς δουλ. τῶν Ἑλλήνων* ex Athen. VI 265 b prop. Ahrens. fort. *τοὺς ⟨μισθῷ⟩ δουλεύοντας* cum Et. Gudiano 18 *Σκοπάδαι* Tricl: *ἐν Σκοπάδι* K: *ἐν Σκοπάδαισι* cett. 20 *Κράννων* K: *Κράνωνα* cett. *Κραννώνιος* K: *Κρανώνης* cett.

Κρέοντος καὶ Ἐχεκρατείας υἱός. καὶ Σιμωνίδης ἐν Θρήνοις (fgm. 33 Bergk *Poet. lyr. gr. III*[4] *401*). *Σκοπάδαι οὖν οἱ Θεσσαλοί, Κρεώνδας δὲ ὁ Σκόπας.*

44. *ὁ Κήϊος: τὸν Σιμωνίδην φησί, παρόσον αὐτὸς τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν ἐπινικίους ἔγραψε καὶ θρήνους.*

U[E]E[2] [48.] *⟨Λυκίων:⟩ σύμμαχοι ⟨τῶν⟩ Τρώων οἱ Λύκιοι.*

KUEA 49. *Κύκνον ἔγνω: Κύκνον φησὶ τὸν Ποσειδῶνος καὶ Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως. λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος* (fgm. 31 Mueller *Fgm. hist. gr. I 49*). *διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος [διὰ τὴν χροιάν]. Ἡσίοδος* (fgm. 119 Rzach *ed. a. 1902 p. 363*) *δὲ τὴν κεφαλὴν ἔχειν αὐτόν φησι λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν.*

U[E]E[E] [63.] *⟨παρελθεῖν:⟩ ἀπατῆσαι καὶ ἀφελεῖν τι.*

E [71/72 a.] *αἱ ὧραι ποιοῦσι τὰς ἡμέρας, αἱ ἡμέραι τὰς ἑβδομάδας, αἱ ἑβδομάδες τοὺς μῆνας καὶ οἱ μῆνες τοὺς χρόνους.*

KUEA b. *οὔπω μῆνας ἄγων: οὔπω, φησίν, ὁ πᾶς διῆλθεν αἰών· ἔτι ἔσονται πολλοὶ νικηφόροι ποιητῶν χρείαν ἔχοντες. ἐκ γὰρ τῶν ἵππων καὶ τῶν τροχῶν τοὺς ἱερονίκας δηλοῖ. ἢ τροχὸν ἅρματος τὸν τοῦ ἡλίου λέγει, ἀντὶ τοῦ· πολλαὶ ἔσονται μεταβολαί.*

76 a. *ἤδη νῦν Φοίνικες ὑπ' ἠελίῳ δύνοντι: τοὺς Καρχηδονίαν οἰκοῦντάς φησι Φοίνικας. οὗτοι γὰρ συνεχῶς ἐπεστράτευσαν Συρακουσίοις, ὡς λέγεται καὶ παρὰ Πινδάρῳ* (Pyth. I 73—75). *οἱ δὲ Φοίνικες ⟨οὗτοι⟩ ἄποικοι Τυρίων.*

---

8 Hyg Fab. 157 sch. Pind. Ol. II 147 b. e Thom. ib., p. 136, 18 Abel sch. Ar. Ran. 963

---

1 *Ἐχεκρατείας* L. Dindorf *Thes. III 2599 c*: *-κρατίας* **K**: *-κράτου* cett.: *-κρατίδος* Meineke l. l. 55 *ὡς* pro *καὶ* Meineke ib. 4 l. *αἰόλα φωνῶν* **K** *αὐτὸς* **K**: *ἐκεῖνος* cett. 6 *ἔγραφε* **K** 9 *Καλύκης* Nic. Heinsius ad Ovid. Her. XIX 133: *Κάϋκος* codd. 11 *Θεόφραστος* **K** 12 seclusi 13 *αὐτόν* **K**: *αὐτήν* cett. 27 suppl. Ahrens ex mente Geelii

[b.] ⟨ὑπ' ἠελίῳ δύνοντι:⟩ εὑρίσκονται γὰρ καὶ ὑφ' ἡλίῳ ἀνατέλλοντι· οὗτοι δέ εἰσιν ἄποικοι τῆς Φοινίκης τῆς ἀνατολικῆς. Διδὼ γάρ τις ἔχουσα ἄνδρα Χετταῖον ὀνόματι καὶ ἐρασθεῖσά τινος Πυγμαλίωνος, τῇ συνεργείᾳ ταύτης πε-
5 φόνευται ὁ Χετταῖος, καὶ διὰ τοῦτο φυγοῦσα ἐκ τῆς Φοινίκης τὴν Λιβύην κατέλαβε. κἀκεῖσε Ἰάρβας ὁ βασιλεὺς τῆς Λιβύης μὴ δεχόμενος ταύτην τὸ πρῶτον, ὕστερον πλανηθεὶς τόπον ὅσον περιέχει δέρας βοὸς ταύτῃ δέδωκε. καὶ οὕτως ἐκείνη τὴν νῦν Τούνισαν λεγομένην Φοινίκην ἔκτισεν ἀπὸ ταύτης λα-
10 βοῦσαν τὸ ὄνομα. E

[77.] ⟨οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν ἐρρίγασιν: οἰκοῦντες⟩ τὴν Τούνισαν, τὴν Φοινίκην τρέμουσι τοὺς Συρακουσίους. ἢ ἐρρίγασι τὸ ἄκρον σφυρὸν ἤγουν τὴν Συράκουσαν. E[K]

16 [79.] ⟨ἰτεῖνοισιν:⟩ διὰ τὸ ἐλαφρὸν ἐποίουν ἀπὸ ἰτέας τὰς ἀσπίδας.

[81.] ⟨ζώννυται:⟩ ὁπλίζεται· συνεκδοχικὸν ἀπὸ μέρους τὸ πᾶν ὡς τὸ 'ἀσπιδιῶται' καὶ 'εὐκνήμιδες'.

83/84 a. κούρη θ' ἥ: τὴν Δήμητράν φησι καὶ τὴν KUEA
20 Περσεφόνην εἰληχέναι τὸ τῶν Ἐφυραίων ἄστυ οἷον τὰς Συρακούσας, παρόσον Κορινθίων εἰσὶν ἄποικοι οἱ Συρακούσιοι, ὡς Θουκυδίδης (VI 3, 2) φησίν.

b. Λυσιμελείας: λίμνη ἐν Συρακούσαις.

85. ἐχθροὺς ἐκ νάσοιο: τοὺς Καρχηδονίους ἐκ τῆς
25 Σικελίας.

86. Σαρδόνιον κατὰ κῦμα: τὸ κατὰ τὴν νῆσον

---

23 Thuc. VII 53, 2

---

1 ὑπ' ἠλίῳ cod. 6 Ἰάρβας scripsi: Ταρᾶς cod. 20 εἰληχέναι Valckenaer *Herod. 1763 p. 535, 99*: εἰληφέναι codd. Ἐφυραίων Gaisford: ἐλεφυραίων codd. 22 verba ὡς Θ. φησίν inde a Callierge post l. scholii subsequentis transposita leguntur 23 λίμνη Reinesius et Toup: λιμὴν codd. 24 ἐχθρ. ἐκ νάσοιο Call.: ἐκ νάσοιο· ἐχθρ. codd. 26 verba τὸ κατὰ— Σαρδῷον in libris nostris post πλοῦς leguntur, transp. Triel. τὸ Geel: ὃ codd. τὴν νῆσον τὴν Σ. Triel.

Σαρδώ, ὃ καλεῖται Σαρδῶον· διὰ τούτου γάρ ἐστιν ὁ εἰς Καρχηδόνα πλοῦς.

93 a. *σκνιπαῖον: τὸν ὄψιον, τὸν βραδὺν ὀδίτην σπεύδειν ποιοῖεν. τὸ δὲ σκνιπαῖον ἢ παρὰ τὴν σκνῖπα ἢ παρὰ ⟨τὸ σκνῖφος⟩ τὸ κνέφας πεποίηται.*

UEA b. *σκνιπαῖον: σκνὶψ ζῷον βραδυκίνητον.*

KUEA 94—97 a. *νειοὶ δ' ἐκπονέοιντο: τουτέστιν αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον, τουτέστιν ἀροτριοῖντο.*

b. *ποιμένας ἐνδείους: ἡνίκα ὁ τέττιξ ἐπὶ τῶν ὑψηλῶν κλάδων ἠχεῖ κατὰ τὴν μεσημβρίαν τοὺς ποιμένας φυλασσόμενος. ἐλάσαντες γὰρ οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ θηρῶσι τοὺς τέττιγας.*

UEA c. *ἀράχνια δ' ἐς ὅπλα: τοῦτό φησιν, ὅτι μηδὲ γένοιτο τῷ Ἱέρωνι πολέμους ἔχειν συχνούς, ἀλλὰ κειμένων τῶν ὅπλων καὶ μὴ χρωμένων ἐν αὐτοῖς ἱστὸν αἱ ἀράχναι στήσαιντο.*

KUEA d. *τὸ δὲ διαστήσαιντο ἀντὶ τοῦ ὑφήνειαν.*

K 99/100 a. *πόντου Σκυθικοῖο: τοῦ λεγομένου Εὐξείνου.*

KUEA b. *ἀσφάλτῳ δήσασα: Ἡρόδοτος (I 179) ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος ἀντὶ πηλοῦ.*

KU^{R}E^{g} 101. *τὸ δὲ εἷς μὲν ἐγώ· ὁ ἐγκωμιάζων δηλονότι.*

